This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

DIESES·BUCH·GEHÖRT



VERLAG VON B. G. TEUBNER IN LEIPZIG

# DIE HELLENISCHE KULTUR

DARGESTELLT VON

FRITZ BAUMGARTEN, FRANZ POLAND, RICHARD WAGNER

Mit 7 farbigen Tafeln, [illegible] Karten und gegen 400 Abbildungen im Text und auf 2 Doppeltafeln

[X u. 401 S.] gr. 8. 1905. geh. ℳ 10.—, in Leinw. geb. ℳ 12.—

Dem Bedürfnis nach einer zusammenfassenden Darstellung der griechischen und (in einem zweiten in Vorbereitung befindlichen Bande) der römischen Kultur in weiterem Umfange, als sie bisher vorliegt, soll dies Werk Rechnung tragen. Die Verfasser, die sämtlich im praktischen Schuldienst stehen, haben es als ihre Aufgabe angesehen, die gesicherten Ergebnisse der neueren Forschung in einer für jeden Gebildeten faßlichen und lesbaren Form darzubieten, unter besonderer Berücksichtigung der Bedürfnisse und der Ergebnisse des Unterrichts in den Oberklassen unserer höheren Schulen. Dem geschriebenen Wort tritt ergänzend und weiterführend ein reichhaltiger Bilderschmuck zur Seite, der um so weniger fehlen durfte, je lebendiger und unmittelbarer gerade das Kulturleben des Altertums uns durch seine Denkmäler veranschaulicht wird.

„Die Aufgabe, die hier zu lösen war, bestand darin, alles, was über das innere und äußere Leben der Hellenen in Schrift und Stein, in Wort und Bild überliefert ist, [illegible] kritisch zu sichten und zu einer schön abgerundeten, einheitlichen Darstellung zu verarbeiten. Und diese Aufgabe haben die Verfasser glänzend gelöst."

(Rektor Prof. Dr. Muff-Pforta in der Neuen Preuß. (Kreuz-)Zeitung.)

„Wenn [illegible]"

([illegible])

„Das Buch [illegible]"

([illegible])

## Verlag von B. G. Teubner in Leipzig.

# Benseler-Kaegi: griech. Schulwörterbuch

[illegible] Aufl. [VIII u. [illegible] S.] Lex.-8. Dauerhaft in Halbfranz geb. [illegible]

Das griechische Wörterbuch von Benseler-Kaegi darf in der zwölften Auflage erneut den Anspruch erheben, das reichhaltigste, den Bedürfnissen der Schulen am besten entsprechende Wörterbuch zu sein. — Der Schriftstellerkreis ist viel größer als der anderer Schulwörterbücher [illegible] sind in der neuesten Auflage das Wilamowitzsche griechische Lesebuch vollständig und die griechischen Lyriker in Auswahl berücksichtigt. [illegible] zeichnet sich das Buch durch [illegible] systematische Bearbeitung der Eigennamen und durch [illegible] des Formenmaterials und der Orthographie aus. [illegible] In der Etymologie [illegible] nur wissenschaftlich Begründetes, zugleich für den Schüler Verständliches und Nützliches und enthält sich [illegible] und alles überflüssigen gelehrten Beiwerkes, [illegible] Wörterbücher [illegible]

# Heinichen-Wagener: latein. Schulwörterb.

[illegible] Aufl. [LXXIX u. [illegible] S.] Lex.-8. Dauerhaft in Halbfranz geb. [illegible] 7.50

[illegible] „Welches lateinische Schulwörterbuch sollen wir unseren Schülern empfehlen?" [illegible] „Empfehlung verdient nur ein [illegible] mit allem Überflüssigen [illegible] aufräumt, [illegible] Anordnung und einer Darstellung [illegible] die Hand gibt und [illegible] fördert." [illegible] Wagener besorgte Neubearbeitung des Heinichenschen Lexikons [illegible] dieses Buch zu empfehlen. [illegible] Buch [illegible] vortrefflich ausgestattet, [illegible]

**Benseler:** deutsch-griechisches Wörterbuch . . . geb. ℳ 10.50
**Heinichen:** deutsch-lateinisches Wörterbuch . . . geb. ℳ 6.50

---

## Sonder-Wörterbücher zu

**Cäsar.** Von H. Ebeling. [illegible] Aufl., von J. Lange. Geh. ℳ 1.[illegible]

**Nepos.** Von H. Haacke. [illegible] Aufl. Geh. ℳ 1.[illegible] Mit dem Texte des Nepos zusammen geb. ℳ 1.[illegible]

**Homer.** Von G. Autenrieth. [illegible] Aufl., von A. Kaegi. Geh. ℳ [illegible]

**Ovids** Metamorphosen. V. J. Siebelis. [illegible] Aufl., von Fr. Polle. Geh. ℳ [illegible], geb. ℳ [illegible]
[illegible] Ausgabe, bearbeitet von Stange. Geh. ℳ [illegible]

**Phädrus.** V. A. Schaubach. [illegible] Auflage. Geh. ℳ [illegible] Mit dem Texte d. Phädrus ℳ [illegible]

**Xenophons** Anabasis. V. F. Vollbrecht. 10. Aufl. Gebunden ℳ [illegible]

**Xenophons** Hellenika. V. [illegible] Thiemann. [illegible] Aufl. Geh. ℳ [illegible], geb. ℳ [illegible]

**Siebelis'** tirocinium poeticum. Von A. Schaubach. [illegible] Aufl. Gebunden ℳ [illegible]

# DIONYSI
## HALICARNASENSIS
# ANTIQUITATUM ROMANARUM

QUAE SUPERSUNT

EDIDIT

CAROLUS JACOBY

VOLUMEN QUARTUM

MCMV

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI

# PHILOLOGIS ATQUE MAGISTRIS GERMANIAE

QUOTQUOT HAMMONIAM CONVENIENT

MENSE OCTOBRI ANNI MCMV

182476

# PRAEFATIO.

Volumen quartum Dionysi Halicarnasensis Antiquitatum Romanarum cur nunc demum in lucem emiserim — multi enim anni praeterierunt, ut volumen tertium edidi — hoc loco causas afferre, quas multas habeo, consilium meum non est, satis est eos libros atque libellos, qui ex anno 1888, quo anno volumen alterum publicavi, vulgati sunt, colligere; sunt autem hi:

21) L. K. Enthoven, Animadversiones criticae ad rerum scriptores Graecos. Straßburg. 1888. p. 198—201. (Separatabdruck aus der Festschrift des Protestantischen Gymnasiums.)

22) *Σ. Βάσης*, Spicilegium criticum in Dionysii Halicarnassensis Antiquitatum Romanarum tribus primis libris, quod exstat in eo libro, qui inscribitur: *Τὰ κατὰ τὴν ἑορτὴν τῆς Πεντηκονταετηρίδος τοῦ ἐθνικοῦ Πανεπιστημίου ἐκδιδόμενα.* Athen. 1888. p. 211—245.

23) Otto Paul, Emendationes Dionysianae; cf. Commentationes philologas in honorem Ribbeckii. Lipsiae, Teubner. 1888. p. 509—514.

24) Joannis Canabutzae ad principem Aeni et Samothraces in Dionysium Halicarnasensem commentarius. Primum edidit atque praefatus est Maximilianus Lehnerdt. Lipsiae, Teubner. 1890. XXII, 97 S.

25) J. Flierle, Über Nachahmungen des Demosthenes, Thucydides und Xenophon in den Reden der Römischen Archäologie des Dionysius von Halicarnass. Leipzig, Fock. 1890. 85 S.

26) V. Nordström, De institutorum Romanorum vocabulis Dionysii Halicarnassensis quaestiones. Helsinfors. (Berlin, Weber.) 1890. IV, 89 S.

27) *Σ. Βάσης, Διορθωτικὰ εἰς Διονυσίου Ἁλικαρνασέως Ῥωμαικὴν Ἀρχαιολογίαν.* Athen. 1892. 30 S.

28) L. Götzeler, Animadversiones in Dionysii Halicarnassensis Antiquitates Romanas. p. I. Monachi. 1893. 84 S. p. II. Monachi. 1894. 92 S.

29) Franz Krebs, Jahresbericht über die späteren griechischen Geschichtsschreiber. Vgl. Jahresbericht über die Fortschritte der klass. Altertumswissenschaft. Bursian. Bd. 79, S. 41—51. 1894.

30) L. K. Enthoven, Analecta critica. Mnemosyne XXII (1894) p. 387—390.

31) *Σ. Βάσης*, Ad Dionysii Halicarnassensis Antiquitatum Romanarum a Carolo Jacoby editarum vol. III adnotationes criticae. *Ἀθηνᾶ.* 1896. tom. VIII 3 p. 241—261.

32) Idem, Ad D. H. Antiquitatum Romanarum librum X et XI. (D. H. Ant. Rom. quae supersunt ex recensione A. Kiessling et V. Prou. Parisiis 1886.) *Ἀθηνᾶ.* 1896. tom. VIII 3 p. 262—265.

33) K. Roth, Die erzählenden Zeitformen bei Dionysius von Halikarnass. Bayreuth. 1897. 52 S.

34) Otto Birke, De particularum *μή* et *οὐ* usu Polybiano, *Dionysiaco,* Diodoreo, Straboniano. Lipsiae. 1897. 81 S.

35) S. A. Naber, Observationes criticae ad Dionysii Halicarnassensis Antiquitates Romanas. Mnemosyne. N. S. vol. XXIX (1901) p. 307—340; vol. XXX (1902) p. 137—156; 234—261.

36) Carl de Boor, Excerpta de legationibus Romanorum ad gentes. vol. I 1 p. 7—19. Berlin. 1903.

37) Robert Helbing, Die Präpositionen bei Herodot und anderen Historikern. Würzburg. 1904. 159 S.

38) F. Reuss, Jahresbericht über die griechischen Historiker mit Ausschluß des Herodot, Thukydides und Xenophon. Jahresbericht über die Fortschritte der klass. Altertumswissenschaft. Bursian-Kroll. Bd. 127 (1905) p. 151—156.

Nunc pauca verba de codicibus faciam. Ac primum quidem liber X, cum libros Dionysi Halicarnasensis Antiquitatum Romanarum per pentadas describi solitos esse constet, in eisdem codicibus inest ac novem primi libri Antiquitatum; cf. vol. I p. VII; codicem autem Urbinatem 105 (B) a G. Heylbutio, viro clarissimo, summa cum diligentia ac sagacitate denuo collatum esse in praefatione vol. III commemoravi. — Codices deinde libri undecimi qui Kiesslingio praesto fuerint, ipse in tomo IV p. XII nos docet, cuius verba describere mihi liceat:

'Undecimi libri codices mihi praesto erant hi:

*L* = Laurentianus Plut. LXX 5 chart. saec. XV.
*V* = Vaticanus 133 chart. saec. XV.
*M* = Ambrosianus A 159 sup. chart. saec. XV.
*C* = Coislianus.

Ex his libris fide et bonitate praestat Laurentianus, praeter Dionysii librum undecimum Appiani reliquias continens, quem plerumque secutus sum; ex ipso enim archetypo lacerato et pessime habito accuratissime descriptus mihi videtur. proximus ei est Vaticanus qui undecimi libri fragmenta una cum decem prioribus Dionysii antiquitatum libris exhibet, quamvis interpolationis maculis hinc et inde inquinatus, tamen longe superior reliquis codicibus, velut Coisliniano et Ambrosiano, in quibus hae reliquiae ex ignoti cuiusdam Itali recensione emendatae vel potius depravatae leguntur. Laurentianum librum partim ipse partim Wilmanns et Dilthey amici excusserunt; Ambrosianum ipse contuli. Vaticani collatio ab Aem. Braunio in Ritschelii usum confecta mihi praesto erat, et de Coisliniani scripturis potioribus C. Wescher humanissime me certiorem fecit, unde intellexi plerumque eum cum Ambrosiano consentire. Elbingensis libri ab Ambrosio detecti accuratiorem cognitionem non habui.'

Addo haec: Vaticanus 133 (V) ab eodem Heylbutio denuo excussus me in textu constituendo non multum adiuvit. Codicem Elbingensem ipse inspexi et semper fere cum Laurentiano congruere cognovi; paucis locis libri undecimi ea, quae in illo inveni, attuli.

Tum de fragmentis idem Kiesslingius in eodem tomo IV p. XXIV et XXV sic, quid sentiat, ostendit:

'Amplissimi Constantiniani operis quae Dionysii reliquias continent partes sunt haece:

*Val.* = Excerpta περὶ ἀρετῆς καὶ κακίας ab Henrico Valesio edita 1634 ex codice Turonensi, in quo nunc multorum foliorum interitu Dionysii quoque reliquias periisse certiorem me fecit L. Wollenberg.

*Vrs.* = Excerpta περὶ πρεσβειῶν ab Fulvio Ursino edita 1582, quorum mihi praesto erant scripturae libri Monacensis 267 chart. saec. XVI, a Nisseno amico enotatae et libri Vaticani 1418 chart. saec. XVI, ex libris Fulvii Ursini, quem ipse inspexi.

*Esc.* = Excerpta περὶ ἐπιβουλῶν ex codice Scorialensi (I Ω 11 chart saec. XVI) a Federo (1855) et C. Müllero in fragmentorum Historicorum Graecorum volumine altero (Par. 1848) edita.

*Ath.* = Excerpta περὶ πολιορκιῶν ex Poliorceticorum codice vetustissimo ab Atho monte Parisios transvecto primum a C. Müllero ex Minae apographo ad calcem alterius voluminis Iosephi operum Parisiis apud fratres Didot 1847, deinde a Weschero Poliorcétique des Grecques Parisiis 1868 accuratissime edita.

Huc accedunt:

*Ambr.* = Eclogae Ambrosianae ex codice Ambrosiano (Q 13 sup. chart. saec. XV) ab Angelo Maio neglegentissime editae. Ipse librum denuo contuli. Qui praeterea Mediolani servatur harum eclogarum liber (A 80 sup.) alterius apographum sine ullo pretio est, itaque eum prorsus neglexi. In his eclogis emendandis mihi praesto erant Caroli Ludovici Struvii notae

editionis Francofurtensis margini adscriptae, quarum usum debeo Th. Struvii V. Cl. benevolentiae.

Nova fragmenta quae ex Escorialensi et Parisino libro accesserunt suis locis inserui, ordine volgato plerumque servato, quem si emendare voluissem, certe XIII, 10—fin. ante XIII 6 collocanda erant. Nolui autem eclogarii Ambrosiani consilium corrigere.

Librorum XVII et XVIII fragmenta distinguere non potui propter perturbationem qua numerorum notae apud Stephanum Byzantium confusae sunt. Maiorem denique decimi noni qui fertur libri partem vicesimo adscripsi propter adnotatiunculam, quae in initio fragmenti Parisini legitur, unde apparet bellum contra Pyrrhum fere totum in ultimo libro a Dionysio esse narratum.'

Cum anno 1903 Carolus de Boorius, ut supra commemoravi, fragmenta Dionysi Halicarnasensis librorum XV, XVII et XVIII, XIX accuratissime et diligentissime in editione Excerptorum de legationibus Romanorum ad gentes vol. I part. 1 p. 7—19 ediderit, officium meum esse putavi hac editione uti; sunt autem sigla codicum, quos de Boorius secutus est, haec:

*E* = Scorialenses R III 14 et R III 21.
*V* = Vaticanus Graecus 1418.
*R* = Parisinus Graecus 2463.
*B* = Bruxellensis 11301—16.
*M* = Monacensis 267.
*P* = Palatinus Vaticanus Graecus 113.
*O* = Omnium codicum consensum declarat.
*X* = Codicum BMP consensum indicat.

De singulis rebus praefatio de Boorii subtilis perlegenda est neque censura neglegenda est, quam Leopoldus Cohnius (Götting. gelehrte Anzeigen 1904 p. 391 ff.) acriter fecit, qua e censura me multa in adparatu critico non commemorasse gravissime doleo — itinere in Italiam Graeciam Asiamque facto memoria illius libelli, quem

quod vir ille clarissimus ad me misit, hoc quoque loco gratias ago maximas, ex animo discesserat —, sed multis locis cum censore editionis Excerptorum me consentire gaudeo; suppleo igitur hoc loco haec: lib. XV 5 (p. 268, 4 ed. m.) *διαλῦσαι* post *διὰ λόγων* inserendum esse Cohnius censet; XV 7 (271, 23) post *ὅρκια* ante *ποιοῦντες* supplenda esse: ⟨*ἡμεῖς τὰ δίκαια*⟩; p. 273, 16 pro *φέρειν*, quod sine dubio corruptum est, conicit *ὑφαιρεῖν*; p. 274, 7 post *ὅρκια* lacunam significandam non esse, sed post *κωλῦσον ἐστίν* — me quoque sic pro *κωλῦσόν ἐστιν* scripsisse nunc video — corrigas velim — colon ponendum esse; p. 274, 19 scribendum esse *καὶ πράξεις ἐν πᾶσι διδόναι τοῖς πολέμοις εὐτυχεῖν*; p. 303, 15 *εἴ με Ῥωμαῖοι ποιήσαιντο φίλον*. Sed haec hactenus, postremo mentio mihi facienda est codicis Turonenis Valesii sive Peiresciani, de quo Mendelssohnus in Museo Rhenano tom. XXXVIII (1883) p. 126 s. sub titulo: Handschriftliches zu Dionysios von Halicarnassos und Appianos egit. Scribit autem ille haec:

Für die im Codex Peirescianus erhaltenen Fragmente des Dionysios war der neueste Herausgeber, Ad. Kiessling, ganz auf die Angaben von Valesius angewiesen, weil nach Wollenbergs Versicherung im Codex durch den Verlust vieler Blätter auch die Reste des Dionysios untergegangen seien. Auch aus der sonst sehr genauen Beschreibung der Handschrift durch Wescher bei Dorange — müßte man folgern, daß wenigstens die Fragmente des Dionysios, also die Hauptsache, heutzutage in dem Codex fehlen. — In Wirklichkeit aber liegt die Sache so, daß sicherlich sämtliche Fragmente, wahrscheinlich sämtliche aus dem erhaltenen Teile der Archäologie exzerpierten Stücke sich bis zur Stunde in demselben Umfange wie zu Valesius' Zeiten in der Hs. vorfinden. Die Dionysiana des Codex beginnen f. 253ʳ mit *τα ἀνθρωπινα* = VIII 61, also ganz abge-

brochen, und gehen die Exzerpte aus B. VIIII bis Cap. 62 fin. Dann fangen die Fragmente an: Ὅτι μάρκος φρούριος κτἑ. — διὰ τοῦτο τὸν χόλον (Vales. p. 542), also genau wie bei Valesius. Dem Dionys voraus geht Xenophon, von dem der Schluß verloren gegangen, und ein unbekannter Historiker, der völlig verschwunden ist, mit ihm der Anfang der Exzerpte aus Dionysios. Jener unbekannte Historiker fehlte schon zu Valesius' Zeiten, und damit wahrscheinlich auch der Anfang der Dionysianischen Exzerpte, jedenfalls können es nur Sachen aus den ersten acht Büchern gewesen sein, also kein bedeutender Verlust. Sequitur collatio libri VIIII 61 et fragmentorum (Vales. p. 529 s.; p. 249, 23 s. ed. m.). Confecit autem disputatiunculam Mendelssohnius his verbis: Vergleicht man die vorstehende Kollation, — so sieht man, daß Valesius im großen und ganzen die Hs. treu wiedergegeben und stillschweigend nur kleinere Versehen korrigiert hat. Wirklicher Gewinn hat sich auch hier kaum ergeben. —

His cum verbis Mendelssohni ea sunt conferenda, quae Büttner-Wobst in eo libello, qui inscribitur: Der codex Peirescianus. Ein Beitrag zur Kenntnis der Exzerpte des Konstantinos Porphyrogennetos. Separatabdruck aus den Berichten der Königl. Sächs. Gesellschaft der Wissenschaften 1893 de eodem codice tradit. Postremo silentio praetereunda non sunt verba eiusdem viri clarissimi, quae in censura editionis Excerptorum de Boorii Wochenschrift für klass. Philologie XX (1903) p. 1141 s. legimus: Auch der sogenannte codex Thuani, jetzt Parisinus 2463 — hat die gebührende Berücksichtigung gefunden. — p. 1142: Der obenerwähnte cod. Thuani, der nur bis 8, 26 (de Boor) Dionys. Hal. XV 7 (p. 216, 32 ed. Kiessl. = p. 270, 14 ed. m.) τελευτῶντες reicht (R), stimmt zum größten Teil mit den spanischen und vatikanischen Hss. überein. —

Etsi de codicibus Dionysi Halicarnasensis Antiquitatum Romanarum, quae proferam, habeo, tamen tempus videtur esse finem facere scribendi, fortasse alio tempore uberius meliusque, quo loco ac numero codices sint, disserere mihi licebit. —

Appendix, quae indices scriptorum et nominum continebit, primo quoque tempore emittetur.

Scribebam Hamburgi mense
Septembri a. MCMV.

**Carolus Jacoby.**

X

# ΔΙΟΝΥΣΙΟΥ

## ΑΛΙΚΑΡΝΑΣΕΩΣ

# ΡΩΜΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

## ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ.

**Reiskianae editionis**

p. 1981 *Μετὰ δὲ τούτους ὀλυμπιὰς μὲν ἦν ὀγδοηκοστή, ἣν
ἐνίκα στάδιον Τορύμβας Θεσσαλὸς ἄρχοντος Ἀθήνησι
Φρασικλέους· ὕπατοι δὲ ἀπεδείχθησαν ἐν Ῥώμῃ Πόπλιος
Οὐολούμνιος καὶ Σερούιος Σολπίκιος Καμερῖνος. οὗτοι*
1982 *στρατιὰν μὲν οὐδεμίαν ἐξήγαγον οὔτε ἐπὶ τιμωρίας
ἀναπράξει τῶν ἀδικούντων σφᾶς τε αὐτοὺς καὶ τοὺς
συμμάχους οὔθ' ὡς διὰ φυλακῆς τὰ οἰκεῖα ἕξοντες·
τῶν δ' ἐντὸς τείχους κακῶν πρόνοιαν ἐποιοῦντο, μή
τι δεινὸν ὁ δῆμος ἐπὶ τῇ βουλῇ συστὰς ἐξεργάσηται.
ἐταράττετο γὰρ αὖθις ὑπὸ τῶν δημάρχων ἀναδιδασκό-* 2
*μενος, ὅτι πολιτειῶν κρατίστη τοῖς ἐλευθέροις ἐστὶν*

ΔΙΟΝΥϹΊΟΥ ΑΛΙΚΑΡΝΑϹΈΩϹ ΡΩΜΑΙΚΗ͂Ϲ ΑΡΧΑΙΟΛΟΓΊΑϹ: deinde haec verba leguntur in AB: *Ἡ δεκάτη βύβλος* (*β⟨ί⟩βλος* B) *τῆς ῥωμαικῆς ἀρχαιολογίας ἣν συνεγράψατο* (*συνέγραψε*///// B) *διονύσιος* (*ὁ* add. B) *ἀλεξάνδρου ἁλικαρνασεὺς* (*ἁλικαρνασσεὺς* B) *περιείληφε τὰ πραχθέντα ὑπὸ ῥωμαίων ἀπὸ τοῦ πρώτου τῆς ὀγδοηκοστῆς ὀλυμπιάδος ἔτους καὶ ἀπὸ ὑπάτων ποπλίου οὐολουμνίου καὶ ποπλίου σουλπικίου* (*σολπικίου* B) *χρόνος τῶν ὑπὸ τῆς βύβλου* (*β⟨ίβ⟩λου* B) *δηλουμένων πράξεων ἔτη δέκα δύο* AB

2 *Ἀθήνησι*/// B 4 *σερουίλιος* AB | *μακερῖνος* B 5 *στρατείαν* Bb 9 *ἐπὶ τῇ βουλῇ συστὰς* om. Ba

⟨ἡ⟩ ἰσηγορία, καὶ κατὰ νόμους ἠξίου διοικεῖσθαι τά τε ἰδιωτικὰ καὶ τὰ δημόσια. οὔπω γὰρ τότε ἦν οὔτ' ἰσονομία παρὰ Ῥωμαίοις οὔτ' ἰσηγορία, οὐδ' ἐν γραφαῖς ἅπαντα τὰ δίκαια τεταγμένα· ἀλλὰ τὸ μὲν ἀρχαῖον οἱ βασιλεῖς αὐτῶν ἔταττον τοῖς δεομένοις τὰς δίκας, καὶ
3 τὸ δικαιωθὲν ὑπ' ἐκείνων τοῦτο νόμος ἦν. ὡς δ' ἐπαύσαντο μοναρχούμενοι, τοῖς κατ' ἐνιαυτὸν ὑπατεύουσιν ἀνέκειτο τά τε ἄλλα τῶν βασιλέων ἔργα καὶ ἡ τοῦ δικαίου διάγνωσις, καὶ τοῖς ἀμφισβητοῦσι πρὸς ἀλλήλους ὑπὲρ ὁτουδήτινος ἐκεῖνοι τὰ δίκαια οἱ διαι-
4 ροῦντες ἦσαν. τούτων δὲ τὰ μὲν πολλὰ τοῖς τρόποις τῶν ἀρχόντων ἀριστίνδην ἀποδεικνυμένων ἐπὶ τὰς 1983
ἀρχὰς ἀκόλουθα ἦν· κομιδῇ δ' ὀλίγα τινὰ ἐν ἱεραῖς ἦν βύβλοις ἀποκείμενα, ἃ νόμων εἶχε δύναμιν, ὧν οἱ πατρίκιοι τὴν γνῶσιν εἶχον μόνοι διὰ τὰς ἐν ἄστει διατριβάς, οἱ δὲ πολλοὶ ἐμπορευόμενοί τε καὶ γεωργοῦντες διὰ πολλῶν ἡμερῶν εἰς ἄστυ καταβαίνοντες
5 ἐπὶ τὰς ἀγορὰς ἄπειροι ἔτι ἦσαν. τὸ δὲ πολίτευμα τοῦτο πρῶτος μὲν ἐπείρασεν εἰσαγαγεῖν Γάιος Τερέν- 1984
τιος δημαρχῶν ἐν τῷ παρελθόντι ἔτει, ἀτελὲς δὲ ἠναγκάσθη καταλιπεῖν τοῦ τε πλήθους ὄντος ἐπὶ στρατοπέδων καὶ τῶν ὑπάτων ἐπίτηδες ἐν τῇ πολεμίᾳ γῇ τὰς δυνάμεις κατασχόντων, ἕως ὁ τῆς ἀρχῆς αὐτοῖς παρέλθῃ χρόνος.

1 ἡ add. Grimm | ἠξίου O ἠξίουν Grimm 5 οἱ βασιλεῖς ἐφ' αὐτῶν c. Reiske 8 ἔργα καὶ A εἶτα καὶ Ba ἔργα εἶτα καὶ Bb | καὶ δὴ καὶ ἡ τοῦ δικαίου c. Reiske 11 ἐπιτρόποις O τρόποις Reiske 13 ἀκόλουθα ἦν post ἀρχόντων transponendum esse cens. Reiske 14 β⟨ί⟩βλοις B | post ἃ erasae 8 fere litterae, quarum primae fuerunt γραφ B 16 ἐμπορευόμενοι ABb ἐμπορευό in albo, μενοί corrigens ex μόνοι Bb 17 καὶ διὰ c. Kiessling 19 τεργέντιος AB 22 στρατοπέδου A 23 αὐτοῖς O αὐτῷ c. Reiske

II. Τότε δ' αὐτὸ παραλαβόντες οἱ περὶ Αὖλον
Οὐεργίνιον δήμαρχοι τελειῶσαι ἐβούλοντο· ἵνα δὲ μὴ
τοῦτο γένοιτο μηδὲ κατὰ νόμους ἀναγκασθεῖεν πολι-
τεύεσθαι, πάντα ἐπιμηχανώμενοι διετέλουν οἵ τε ὕπατοι
καὶ ἡ βουλὴ καὶ τῶν ἄλλων πολιτῶν οἱ πλεῖστον ἐν
τῇ πόλει δυνάμενοι· βουλαί τε πολλαὶ καὶ ἐκκλησίαι
συνεχεῖς ἐγίνοντο πεῖραί τε παντοῖαι ταῖς ἀρχαῖς κατ'
ἀλλήλων, ἐξ ὧν οὐκ ἄδηλον ἅπασιν ἦν, ὅτι μεγάλη
τις καὶ ἀνήκεστος ἐξ ἐκείνης τῆς φιλονεικίας ἀναστή-
σεται τῇ πόλει συμφορά. συνήπτετο δὲ τοῖς ἀνθρω- 2
1985 πίνοις λογισμοῖς καὶ τὰ θεῖα δείματα προσγενόμενα,
ὧν ἔνια οὔτ' ἐν δημοσίαις εὑρίσκετο γραφαῖς οὔτε
κατ' ἄλλην φυλαττόμενα μνήμην οὐδεμίαν. ὅσα μὲν 3
γὰρ ἐν οὐρανῷ σέλα φερόμενα καὶ πυρὸς ἀνάψεις ἐφ'
ἑνὸς μένουσαι τόπου γῆς τε μυκήματα καὶ τρόμοι
συνεχεῖς ἐγίνοντο, μορφαί τ' εἰδώλων ἄλλοτ' ἀλλοῖαι
δι' ἀέρος φερόμεναι καὶ φωναὶ ταράττουσαι διάνοιαν
ἀνθρώπων, καὶ πάντα ὅσα τούτοις ὅμοια συνέπιπτεν,
εὑρίσκετο καὶ πάλαι ποτὲ γεγονότα ἧττον τε καὶ
μᾶλλον· οὗ δὲ ἄπειροί τε καὶ ἀνήκοοι ἔτι ἦσαν καὶ
ἐφ' ᾧ μάλιστα ἐταράχθησαν, τοιόνδ' ἦν· νιφετὸς ἐξ
οὐρανοῦ κατέσκηψεν εἰς γῆν πολὺς οὐ χιόνα κατα-
φέρων, ἀλλὰ σαρκῶν θραύσματα ἐλάττω τε καὶ μείζω.
1986 τούτων τὰ μὲν πολλὰ μετάρσια προσπετόμεναι πτηνῶν 4

9 φιλονικίας Ba φιλονεικίας ABb cf. Hultsch edit. Polyb. II[2] praef. VI Smit Obs. p. 52  14 φερόμενα] φαινόμενα c. Garrer Obs. p. 26  17 διανοίας c. Kiessling  18 ὅμοια τότε συνέπιπτεν c. Reiske  19 ἧττον δὲ καὶ μᾶλλον AB ἧ. τε καὶ μ. Sylburg  20 οὗ δὲ ἄπειροι ἔτι ἦσαν καὶ ἀνήκοοι A  21 ἐφ' ᾧ δὲ μάλιστα B cf. Cobet Obs. p. 186 ἐφ' ᾧ δὴ c. Naber Mnemos. 30, 251  24 ἔτι μετάρσια c. Reiske | προσπετόμενα πτερῶν A προσπετόμενα πτερωτῶν ὅσα ἐστὶν ἀγελαῖα c. Casaubonus, προσπετόμενα πετεινῶν ὅσα εἰσὶν ἀγελαῖα Portus

*ὅσαι εἰσὶν ἀγέλαι τοῖς στόμασιν ἥρπαζον, τὰ δ' ἐπὶ*
*τὴν γῆν ἐνεχθέντα ἐν αὐτῇ τε τῇ πόλει καὶ κατὰ*
*τοὺς ἀγροὺς μέχρι πολλοῦ χρόνου κείμενα ⟨ἦν⟩ οὔτε*
*χρόαν μεταβάλλοντα, οἵαν ἴσχουσι παλαιούμεναι σάρκες,*
*οὔτε σηπεδόνι διαλυόμενα, ὦζέ τε ἀπ' αὐτῶν οὐδὲν*
5 *πονηρόν. τοῦτο τὸ τέρας οἱ μὲν ἐπιχώριοι μάντεις* 1987
*οὐχ οἷοί τ' ἦσαν συμβαλεῖν· ἐν δὲ τοῖς Σιβυλλείοις*
*εὑρέθη χρησμοῖς, ὅτι πολεμίων ἀλλοεθνῶν παρ-*
*ελθόντων εἰς τὸ τεῖχος ἀγὼν ὑπὲρ ἀνδραποδισμοῦ*
*καταλήψεται τὴν πόλιν, ἄρξει δὲ τοῦ πρὸς τοὺς*
*ἀλλοεθνεῖς πολέμου στάσις ἐμφύλιος, ἣν χρῆν ἀρχο-*
*μένην ἐξελαύνοντας ἐκ τῆς πόλεως καὶ θεοὺς παραιτου-*
*μένους θυσίαις τε καὶ εὐχαῖς ἀποτρέψαι τὰ δεινά· καὶ*
6 *κρείττους ἔσεσθαι τῶν ἐχθρῶν. ὡς δ' ἐξηνέχθη ταῦτ'*
*εἰς τὸ πλῆθος, ἱερὰ μὲν πρῶτον ἔθυσαν, οἷς ἡ τούτων*
*ἐπιμέλεια ἀνέκειτο, θεοῖς ἐξακεστηρίοις τε καὶ ἀποτρο-*
*παίοις, ἔπειτα συναχθέντες εἰς τὸ βουλευτήριον οἱ*
*σύνεδροι παρόντων καὶ τῶν δημάρχων ὑπὲρ ἀσφαλείας*
*τε καὶ σωτηρίας τῆς πόλεως ἐσκόπουν.*

III. *Τὸ μὲν οὖν καταλύσασθαι τὰ πρὸς ἀλλήλους*
*ἐγκλήματα καὶ μιᾷ χρήσασθαι γνώμῃ περὶ τῶν κοινῶν,*
*ὡς ὑπετίθεντο οἱ χρησμοί, πάντες ὡμολόγουν· ὅπως*
*δ' ἂν τοῦτο γένοιτο καὶ ἀπὸ τίνων ἀρξαμένων εἴκειν*
*τοῖς ἑτέροις τὸ διάφορον παύσαιτο στασιάζον, οὐ* 1988

1 *ἐπὶ γῆν* O praeter B 3 post *χρόνου* add. *ἑωρᾶτο* Reiske *διέμεινεν* post *κείμενα* add. Casaubonus; Heylbutius de hac voce nihil adnotavit | *κείμενα* delendum esse censet Kiessling, qui *διέμεινεν* recepit **ἦν* inserui cf. Herod. 5, 49, Kühner Gram. gr. II 35, 3 4 *οἵαν ἴσχουσι*] *οἷα πάσχουσι* c. Casaubonus 5 post *σηπεδόνι* add. *ἦν ἰδεῖν* Sintenis Em. Dion. I 22 | *δια-λυόμεναι* O corr. Stephanus | *ὦζε///* *τὲ* B 11 *χρὴ* A *χρῆι* Ba *χρὴν* Bb 13 *ἀποστρέψαι* O praeter B 14 *ἔσεσθαι* A *ἔσονται* R 15 *ἱερεῖα* c. Stephanus 20 *καταλύσασθαι δεῖν* c. Kiessling 24 *διά-φορον καὶ πῶς παύσαιτο* O praeter B *παύσεται τὸ στασιάζον* A

μικρὰν αὐτοῖς παρεῖχεν ἀπορίαν. οἱ μὲν γὰρ ὕπατοι 2
καὶ οἱ τῆς βουλῆς προεστῶτες τοὺς εἰσφέροντας καινὰ
πολιτεύματα δημάρχους καὶ καταλύειν ἀξιοῦντας τὸν
πάτριον τῆς πολιτείας κόσμον αἰτίους ἀπέφαινον τῆς
ταραχῆς. οἱ δὲ δήμαρχοι σφᾶς μὲν αὐτοὺς οὐδὲν
ἔλεγον ἀνάξιον δρᾶν οὔτε ἄδικον οὔτε ἀσύμφορον
εὐνομίαν εἰσάγειν βουλομένους καὶ ἰσηγορίαν· τοὺς δὲ
ὑπάτους καὶ τοὺς πατρικίους αἰτίους ἔσεσθαι τῆς
στάσεως ἔλεγον ἀνομίαν αὔξοντας καὶ πλεονεξίαν καὶ
ζηλοῦντας τὰ τῶν τυράννων ἔθη. ταῦτα καὶ πολλὰ 3
τούτοις ὅμοια παρ' ἑκατέρων ἐπὶ πολλὰς ἡμέρας ἐλέ-
γετο, καὶ προὔβαινε διὰ κενῆς ὁ χρόνος· ἐν ᾧ τῶν
κατὰ τὴν πόλιν οὔτε δημοσίων οὔτε ἰδίων οὐδὲν
1989 ἐτελεῖτο. ὡς δ' οὐδὲν ἐγίνετο τῶν προὔργου, λόγων
μὲν ἐκείνων καὶ κατηγοριῶν, ἃς ἐποιοῦντο κατὰ τῆς
βουλῆς, οἱ δήμαρχοι ἀπέστησαν· συναγαγόντες δὲ τὸ
πλῆθος εἰς τὴν ἐκκλησίαν ὑπέσχοντο τῷ δήμῳ νόμον
εἰσοίσειν ὑπὲρ ὧν ἠξίουν. ἐπαινέσαντος δὲ τοῦ πλή- 4
θους τὸν λόγον οὐδὲν ἔτι ἀναβαλόμενοι τὸν παρα-
σκευασθέντα νόμον ἀνέγνωσαν· κεφάλαια δὲ αὐτοῦ
τάδε ἦν· ἄνδρας αἱρεθῆναι δέκα ὑπὸ τοῦ δήμου
συναχθείσης ἀγορᾶς ἐννόμου τοὺς πρεσβυτάτους τε
καὶ φρονιμωτάτους, οἷς ἐστι πλείστη πρόνοια τιμῆς τε
καὶ δόξης ἀγαθῆς· τούτους δὲ συγγράψαντας τοὺς
ὑπὲρ ἁπάντων νόμους τῶν τε κοινῶν καὶ τῶν ἰδίων

6 ἔλεγον ἀνάξιον δρᾶν οὔτε ἄδικον A ἔλεγον ἀξιοῦν οὔτε B 7 εὐνομίαν] ἰσονομίαν c. Cobet Obs. p. 186 8 ἔσεσθαι] γενέσθαι c. Kiessling 10 ἔθη O ἤθη Sylburg 13 οὔτε δημοσίᾳ οὔτε ἰδίᾳ c. Cobet Obs. p. 186 οὔτε δημόσιον οὔτε ἴδιον Reiske 14 ἐγίνετο ABb ἐγένετο Ba 15 μὲν om. O praeter B 17 εἰς ἐκκλησίαν c. Kiessling 19 ἀναβαλλόμενοι O praeter B 23 φρονίμους O φρονιμωτάτους Sylburg

εἰς τὸν δῆμον ἐξενεγκεῖν· τοὺς δὲ συγγραφησομένους
ὑπ' αὐτῶν νόμους κεῖσθαι ἐν ἀγορᾷ ταῖς καθ' ἕκαστον
ἐνιαυτὸν ἀποδειχθησομέναις ἀρχαῖς καὶ τοῖς ἰδιώταις
5 ὅρους τῶν πρὸς ἀλλήλους δικαίων. τοῦτον προθέντες
τὸν νόμον ἐξουσίαν ἔδοσαν τοῖς βουλομένοις αὐτοῦ
κατηγορεῖν, ἀποδείξαντες τὴν τρίτην ἀγοράν. ἦσαν δὲ
πολλοὶ καὶ οὐχ οἱ φαυλότατοι τῶν ἐκ τοῦ συνεδρίου,
πρεσβύτεροι καὶ νέοι, κατήγοροι τοῦ νόμου, λόγους 1990
διεξιόντες ἐκ πολλῆς ἐπιμελείας καὶ παρασκευῆς· καὶ
6 τοῦτ' ἐφ' ἡμέρας ἐγίνετο συχνάς. ἔπειτα οἱ δήμαρχοι
δυσχεραίνοντες ἐπὶ τῇ διατριβῇ τοῦ χρόνου λόγον μὲν
οὐδένα ἔτι τοῖς κατηγόροις τοῦ νόμου προέθεσαν,
ἡμέραν δὲ ἀποδείξαντες, ἐν ᾗ κυρώσειν αὐτὸν ἔμελλον,
παρεῖναι τοὺς δημότας εἰς αὐτὴν παρεκάλουν ἀθρόους,
ὡς οὐκέτι ταῖς μακραῖς δημηγορίαις ἐνοχληθησομένους,
ἀλλ' ἐποίσοντας ὑπὲρ αὐτοῦ τὴν ψῆφον κατὰ φυλάς.
οἱ μὲν δὴ ταῦτα ὑποσχόμενοι διέλυσαν τὴν ἐκκλησίαν.

IIII. Μετὰ δὲ ταῦτα οἵ τε ὕπατοι καὶ τῶν πατρικίων οἱ πλεῖστον δυνάμενοι τραχύτερον ἤδη αὐτῶν
προσιόντες καθήπτοντο λέγοντες, ὡς οὐκ ἐπιτρέψουσιν
αὐτοῖς νόμους εἰσηγεῖσθαι καὶ τούτους ἀπροβουλεύτους.
συνθήκας γὰρ εἶναι κοινὰς πόλεων τοὺς νόμους, οὐχὶ
μέρους τῶν ἐν ταῖς πόλεσιν οἰκούντων. τοῦ τε πονη- 1991
ροτάτου ὀλέθρου καὶ ἀνηκέστου καὶ οὐδ' εὐσχήμονος
ἀρχὴν ἀπέφαινον εἶναι πόλεσί τε καὶ οἴκοις, ὅταν τὸ
2 κάκιστον τῷ κρατίστῳ νομοθετῇ. Ποίαν δὲ ὑμεῖς,

2 ἐκκεῖσθαι Naber Mnemos. 30, 251 | ἕκαστον Bb in ras. 7 οὐχ οἱ] οὐχὶ A 8 πρεσβύτεροι B πρεσβύτατοι R 14 παρεκάλουν add. Bb supra lin. 20 προσιόντες] παριόντες c. Hertlein Hermes X 419 | ἐπιτρέψουσιν A ἐπιτρέπουσιν R 23 πονηροτάτου] φανερωτάτου c. Kiessling 24 ὀλέθρου καὶ οὐκ εὐσχήμονος O praeter B 26 ποίας AB

ἔφασαν, ὦ δήμαρχοι, νόμων εἰσφορᾶς ἢ ἀναιρέσεως
ἐξουσίαν ἔχετε; οὐκ ἐπὶ ῥητοῖς μὲν δικαίοις ταύτην
τὴν ἀρχὴν παρὰ τῆς βουλῆς ἐλάβετε, τοῖς δ' ἀδικου-
μένοις ἢ κατισχυομένοις τῶν πενήτων βοηθεῖν ᾐτήσασθε
τοὺς δημάρχους, ἄλλο δὲ μηδὲν πολυπραγμονεῖν; εἰ δ'
οὖν καὶ πρότερον ἦν τις ὑμῖν δύναμις, ἣν οὐκ ἐκ τοῦ
δικαίου βιασάμενοι ἡμᾶς ἐλάβετε, ὑποκατακλινομένης
ἑκάστῳ πλεονεκτήματι τῆς βουλῆς, οὐχὶ καὶ ταύτην
νῦν ἀπολωλέκατε τῇ μεταβολῇ τῶν ἀρχαιρεσιῶν; οὔτε 3
γὰρ βουλῆς δόγμα ὑμᾶς οὐκέτι ἀποδείκνυσιν ἐπὶ τὴν
ἀρχήν, οὔτε αἱ φρᾶτραι τὴν ψῆφον ὑπὲρ ὑμῶν ἐπι-
φέρουσιν, οὔτε ἱερὰ προθύεται τοῖς θεοῖς πρὸ τῶν
1992 ἀρχαιρεσιῶν, ἃ κατὰ νόμους ἐχρῆν ἐπιτελεῖσθαι, οὔτε
ἄλλο τῶν πρὸς τοὺς θεοὺς εὐσεβῶν ἢ πρὸς ἀνθρώπους
ὁσίων οὐθὲν ἐπὶ τῆς ἀρχῆς τῆς ὑμετέρας γίνεται.
τίνος οὖν ὑμῖν ἔτι μέτεστι τῶν ἱερῶν καὶ σεβασμοῦ
δεομένων, ὧν ἕν τι καὶ ὁ νόμος ἦν, ἐξαρνησαμένοις
ἅπαντα τὰ νόμιμα; Ταῦτά τε δὴ τοῖς δημάρχοις ἔλεγον 4
οἱ πρεσβύτεροι καὶ οἱ νέοι αὐτῶν καθ' ἑταιρίας διεξ-
ιόντες ἀνὰ τὴν πόλιν καὶ τοὺς μὲν ἐπιεικεστέρους τῶν
δημοτῶν ὁμιλίαις ἀνελάμβανον κεχαρισμέναις, τοὺς δ'
ἀπειθεῖς καὶ ταραχώδεις ἀπειλαῖς κατεπλήττοντο κιν-
δύνων, εἰ μὴ συμφρονήσειαν· ἤδη δέ τινας τῶν πάνυ
ἀπόρων καὶ ἀπερριμμένων, οἷς οὐθενὸς τῶν κοινῶν
παρὰ τὰ ἴδια κέρδη φροντὶς ἦν, παίοντες ὥσπερ ἀν-
δράποδα ἀνεῖργον ἐκ τῆς ἀγορᾶς.

9 ἀρχαιρεσίων B ἀρχαιρεσιῶν R 10 οὐκέτι add. B 13 ἀρχαιρεσίων AB 17 ἕν τι B ἔτι R 18 τὰ νόμιμα ἅπαντα O praeter B 19 καθ' ἑταιρίας A κατὰ ἑ. R ἑται-ρ⟨ί⟩ας Bb 21 δημοτῶν B πολιτῶν R 23 συμφρονήσειαν A σωφρονήσειαν R 25 ἴδια om. B

V. Ὁ δὲ πλείστους τε περὶ αὐτὸν ἔχων ἑταίρους
καὶ μέγιστον τῶν τότε νέων δυνάμενος Καίσων
Κοίντιος ἦν, υἱὸς Λευκίου Κοιντίου τοῦ καλουμένου 1993
Κικιννάτου, ᾧ γένος τ' ἦν ἐπιφανὲς καὶ βίος οὐθενὸς
δεύτερος, ἀνὴρ ὀφθῆναί τε κάλλιστος νέων καὶ τὰ
πολέμια πάντων λαμπρότατος φύσει τε περὶ λόγους
κεχρημένος ἀγαθῇ· ὃς ἐν τῷ τότε χρόνῳ πολὺς ἔρρει
κατὰ τῶν δημοτικῶν οὔτε λόγων φειδόμενος, ὧν βαρὺ
τοῖς ἐλευθέροις ἀκούειν, οὔτ' ἔργων ἀκολούθων τοῖς
λόγοις ἀπεχόμενος. οἱ μὲν οὖν πατρίκιοι τίμιον αὐτὸν
ἐπὶ τούτοις εἶχον καὶ μένειν παρὰ τὰ δεινὰ ἠξίουν
αὐτοὶ παρασχεῖν τὸ ἀσφαλὲς ὑπισχνούμενοι· οἱ δ' ἐκ
τοῦ δήμου πάντων δὴ μάλιστα αὐτὸν ἀνθρώπων ἐμί-
2 σουν. τοῦτον τὸν ἄνδρα ἔγνωσαν οἱ δήμαρχοι πρῶτον
ἐκποδὼν ποιήσασθαι, ὡς καταπληξόμενοι τοὺς λοιποὺς
τῶν νέων καὶ προσαναγκάσοντες σωφρονεῖν. γνόντες
δὲ ταῦτα καὶ παρασκευασάμενοι λόγους τε καὶ μάρτυ-
ρας πολλοὺς εἰσάγουσιν αὐτὸν ὑπὸ δίκην ἀδικήματος
δημοσίου, θανάτου τιμησάμενοι τὴν δίκην. παραγ-
γείλαντες δ' αὐτῷ παρεῖναι πρὸς τὸν δῆμον, ἐπειδὴ
καθῆκεν ὁ χρόνος, ὃν ἔταξαν τῇ δίκῃ, συναγαγόντες
ἐκκλησίαν μακροὺς ἐποιήσαντο κατ' αὐτοῦ λόγους, δι- 1994
εξιόντες ὅσα βίᾳ διαπεπραγμένος ἐτύγχανεν εἰς τοὺς
δημότας, ὧν τοὺς πεπονθότας αὐτοὺς παρῆγον μάρ-
3 τυρας. ὡς δὲ παρέδωκαν τὸν λόγον, αὐτὸ μὲν τὸ
μειράκιον οὐχ ὑπήκουε καλούμενον ἐπὶ τὴν ἀπολογίαν,
ἀλλ' ἠξίου τοῖς ἰδιώταις αὐτοῖς ὑπὲρ ὧν ᾐτιῶντο πα-

1 ὁ om. Ba | αὐτὸν O corr. Kiessling 6 περὶ] πρὸς c. Reiske 11 εἶχον] ἦγον c. Cobet Obs. p. 187 τίμιον αὐτὸν εἶχον καὶ ἐπὶ τούτοις μένειν Grimm 12 αὐτοὶ B αὐτὸν R | παρασχεῖν] παρέξειν c. Cobet l. l. παρασχήσειν Hertlein Hermes X 419 15 ἐκ ποδῶν A ἐκποδῶν B

θεῖν κατὰ τὸν νόμον ὑπέχειν δίκας, ἐπὶ τῶν ὑπάτων
τῆς κρίσεως γινομένης· ὁ δὲ πατὴρ αὐτοῦ χαλεπῶς
φέροντας τὴν αὐθάδειαν τοῦ μειρακίου τοὺς δημοτι-
κοὺς ὁρῶν ἀπελογεῖτο τὰ μὲν πολλὰ ψευδῆ τε καὶ ἐξ
ἐπιβουλῆς συγκείμενα κατὰ τοῦ παιδὸς ἀποδεικνύς·
ὅσα δ' οὐκ ἐνῆν ἀρνήσασθαι μικρὰ καὶ φαῦλα καὶ οὐκ 4
ἄξια δημοσίας ὀργῆς εἶναι λέγων καὶ οὐδὲ ταῦτα ἐξ
ἐπιβουλῆς ἢ δι' ὕβριν, ἀλλ' ὑπὸ φιλοτιμίας μειρα-
κιώδους γεγονότα ἐπιδεικνύμενος, δι' ἣν πολλὰ μὲν
αὐτῷ συμβῆναι δρᾶσαι τῶν ἀβουλήτων ἐν ἀψιμαχίαις,
πολλὰ δ' ἴσως καὶ παθεῖν, οὔτε ἡλικίας ἐν τῷ κρατίστῳ
1995 ὄντι οὔτε φρονήσεως ἐν τῷ καθαρωτάτῳ. ἠξίου τε 5
τοὺς δημοτικοὺς μὴ μόνον ὀργὴν μὴ ἔχειν ἐφ' οἷς
ἥμαρτεν εἰς ὀλίγους, ἀλλὰ καὶ χάριν εἰδέναι περὶ ὧν
ἅπαντας εὖ ποιῶν ἐν τοῖς πολέμοις διετέλεσε, τοῖς
μὲν ἰδιώταις ἐλευθερίαν κτώμενος, τῇ δὲ πατρίδι
ἡγεμονίαν, ἑαυτῷ δὲ εἴ ποτε ἁμάρτοι τι φιλανθρωπίαν
παρὰ τῶν πολλῶν καὶ βοήθειαν. καὶ διεξῄει τάς τε
στρατείας πάσας καὶ τοὺς ἀγῶνας ἅπαντας, ἐξ ὧν
ἀριστεῖα καὶ στεφάνους παρὰ τῶν στρατηγῶν ἔλαβε,
πολιτῶν τε ὁπόσων ἐν ταῖς μάχαις ὑπερήσπισε καὶ
τείχεσι πολεμίων ὁσάκις πρῶτος ἐπέβη. τελευτῶν δ' 6
εἰς οἴκτους κατέβαινε καὶ δεήσεις, ἀντὶ τῆς ἑαυτοῦ
πρὸς ἅπαντας ἐπιεικείας βίου τε, ὃς ἐμαρτυρεῖτο αὐτῷ
πάσης καθαρὸς διαβολῆς, μίαν ἀπαιτῶν παρὰ τοῦ
δήμου χάριν, φυλάξαι τὸν υἱὸν αὐτῷ.

9 ἐπιδεικνύμενος del. Reudler Tiroc. crit. p. 43 13 οὐ μόνον Kayser Ann. phil. 1870, 723 | μὴ ante ἔχειν add. Bb in margine 14 εἰς λόγους O εἰς ὀλίγους c. Kiessling | περὶ] ὑπὲρ Cobet Obs. p. 187 18 παρὰ τῶν πολιτῶν c. Kiessling 19 στρατίας Ba στρατείας Bb | πάσας O ἁπάσας Kiessling 20 τἀριστεῖα c. Kiessling 23 ἀντὶ om. O praeter B

VI. Ὁ μὲν οὖν δῆμος ἥδετο πάνυ τοῖς λόγοις καὶ
χαρίζεσθαι τὸ μειράκιον τῷ πατρὶ πρόθυμος ἦν. ὁ δὲ
Οὐεργίνιος ὁρῶν, ὅτι μὴ δόντος ἐκείνου δίκην ἀφόρη- 1996
τον ἔσται ⟨τὸ⟩ θράσος τῶν αὐθαδῶν μειρακίων, ἀν-
2 ίσταται καί φησιν· Σοὶ μέν, ὦ Κοίντιε, ἥ τε ἄλλη
μαρτυρεῖται πᾶσα ἀρετὴ καὶ ἡ πρὸς τοὺς δημοτικοὺς
εὔνοια, ἀνθ' ὧν τὸ τιμᾶσθαί σοι πάρεστιν. ἡ δὲ τοῦ
μειρακίου βαρύτης καὶ ἡ πρὸς ἅπαντας ἡμᾶς ὑπερ-
ηφανία παραίτησιν ἢ συγγνώμην οὐδεμίαν ἐπιδέχεται·
ὅστις ὑπὸ τοῖς σοῖς ἤθεσι τραφεὶς οὕτως οὖσι δημοτι-
κοῖς καὶ μετρίοις, ὡς ἅπαντες ἴσμεν, τῶν μὲν σῶν
ὑπερεῖδεν ἐπιτηδευμάτων, τυραννικὴν δὲ αὐθάδειαν
καὶ βαρβάρων ἀνθρώπων ὕβριν ἠγάπησε, καὶ πονηρῶν
3 ἔργων ζῆλον εἰς τὴν πόλιν ἡμῶν εἰσαγήοχεν. εἰ μὲν
οὖν ἐλάνθανέ σε τοιοῦτος ὤν, νῦν ὅτ' ἔγνωκας ἀγα-
νακτεῖν ὑπὲρ ἡμῶν δίκαιος ἂν εἴης· εἰ δὲ συνῄδεις τε
καὶ συνέπραττες οἷς προεπηλάκιζε τὴν τῶν πενήτων
πολιτῶν τύχην, πονηρὸς ἄρα καὶ αὐτὸς ἦσθα, καὶ ἡ
τῆς καλοκἀγαθίας δόξα οὐκ ἐκ τοῦ δικαίου σοι περι-
γέγονεν. ἀλλὰ γὰρ ὅτι ἠγνόεις αὐτὸν οὐκ ὄντα τῆς
σῆς ἀρετῆς ἄξιον, ἐγώ σοι τοῦτ' ἔχω μαρτυρεῖν. ἀπο- 1997
λύων δέ σε τοῦ τότε συναδικεῖν ἡμᾶς μέμφομαι τοῦ
4 νῦν ἡμῖν μὴ συναγανακτεῖν. ἵνα δὲ μᾶλλον μάθῃς,
ἡλίκον ἄρα τῇ πόλει κακὸν ἐπιτρέφων ἐλάνθανες, ὡς
ὠμὸν καὶ τυραννικὸν καὶ οὐδὲ φόνου πολιτικοῦ καθα-
ρόν, ἄκουσον αὐτοῦ φιλότιμον ἔργον καὶ ἀντιπαρεξ-

4 τὸ add. Kiessling 5 κόιντε AB 7 πάρεστιν O περίεστιν Reiske 14 ἔργων deest in edit. Paris. 15 νῦν γ' ὅτι c. Kiessling 16 μεθ' ὑμῶν c. Portus | δίκαι⟨ος ἂν εἴης⟩ Bb in ras. | τε om. B 20 ἀλλὰ γὰρ ὅτι ἠγνόεις A ἀλλὰ γὰρ ἠγνόεις R 24 ἐπιτρέφων O ὑποτρέφων Stephanus cf. VII 9, 1 (14, 14) ubi ἐπιτρέφεσθαι mutandum non erat

ἔτασον αὐτῷ τὰς ἐν τοῖς πολέμοις ἀριστείας· καὶ ὑμῶν
ὅσοι συνεπαθεῖτε ἀρτίως οἰκτιζομένῳ τῷ ἀνδρὶ σκοπεῖτε,
εἰ ἄρα καλῶς ὑμῖν ἔχει τοιούτου φείσασθαι πολίτου.

VII. Ταῦτ' εἰπὼν ἀνίστησιν ἐκ τῶν συναρχόντων
Μάρκον Οὐολούσκιον καὶ λέγειν ἐκέλευσεν, ἃ σύνοιδε
τῷ μειρακίῳ. σιωπῆς δὲ γενομένης καὶ πολλῆς ἐξ
ἁπάντων προσδοκίας μικρὸν ἐπισχὼν ὁ Οὐολούσκιος
εἶπεν· Ἐγὼ μάλιστα ἐβουλόμην ἄν, ὦ πολῖται, δίκην 2
ἰδίαν, ἣν ὁ νόμος δίδωσί μοι, παρὰ τούτου λαβεῖν
1998 δεινὰ καὶ πέρα δεινῶν πεπονθώς· κωλυθεὶς δὲ τούτου
τυχεῖν διὰ πενίαν καὶ ἀσθένειαν καὶ τὸ τῶν πολλῶν
εἷς εἶναι, νῦν γ' ἡνίκα ἔξεστί μοι τὸ τοῦ μάρτυρος
σχῆμα, ἐπειδὴ οὐ τὸ τοῦ κατηγόρου, λήψομαι. ἃ δὲ
πέπονθα, ὡς ὠμὰ καὶ ἀνήκεστα, ἀκούσατέ μου. ἀδελ- 3
φὸς ἦν μοι Λεύκιος, ὃν ἐγὼ πάντων ἀνθρώπων μᾶλλον
ἠγάπησα. οὗτός μοι συνεδείπνει παρὰ φίλῳ, καὶ μετὰ
ταῦτ' ἀναστάντες τῆς ἐχομένης νυκτὸς ᾠχόμεθα. δι-
εληλυθόσι δ' ἡμῖν τὴν ἀγορὰν περιτυγχάνει Καίσων
οὑτοσὶ κωμάζων σὺν ἑτέροις ἀγερώχοις μειρακίοις.
καὶ οὗτοι τὸ μὲν πρῶτον ἔσκωπτόν τε καὶ ὕβριζον εἰς
ἡμᾶς, οἷα μεθύοντες ἂν νέοι καὶ αὐθάδεις [ὡς ἂν] εἰς
ταπεινοὺς καὶ πένητας [ὑβρίσαιεν], ὡς δ' ἠγανακτοῦμεν
πρὸς αὐτούς, ἐλεύθερον ῥῆμα εἰς τοῦτον εἶπε. δεινὸν

8 μάλιστ' ἂν ἐβουλόμην c. Cobet Obs. p. 187 10 πέρα/// B
12 νῦν ἡνίκα O praeter B νῦν γε δή, ἡνίκα c. Reiske 15 μᾶλλον]
μάλιστα c. Cobet Obs. p. 188 17 ἐχομένης O ἐρχομένης c. Portus
ἀρχομένης c. Cobet Obs. p. 187 20 εἰς A om. B 21 οἷα
μεθύοντες ἂν O οἷ' ἂν μ. c. Cobet Obs. p. 188 οἷα μεθύοντες
ἂν et οἷ' ἂν — 22 ὑβρίσαιεν exstant apud Prou cf. Vassis Ἀθ.
tom. VIII 262 | αὐθάδεις ὡς ἂν εἰς ταπεινοὺς AB αὐθάδεις
ὅσ' ἂν εἰς c. Kiessling αὐθάδεις εἰς δημότας ταπεινοὺς c. Reiske |
ὡς ἂν del. Cobet Obs. p. 188 Hertlein Hermes X 419 idemque
v. 22 ὑβρίσαιεν 22 ὑβρίσαιεν cf. Jacoby Obs. p. 328 23 πρὸς
αὐτούς, Λεύκιος εἶπε c. Smit Obs. p. 44 | εἰς τούτων εἶπε A

δ' ἡγησάμενος οὑτοσὶ Καίσων ἀκοῦσαί τι, ὧν οὐκ 1999
ἐβούλετο, προσδραμὼν αὐτῷ παίων καὶ λακτίζων καὶ
πᾶσαν ἄλλην ὠμότητα καὶ ὕβριν ἐνδεικνύμενος ἀπο-
4 κτείνει. ἐμοῦ δὲ κεκραγότος καὶ ἀμυνομένου τοσαῦτα
ὅσα ἐδυνάμην, ἐκεῖνον ἤδη νεκρὸν κείμενον ἀφεὶς ἐμὲ
πάλιν ἔπαιε καὶ οὐ πρότερον ἐπαύσατο, πρὶν ἀκίνητόν
τε καὶ ἄφωνον εἶδεν ἐρριμμένον, δόξας εἶναι νεκρόν.
μετὰ δὲ ταῦτα οὗτος μὲν ἀπιὼν ᾤχετο χαίρων ὥσπερ
ἐπὶ καλῷ ἔργῳ· ἡμᾶς δὲ οἱ παραγενόμενοι μετὰ ταῦτα
αἵματι πεφυρμένους αἴρουσι καὶ εἰς τὴν οἰκίαν ἀπεκό-
μισαν, τὸν μὲν ἀδελφόν μου [Λεύκιον] νεκρόν, ὥσπερ
ἔφην, ἐμὲ δὲ ἡμιθανῆ καὶ ἐλπίδας ἔχοντα τοῦ ζῆν
5 ὀλίγας. ταῦτα δ' ἐγένετο Ποπλίου Σερουιλίου καὶ
Λευκίου Αἰβουτίου τὴν ὑπατείαν ἐχόντων, ὅτε ἡ μεγάλη
νόσος κατέλαβε τὴν πόλιν, ἧς ἀπελαύσαμεν καὶ ἡμεῖς
ἀμφότεροι. τότε μὲν οὖν δίκην οὐχ οἷόν τ' ἦν μοι
παρ' αὐτοῦ λαβεῖν τεθνηκότων ἀμφοτέρων τῶν ὑπάτων· 2000
Λευκίου δὲ Λοκρητίου καὶ Τίτου Οὐετουρίου παρα-
λαβόντων τὴν ἀρχὴν βουλόμενος αὐτὸν ἀγαγεῖν ὑπὸ
δίκην ἐκωλύθην διὰ τὸν πόλεμον, ἐκλελοιπότων ἀμ-
6 φοτέρων τῶν ὑπάτων τὴν πόλιν. ὡς δὲ ἀνέστρεψαν
ἀπὸ τῆς στρατείας, πολλάκις αὐτὸν ἐπὶ τὴν ἀρχὴν
καλῶν, ὁσάκις προσέλθοιμι — καὶ ταῦτα δὴ πολλοὶ
τῶν πολιτῶν ἴσασι — πληγὰς ἐλάμβανον ὑπ' αὐτοῦ.
ταῦτ' ἐστὶν ἃ πέπονθα, ὦ δημόται, μετὰ πάσης ἀλη-
θείας εἰρημένα πρὸς ὑμᾶς.

εἰς τοῦτον εἶπε B εἰς τοῦτον εἶπεν ὁ ἀδελφὸς c. Gelenius εἰς τούτων ἕνα εἴπαμεν c. Reiske 3 ὠμότητα καὶ om. O praeter B 4 τοσαῦτα om. O praeter B 5 ἐμὲ om. O praeter B 8 ἀπ⟨ι⟩ὼν Bb 10 ⟨αἴ⟩ρουσι Bb 11 μου om. O praeter B | Λεύκιον del. Cobet Obs. p. 188 13 ἐγίνετο AB ἐγένετο Kiessling 15 *ἀπηλαύσαμεν O cf. ἀπήλαυσαν IX 46 IX 58 18 Λουκίου δὲ B om. R 23 προέλθοιμι O corr. Reiske

VIII. *Ταῦτ' εἰπόντος αὐτοῦ κραυγή τε ἐκ τῶν
παρόντων ἐγένετο καὶ ὁρμὴ πολλῶν ἐπὶ τὴν ἐκ χειρὸς
δίκην. ἀλλ' οἵ τε ὕπατοι ἐμποδὼν ἐγένοντο καὶ τῶν
δημάρχων οἱ πλείους πονηρὸν ἔθος οὐκ ἀξιοῦντες εἰς
τὴν πόλιν εἰσάγειν. ἦν δὲ καὶ τοῦ δήμου τὸ καθαρώ-
τατον οὐ βουλόμενον ἀποστερεῖν λόγου τοὺς ὑπὲρ τῶν
μεγίστων ἀγωνιζομένους. τότε μὲν οὖν ἐπέσχε τὴν* 2
2001 *τῶν θρασυτέρων ὁρμὴν ἡ τοῦ δικαίου πρόνοια, καὶ
ἀναβολὴν ἔλαβεν ἡ δίκη, οὐ μικρᾶς ἐμπεσούσης φιλο-
τιμίας καὶ ζητήσεως ὑπὲρ τοῦ σώματος, εἴτ' ἐν δεσμοῖς
αὐτὸ δεῖ φυλάττεσθαι τέως, εἴτ' ἐγγυητὰς δοῦναι τῆς
ἀφίξεως, ὥσπερ καὶ ὁ πατὴρ ἠξίου· καὶ ἡ βουλὴ συν-
ελθοῦσα ἐψηφίσατο χρήμασι διεγγυηθὲν ἐλεύθερον
εἶναι τὸ σῶμα μέχρι δίκης. τῇ δ' ἑξῆς ἡμέρᾳ συν-* 3
*αγαγόντες οἱ δήμαρχοι τὸ πλῆθος, ἐκλιπόντος τοῦ
μειρακίου τὴν δίκην, ἐκύρωσαν τὴν κατ' αὐτοῦ ψῆφον
καὶ τοὺς ἐγγυητὰς δέκα ὄντας ἐπράξαντο τὰ περὶ τοῦ
σώματος τῆς ἀποκαταστάσεως ὁμολογηθέντα χρήματα.*
2002 *Καίσων μὲν οὖν τοιαύτῃ περιπεσὼν ἐπιβουλῇ, κατα-* 4
*σκευασαμένων ἅπαντα τῶν δημάρχων καὶ Οὐολουσκίου
ψευδῆ μαρτυρήσαντος, ὡς ἐγένετο φανερὸν σὺν χρόνῳ,
φεύγων εἰς Τυρρηνίαν ᾤχετο· ὁ δὲ πατὴρ αὐτοῦ τὰ
πλεῖστα τῆς οὐσίας ἀπεμπολήσας καὶ τὰ ὁμολογηθέντα
ὑπὸ τῶν ἐγγυητῶν χρήματα ἀποδοὺς ἑαυτῷ χωρίον ἓν
μικρὸν ὑπολειπόμενος πέραν τοῦ Τεβέριος ποταμοῦ,*

2 *ἐγένετο* O *ἐγίνετο* Reiske 3 *ἐγένοντο* O *ἐγίνοντο* Reiske 6 *ὑπὲρ*] *ὑπὸ* Ba corr. Bb 8 *ἡ τοῦ δαιμονίου πρόνοια* c. Stephanus 12 *ὥσπερ ὁ* O praeter A | *συνελθοῦσα* om. O praeter B 13 *διεγγυηθὲν*] *δὲ ἐγγυηθὲν* B 15 *ἐκλ⟨ι⟩πόντος* Bb 20 *ἀπάντων* A 21 *ψευδῆ* om. B | *ὡς* A *ὅτ'* B 25 *ὑπολιπόμενος* c. Cobet Obs. p. 188 | *τιβέρεως* A *τεβέριος* B cf. Hultsch ed. Polyb. I[2] praef. p. 58

ἐν ᾧ ταπεινή τις ἦν καλύβη, γεωργῶν αὐτόθι μετὰ
δούλων ὀλίγων ἐπίπονον καὶ ταλαίπωρον ἔζη βίον
ὑπὸ λύπης τε καὶ πενίας, οὔτε πόλιν ὁρῶν οὔτε φίλους
ἀσπαζόμενος οὔθ' ἑορτάζων οὔτ' ἄλλης εὐφροσύνης
5 οὐδεμιᾶς ἑαυτῷ μεταδιδούς. τοῖς μέντοι δημάρχοις
πολὺ τὸ παράλογον ἐγένετο τῆς ἐλπίδος. οὐ γὰρ ὅπως
ἐπαύσατο ἡ τῶν νέων φιλοτιμία σωφρονισθεῖσα τῇ
Καίσωνος συμφορᾷ, πολὺ δὲ χαλεπωτέρα καὶ πλείων
ἐγένετο ἔργοις τε καὶ λόγοις καταγωνιζομένη τὸν νόμον· 2003
ὥστ' οὐθὲν ἔτι αὐτοῖς ἐξεγένετο διαπράξασθαι δαπανη-
θέντος εἰς ταῦτα τοῦ χρόνου τῆς ἀρχῆς. ὁ μέντοι
δῆμος εἰς τὸν ἐπιόντα πάλιν ἐνιαυτὸν ἄρχοντας ἀπ-
έδειξεν αὐτούς.

VIIII. Ποπλίου δὲ Οὐαλερίου Ποπλικόλα καὶ Γαΐου
Κλαυδίου Σαβίνου τὴν ὑπατικὴν ἐξουσίαν παραλαβόν-
των κίνδυνος ὅσος οὔπω τὴν Ῥώμην κατέσχεν ἐξ ἀλ-
λοεθνοῦς πολέμου, ὃν παρήγαγεν ἐντὸς τείχους ἡ
πολιτικὴ στάσις, ὡς οἵ τε Σιβύλλειοι χρησμοὶ προὔ-
λεγον καὶ τὰ ἐκ τοῦ δαιμονίου φανέντα προεθέσπισε
τῷ παρελθόντι ἐνιαυτῷ. διηγήσομαι δὲ τήν τε αἰτίαν,
ἀφ' ἧς ὁ πόλεμος εἰσῆλθε, καὶ τὰ πραχθέντα τοῖς
2 ὑπάτοις κατὰ τὸν τότε ἀγῶνα. οἱ παρειληφότες τὸ
δεύτερον τὴν δημαρχίαν ἐπὶ τῇ ἐλπίδι τοῦ κυρώσειν
τὸν νόμον, ὁρῶντες τῶν τε ὑπάτων τὸν ἕτερον, Γάιον
Κλαύδιον, ἔμφυτον τὸ πρὸς τοὺς δημοτικοὺς ἔχοντα
μῖσος διὰ προγόνων καὶ παρεσκευασμένον ἁπάσῃ μη-
χανῇ κωλύειν τὰ γινόμενα, τῶν τε νέων τοὺς πλεῖστον
δυναμένους εἰς ἀπόνοιαν φανερὰν προεληλυθότας, οὓς 2004
οὐκ ἐνῆν τῷ βιαίῳ καταγωνίσασθαι, μάλιστα δὲ τοῦ

3 τὴν πόλιν c. Reiske 12 τοὺς αὐτούς A αὑτοὺς B 18 Σι-
βύλλιοι Ba 29 τῷ βιαίῳ τρόπῳ c. Grasberger Philol. 28, 345

δήμου τὸ πλεῖον ὑποκατακλινόμενον ταῖς θεραπείαις
τῶν πατρικίων καὶ προθυμίαν οὐκέτι περὶ τοῦ νόμου
τὴν αὐτὴν παρεχόμενον, ἰταμωτέραν ὁδὸν ἔγνωσαν ἐπὶ
τὰ πράγματα πορεύεσθαι, δι' ἧς καταπλήξονται μὲν
τὸν δῆμον, ἀναβαλοῦσι δὲ τὸν ὕπατον. πρῶτον μὲν 3
κατεσκεύασαν φήμας λέγεσθαι κατὰ τὴν πόλιν παντο-
δαπάς· ἔπειτ' ἐξ ἑωθινοῦ καθεζόμενοι δι' ὅλης ἡμέρας
συνήδρευον ἐν τῷ φανερῷ, μεταδιδόντες οὐθενὶ τῶν
ἔξωθεν οὔτε βουλεύματος οὔτε λόγου. ἐπεὶ δὲ καιρὸς
ἐπιτήδειος ἔδοξεν αὐτοῖς εἶναι πράττειν τὰ βεβουλευ-
μένα, πλασάμενοι γράμματα καὶ ταῦτα παρασκευάσαντες
ἀναδοθῆναι σφίσιν ὑπ' ἀνδρὸς ἀγνῶτος καθημένοις ἐν
ἀγορᾷ, ὡς διῆλθον αὐτά, παίοντες τὰ μέτωπα καὶ
κατηφεῖς τὰς ὄψεις ποιήσαντες ἀνίστανται. πολλοῦ δὲ 4
2005 συνδραμόντος ὄχλου καὶ μέγα τι κακὸν ἐν τοῖς γράμ-
μασιν ἐνεῖναι γεγραμμένον μαντευομένου σιωπὴν προ-
κηρύξαντες εἶπον· ἐν ἐσχάτοις ἐστὶν ὑμῖν κινδύνοις,
ὦ πολῖται, τὸ δημοτικόν· καὶ εἰ μὴ θεῶν τις εὔνοια
προείδετο τῶν ἄδικα πάσχειν μελλόντων, εἰς δεινὰς ἂν
ἅπαντες ἤλθομεν συμφοράς. αἰτούμεθα δὲ ὑμᾶς βραχὺν
ἐπισχεῖν χρόνον, ἕως τῇ βουλῇ δηλώσωμεν τὰ προσ-
αγγελθέντα καὶ μετὰ κοινῆς γνώμης πράξωμεν τὰ
δέοντα. Ταῦτ' εἰπόντες ᾤχοντο πρὸς τοὺς ὑπάτους. ἐν 5
ὅσῳ δὲ ἡ βουλὴ συνήγετο χρόνῳ, πολλοὶ καὶ παντο-
δαποὶ λόγοι κατὰ τὴν ἀγορὰν ἐγίνοντο, τῶν μὲν ἐκ

4 δι' ἧς καταπλήξονται μὲν τὸν δῆμον, ἀναβαλοῦσι δὲ O καταβαλοῦσι c. Stephanus ἀναλήψονται pro καταπλήξονται c. Kiessling; mea quidem sententia nihil mutandum est ἀναβάλλειν τινὰ einen lähmen (cf. Dem. Chers. p. 102) 11 ταῦτα om. A 17 εἶπαν Ba εἶπον R 19 προεῖδε τούτων ἄδικα AB προείδετο τούτων ἄ. c. Sylburg 21 ἕως δηλώσωμεν Ba ἕ. δηλώσομεν Bb ἕως ἂν δηλώσωμεν R 22 πράξομεν Bb πράξωμεν R cf. Krebs Praeposit. II 16 adn. 23 δέοντα A δόξαντα B

παρασκευῆς ἃ παρηγγέλλετο αὐτοῖς ὑπὸ τῶν δημάρχων
κατὰ συστροφὰς λαλούντων, τῶν δέ, ἃ μάλιστα ἐδεδοί-
κεσαν μὴ γένηται, ταῦτα ὡς ἀπηγγελμένα τοῖς δημάρ-
6 χοις λεγόντων. ἔφη δ' ὁ μέν τις Αἰκανοὺς καὶ Οὐο-
λούσκους ὑποδεξαμένους Καίσωνα Κοίντιον τὸν ὑπὸ
τοῦ δήμου καταδικασθέντα ᾑρῆσθαι στρατηγὸν αὐτο- 2006
κράτορα τῶν ἐθνῶν καὶ πολλὰς δυνάμεις ἀγείραντα
μέλλειν ἐπὶ τὴν Ῥώμην ἐλαύνειν· ὁ δέ τις ἀπὸ κοινῆς
γνώμης τῶν πατρικίων τὸν ἄνδρα κατάγεσθαι ξενικαῖς
δυνάμεσιν, ἵνα ἡ φυλακὴ καταλυθείη νῦν τε καὶ εἰς
τὸν λοιπὸν χρόνον τῶν δημοτικῶν· ὁ δέ τις οὐχ ἅπαν-
τας εἶναι τοὺς πατρικίους ἔφη τοὺς ταῦτα βεβουλευ-
7 μένους, ἀλλὰ μόνους τοὺς νέους. ἐτόλμων δέ τινες
λέγειν, ὅτι καὶ ἐντὸς τῆς πόλεως ὁ ἀνὴρ εἴη κρυπτό-
μενος καὶ μέλλοι καταλαμβάνεσθαι τῶν τόπων τοὺς
ἐπικαιροτάτους. ὅλης δὲ κραδαινομένης ἐπὶ τῇ προσ-
δοκίᾳ τῶν δεινῶν τῆς πόλεως, καὶ πάντων ἀλλήλους
ἐχόντων δι' ὑποψίας καὶ φυλακῆς, οἱ μὲν ὕπατοι τὴν
βουλὴν ἐκάλουν, οἱ δὲ δήμαρχοι παρελθόντες ἐδείκνυ-
σαν τὰ προσαγγελλόμενα. ἦν δὲ ὁ τοὺς λόγους ὑπὲρ
αὐτῶν ποιούμενος Αὖλος Οὐεργίνιος καὶ ἔλεξε τοιάδε·

X. Ὅσον μὲν χρόνον οὐθὲν ἀκριβὲς ἡμῖν ἐφαί-
νετο τῶν προσαγγελλομένων δεινῶν, ἀλλὰ φῆμαι
μετέωροι, καὶ τὸ βεβαιῶσον αὐτὰς οὐθὲν ἦν, ὠκνοῦ- 2007
μεν, ὦ βουλή, φέρειν τοὺς περὶ αὐτῶν λόγους εἰς
μέσον, ταραχάς τε ὑποπτεύοντες ἔσεσθαι μεγάλας,

1 παρηγγέλλετο AB παρήγγελτο R (?) 5 τὸν ὑπὸ τοῦ δήμου καταδικασθέντα del. Garrer Obs. p. 37 7 ἀγείραντα O ἀγείραντας Kiessling 10 καταλυθείη B καταλυθῇ R 15 τῶν τόπων τὰ ἐπικαιρότατα c. Garrer Obs. p. 62 16 κραδ⟨αι⟩νομένης Bb 19 παρελθόντες B προσελθόντες A 25 εἰς μέσον B εἰς τὸ μέσον R

οἷα εἰκὸς ἐπὶ δεινοῖς ἀκούσμασι, καὶ δι' εὐλαβείας
ἔχοντες, μὴ ταχύτερα δόξωμεν ὑμῖν βεβουλεῦσθαι
μᾶλλον ἢ φρονιμώτερα. οὐ μὴν ὀλιγωρίᾳ γ' αὐτὰ 2
παραδόντες ἀφήκαμεν, ἀλλ' ὅση δύναμις ἡμῖν ἦν ἐπι-
μελῆ ζήτησιν ἐποιούμεθα τῆς ἀληθείας. ἐπεὶ δὲ ἡ
τοῦ δαιμονίου πρόνοια, ὑφ' ἧς ἀεὶ σωζόμεθα κοινῇ,
καλῶς ποιοῦσα τὰ κεκρυμμένα βουλεύματα καὶ τὰς
ἀνοσίους ἐπιχειρήσεις τῶν θεοῖς ἐχθρῶν εἰς φῶς ἄγει,
καὶ γράμματα πάρεστιν ἡμῖν, ἃ δεδέγμεθα νεωστὶ
παρὰ ξένων εὔνοιαν ἡμῖν ἐνδεικνυμένων, οὓς ὕστερον
ἀκούσεσθε, καὶ συντρέχει τε καὶ συνᾴδει τοῖς ἔξωθεν
ἐπιστελλομένοις τὰ ἐνθένδε μηνυόμενα, καὶ τὰ πράγ-
ματα οὐκέτι μέλλησιν οὐδ' ἀναβολὴν ἐν χερσὶν ὄντα
ἐπιδέχεται, πρὶν εἰς τὸν δῆμον ἐξενεγκεῖν, ὑμῖν πρώ-
τοις ὥσπερ ἐστὶ δίκαιον ἀπαγγεῖλαι διέγνωμεν αὐτά.
ἴστε δὴ συνωμοσίαν ἐπὶ τῷ δήμῳ γεγενημένην ὑπ' 3
2008 ἀνδρῶν οὐκ ἀφανῶν, ἐν οἷς ἐνεῖναι μέν τι λέγεται
μέρος οὐ πολὺ καὶ τῶν εἰς τόδε συλλεγομένων τὸ
συνέδριον πρεσβυτέρων, τὸ δὲ πλεῖστον ἐκ τῶν ἔξω
τῆς βουλῆς ἱππέων, οὓς οὔπω καιρὸς οἵτινές εἰσιν
ὑμῖν λέγειν. μέλλουσι δ' οὖν, ὡς πυνθανόμεθα, σκο- 4
ταίαν φυλάξαντες νύκτα κοιμωμένοις ἡμῖν ἐπιχειρεῖν,
ἡνίκα οὔτε προιδεῖν τι τῶν γινομένων οὔτε φυλάξα-
σθαι καθ' ἓν γενόμενοι δυνάμεθα· ἐπιπεσόντες δὲ ταῖς
οἰκίαις τούς τε δημάρχους ἡμᾶς κατασφάττειν καὶ τῶν
δημοτῶν ἄλλους [τοὺς] ἐναντιωθέντας ποτὲ αὐτοῖς περὶ

5 ἐπεὶ δὴ Ba ἐπεὶ δὲ R 9 νεωστὶ om. A 10 ἐπιδεικνυ-μένων A 11 καὶ συντρέχει τε om. A 13 μέ⟨λ⟩ησιν Bb 17 λέγεται del. Naber Mnem. 30, 251 20 οἵτι⟨νες εἰ⟩σιν B οἵτινες εἶεν R 23 τι om. O praeter B 26 ἄλλ⟨ους⟩ Bb ἄλλους aut delendum esse aut scribendum ἄλλους τε πολλοὺς καὶ μάλιστα τοὺς c Reiske ἀθρόους c. Grasberger Philol. 28, 346;

5 ἐλευθερίας ἢ τὸ λοιπὸν ἐναντιωσομένους. ὅταν δὲ
ἡμᾶς ἐκποδὼν ποιήσωνται, τότ᾽ ἤδη κατὰ πολλὴν
ἀσφάλειαν ἡγοῦνται διαπράξασθαι παρ᾽ ὑμῶν τὰ λοιπὰ
ἀναιρεθῆναι διὰ κοινοῦ ψηφίσματος τὰς γενομένας
ὑμῖν πρὸς τὸν δῆμον ὁμολογίας. ὁρῶντες δέ, ὅτι
ξενικῆς αὐτοῖς χειρὸς εἰς τὰ πράγματα δεῖ κρύφα
παρασκευασθείσης καὶ οὐδὲ ταύτης μετρίας, ἄνδρα 2009
προσειλήφασιν εἰς ταῦτα τῶν ὑμετέρων φυγάδων
Καίσωνα Κοίντιον ἡγεμόνα, ὃν ἐπὶ φόνοις πολιτῶν
καὶ διαστάσει τῆς πόλεως ἐξελεγχθέντα διεπράξαντό
τινες τῶν ἐνθάδε μὴ δοῦναι δίκην, ἀλλ᾽ ἀθῷον
ἀπελθεῖν ἐκ τῆς πόλεως, κάθοδόν τε πράξειν ὑπ-
έσχηνται καὶ ἀρχὰς προτείνονται καὶ τιμὰς καὶ ἄλλους
6 μισθοὺς τῆς ὑπουργίας. κἀκεῖνος ὑπέσχηται στρατιὰν
αὐτοῖς Αἰκανῶν καὶ Οὐολούσκων ἄξειν ἐπίκουρον,
ὅσης ἂν δεηθῶσιν· ἥξει τε οὐκ εἰς μακρὰν αὐτὸς μὲν
ἐπαγόμενος τοὺς εὐτολμοτάτους κρύφα κατ᾽ ὀλίγους
εἰσάγων καὶ σποράδας, ἡ δ᾽ ἄλλη δύναμις, ὅταν οἱ
τοῦ δήμου προεστηκότες ἡμεῖς διαφθαρῶμεν, ἐπὶ τὸ
ἄλλο πλῆθος τῶν πενήτων χωρήσει, ἐάν τινες ἄρα
7 περιέχωνται τῆς ἐλευθερίας. ταῦτ᾽ ἐστίν, ἃ βεβού-
λευνται ὑπὸ σκότους καὶ μέλλουσι δρᾶν, ὦ βουλή, 2010
δεινὰ καὶ ἀνόσια ἔργα, οὔτε θεῖον φοβηθέντες χόλον
οὔτε ἀνθρωπίνην ἐντραπέντες νέμεσιν.

mea quidem sententia ἄλλους corruptum non est, sed voce τοὺς deleta vertendum est: und außerdem von den Plebejern diejenigen 2 ποιήσονται Ba 3 διαπράξεσθαι c. Cobet Obs. p. 188 διαπράξεσθαι παρ᾽ ὑμῶν τά τε λοιπὰ τό τ᾽ ἀναιρεθῆναι Hertlein Hermes X 419 8 ἡμετέρων A ὑμετέρων B 13 προτείνονται A προτείνουσι R 14 στρατιὰν δὲ κἀκεῖνος ὑπέσχηται O praeter B 16 ἥξειν A ἥξει R 20 χωρήσειν A om. B χωρήσει c. Portus

XI. Ἐν τοσούτῳ δὴ κινδύνῳ σαλεύοντες ἱκέται
γινόμεθα ὑμῶν, ὦ πατέρες, ἐπισκήπτοντες θεούς τε
καὶ δαίμονας, οἷς κοινῇ θύομεν, καὶ πολέμων ὑπο-
μιμνήσκοντες, οὓς πολλοὺς καὶ μεγάλους σὺν ὑμῖν
ἠράμεθα, μὴ περιιδεῖν ὠμὰ καὶ ἀνόσια ὑπὸ τῶν
ἐχθρῶν παθόντας ἡμᾶς, ἀλλ' ἐπαμῦναί τε καὶ συν-
αγανακτῆσαι τιμωρίας ἡμῖν συνεισπράξαντας παρὰ τῶν
ταῦτα βουλευσαμένων τὰς προσηκούσας, μάλιστα μὲν
παρὰ πάντων, εἰ δὲ μή γε, παρὰ τῶν ἀρξάντων τῆς
ἀθεμίτου συνωμοσίας. πρῶτον δὲ πάντων ἀξιοῦμεν 2
ὑμᾶς, ὦ βουλή, ψηφίσασθαι πρᾶγμα, ὅπερ ἐστὶ δικαι-
ότατον, τὴν ὑπὲρ τῶν μηνυομένων ζήτησιν ὑφ' ἡμῶν
τῶν δημάρχων γίνεσθαι. χωρὶς γὰρ τοῦ δικαίου καὶ
2011 ἀκριβεστάτας ἀνάγκη γίνεσθαι ζητήσεις, ἃς ἂν οἱ κιν-
δυνεύοντες ὑπὲρ αὑτῶν ποιήσωνται. εἰ δέ τινες ὑμῶν 3
εἰσιν οἷοι μηδὲ καθ' ἓν εὐγνωμονεῖν, ἀλλὰ πρὸς ἅπαν-
τας τοὺς ὑπὲρ τοῦ δήμου λέγοντας ἀντιτάττεσθαι,
ἡδέως ἂν πυθοίμην παρ' αὐτῶν, ἐπὶ τῷ δυσχεραί-
νουσι τῶν ἀξιουμένων καὶ τί μέλλουσιν ὑμᾶς πείθειν·
πότερα μηδεμίαν ποιεῖσθαι ζήτησιν, ἀλλ' ὑπεριδεῖν
ἔργον οὕτω μέγα καὶ μιαρὸν ἐπὶ τῷ δήμῳ συνιστά-
μενον; καὶ τίς ἂν τοὺς ταῦτα λέγοντας ὑγιαίνειν
φήσειεν, ἀλλ' οὐχὶ συνδιεφθάρθαι καὶ κοινωνεῖν τῆς
συνωμοσίας, ἔπειτα ὑπὲρ αὑτῶν δεδιότας, ἵνα μὴ
γένωνται καταφανεῖς, ἀποσπεύδειν τὴν τῆς ἀληθείας
ἐξέτασιν; οἷς οὐκ ἂν δικαίως προσέχοιτε δήπου τὸν
νοῦν. ἢ τῆς διαγνώσεως τῶν μηνυομένων οὐχ ἡμᾶς 4
εἶναι κυρίους ἀξιώσουσιν, ἀλλὰ τὴν βουλὴν καὶ τοὺς

2 γενόμεθα A 6 συναγανακτῆσ⟨αι⟩ Bb 12 μηνυόντων A
15 αὐτῶν B 19 ἡμᾶς AB ὑμᾶς Kiessling 23 καὶ om. B
24 αὐτῶν B 27 νοῦν. εἰ δὲ μή που τῆς A νοῦν. ἢ τῆς B

ὑπάτους; τί οὖν τὸ κωλύον ἔσται τὸ αὐτὸ τοῦτο καὶ
τοὺς προεστηκότας τοῦ δήμου λέγειν, ἐάν τινες ἐκ 2012
τῶν δημοτικῶν ἐπὶ τοῖς ὑπάτοις καὶ τῇ βουλῇ συστάν-
τες πράττωσι τὴν τοῦ συνεδρίου κατάλυσιν, ὅτι τὴν
περὶ τῶν δημοτῶν ἐξέτασιν αὐτοὺς δίκαιόν ἐστι ποι-
εῖσθαι τοὺς ἀνειληφότας τὴν τοῦ δήμου φυλακήν; τί
οὖν ἐκ τούτου συμβήσεται; μηδεμίαν πώποτε γενέ-
σθαι ζήτησιν περὶ μηθενὸς πράγματος ἀπορρήτου.
5 ἀλλ' οὐθ' ἡμεῖς ἂν ταῦτ' ἀξιώσαιμεν· ὕποπτος γὰρ
ἡ φιλοτιμία· ὑμεῖς τ' οὐκ ἂν ὀρθῶς ποιοῖτε τοῖς τὰ
ὅμοια ἀξιοῦσι καθ' ἡμῶν προσέχοντες τὸν νοῦν, ἀλλὰ
κοινοὺς ἡγούμενοι τῆς πόλεως ἐχθρούς. οὐδενὸς μέν-
τοιγε, ὦ βουλή, τοῖς πράγμασιν ὡς τάχους δεῖ. ὁ
γὰρ κίνδυνος ὀξύς, καὶ ἡ μέλλησις τῆς ἀσφαλείας
ἄωρος ἐν οὐ μέλλουσι δεινοῖς. ὥστ' ἀφέντες τὸ φιλο-
νεικεῖν καὶ λόγους διεξιέναι μακροὺς ψηφίσασθε ὅ τι
ἂν δοκῇ κοινῇ συμφέρειν ἤδη.

XII. Ταῦτ' εἰπόντος αὐτοῦ πολλή τις ἔκπληξις
κατέσχε τὸ συνέδριον καὶ ἀμηχανία· διελογίζοντό τε 2013
καὶ συνελάλουν ἀλλήλοις, ὡς χαλεπὸν ἑκάτερον ἦν,
καὶ τὸ συγχωρεῖν τοῖς δημάρχοις ζητήσεις ἐφ' ἑαυτῶν
ποιεῖσθαι περὶ κοινοῦ καὶ μεγάλου πράγματος, καὶ
τὸ μὴ συγχωρεῖν. ὑποπτεύσας δ' αὐτῶν τὴν γνώμην
ἀνέστη τῶν ὑπάτων ἅτερος, Γάιος Κλαύδιος καὶ
2 ἔλεξε τοιάδε· Οὐ δέδοικα, Οὐεργίνιε, μή με ὑπολά-

1 οὖν om. A τὸ κωλῦσον c. Reudler Tiroc. crit. p. 26    7 πώποτε add. B    9 οὐθ' AB | ἀξιώ⟨σο⟩μεν Bb cf. Baumann Obs. gram. de usu mod. p. 35    10 ποιεῖτε B    11 ὅμοια οὐκ ἀξιοῦσι O praeter B | ἀλλ' οὐ κοινοὺς c. Hertlein Hermes X 419    12 μέντοιγε, οὕτως, ὦ c. Kiessling    14 μέλλησις ABa μέλησις Bb    15 ἐν οὐ μέλλουσι Ba ἐν οἷς μ. ABb    20 ἑκάτερον εἴη c. Hertlein Hermes X 419    23 τὸ μὴ συγχωρεῖν A τὸ μὴ sine voce συγχωρεῖν B    24 ἅτερος B ἕτερος R

βωσιν οὗτοι κοινωνὸν εἶναι τῆς συνωμοσίας, ἣν ἐφ'
ὑμῖν καὶ τῷ δήμῳ πράττεσθαι λέγετε, ἢ <τὰ> ὑπὲρ
ἐμαυτοῦ δεδιότα ἢ τῶν ἐμῶν τινος ἐνόχου ταῖς αἰτίαις
ὄντος ἀνεστάναι τἀναντία ὑμῖν ἐροῦντα· ὁ γὰρ βίος
ἀπολύει με πάσης ὑποψίας τοιαύτης. ἃ δὲ νομίζω τῇ
τε βουλῇ καὶ τῷ δήμῳ συμφέρειν, ἀπὸ τοῦ κρατίστου
καὶ δίχα πάσης εὐλαβείας ἐρῶ. πολλοῦ, μᾶλλον δὲ 3
τοῦ παντὸς ἁμαρτάνειν δοκεῖ μοι Οὐεργίνιος, εἴ τινα
ὑπείληφεν ἡμῶν ἐρεῖν, ἢ ὡς ἀνεξέταστον ἀφεῖσθαι
2014 δεῖ πρᾶγμα οὕτως ὂν μέγα καὶ ἀναγκαῖον, ἢ ὡς οὐ
δεῖ κοινωνεῖν οὐδὲ παρεῖναι τῇ ζητήσει τοὺς ἀν-
ειληφότας τὴν τοῦ δήμου ἀρχήν. οὐθεὶς οὔτε ἠλίθιός
ἐστιν οὕτως οὔτε τῷ δήμῳ κακόνους, ὥστε ταῦτα
λέγειν. τί οὖν, εἴ τις ἔροιτό με, παθών, ἃ συγχωρῶ 4
καί φημι δίκαια εἶναι, τούτοις ἀντιλέξων ἀνέστην, καὶ
τί βούλεταί μου ὁ λόγος, ἐγὼ νὴ Δία φράσω πρὸς
ὑμᾶς. παντὸς οἴομαι δεῖν πράγματος, ὦ βουλή, τὰς
ἀρχὰς καὶ τὰς πρώτας ὑποθέσεις τοὺς εὖ φρονοῦντας
ἀκριβῶς σκοπεῖν· οἷαι γὰρ ἂν αὗται τύχωσιν οὖσαι,
τοιούτους ἀνάγκη γίνεσθαι καὶ τοὺς περὶ αὐτῶν λό-
γους. φέρε δή, τίς ἡ τοῦδε τοῦ πράγματος ὑπόθεσίς 5
ἐστι καὶ τί τὸ βούλευμα τῶν δημάρχων, ἀκούσατέ μου.
οὐκ ἐνῆν τούτοις οὐδέν, ὧν ἐν τῷ παρελθόντι ἐνιαυτῷ
πράττειν ἐπιβαλλόμενοι διεκωλύθησαν, ἐπιτελέσασθαι
νῦν ὑμῶν τε ἐναντιουμένων αὐτοῖς ὡς πρότερον καὶ

2 λέγετ<ε ἢ> τὰ Bb λέγετε ἤτοι c. Cobet Obs. p. 188 *τὰ delevi 3 ὡς ἐνόχου O praeter B 4 οὕτως ἀνεστάναι A ὄντος ἀνεστάναι B 10 οὕτως ὂν μέγα A οὑτωσὶ μέγα B 14 εἰ om. B | verba εἴ τις ἔροιτό με desunt in edit. Paris. 18 πρώτας om. A 22 τὸ om. B | βούλημα O corr. Sylburg 24 ἐπιβαλόμενοι c. Reiske 25 νῦν aut delendum aut mutandum in κατὰ νοῦν esse c. Reiske νῦν τε ὑμῶν c. Kiessling

ὑπάτους; τί οὖν τὸ κωλύον ἔσται τὸ αὐτὸ τοῦτο καὶ
τοὺς προεστηκότας τοῦ δήμου λέγειν, ἐάν τινες ἐκ 2012
τῶν δημοτικῶν ἐπὶ τοῖς ὑπάτοις καὶ τῇ βουλῇ συστάν-
τες πράττωσι τὴν τοῦ συνεδρίου κατάλυσιν, ὅτι τὴν
περὶ τῶν δημοτῶν ἐξέτασιν αὐτοὺς δίκαιόν ἐστι ποι-
εῖσθαι τοὺς ἀνειληφότας τὴν τοῦ δήμου φυλακήν; τί
οὖν ἐκ τούτου συμβήσεται; μηδεμίαν πώποτε γενέ-
σθαι ζήτησιν περὶ μηθενὸς πράγματος ἀπορρήτου.
5 ἀλλ' οὔθ' ἡμεῖς ἂν ταῦτ' ἀξιώσαιμεν· ὕποπτος γὰρ
ἡ φιλοτιμία· ὑμεῖς τ' οὐκ ἂν ὀρθῶς ποιοῖτε τοῖς τὰ
ὅμοια ἀξιοῦσι καθ' ἡμῶν προσέχοντες τὸν νοῦν, ἀλλὰ
κοινοὺς ἡγούμενοι τῆς πόλεως ἐχθρούς. οὐδενὸς μέν-
τοιγε, ὦ βουλή, τοῖς πράγμασιν ὡς τάχους δεῖ. ὁ
γὰρ κίνδυνος ὀξύς, καὶ ἡ μέλλησις τῆς ἀσφαλείας
ἄωρος ἐν οὐ μέλλουσι δεινοῖς. ὥστ' ἀφέντες τὸ φιλο-
νεικεῖν καὶ λόγους διεξιέναι μακροὺς ψηφίσασθε ὅ τι
ἂν δοκῇ κοινῇ συμφέρειν ἤδη.

XII. Ταῦτ' εἰπόντος αὐτοῦ πολλή τις ἔκπληξις
κατέσχε τὸ συνέδριον καὶ ἀμηχανία· διελογίζοντό τε 2013
καὶ συνελάλουν ἀλλήλοις, ὡς χαλεπὸν ἑκάτερον ἦν,
καὶ τὸ συγχωρεῖν τοῖς δημάρχοις ζητήσεις ἐφ' ἑαυτῶν
ποιεῖσθαι περὶ κοινοῦ καὶ μεγάλου πράγματος, καὶ
τὸ μὴ συγχωρεῖν. ὑποπτεύσας δ' αὐτῶν τὴν γνώμην
ἀνέστη τῶν ὑπάτων ἅτερος, Γάιος Κλαύδιος καὶ
2 ἔλεξε τοιάδε· Οὐ δέδοικα, Οὐεργίνιε, μή με ὑπολά-

1 οὖν om. A τὸ κωλῦσον c. Reudler Tiroc. crit. p. 26 7 πώποτε add. B 9 οὔθ' AB | ἀξιώ⟨σο⟩μεν Bb cf. Baumann Obs. gram. de usu mod. p. 35 10 ποιεῖτε B 11 ὅμοια οὐκ ἀξιοῦσι O praeter B | ἀλλ' οὐ κοινοὺς c. Hertlein Hermes X 419 12 μέντοιγε, οὕτως, ὦ c. Kiessling 14 μέλλησις ABa μέλησις Bb 15 ἐν οὐ μέλλουσι Ba ἐν οἷς μ. ABb 20 ἑκάτερον εἴη c. Hertlein Hermes X 419 23 τὸ μὴ συγχωρεῖν A τὸ μὴ sine voce συγχωρεῖν B 24 ἅτερος B ἕτερος R

βωσιν οὗτοι κοινωνὸν εἶναι τῆς συνωμοσίας, ἣν ἐφ'
ὑμῖν καὶ τῷ δήμῳ πράττεσθαι λέγετε, ἢ ⟨τὰ⟩ ὑπὲρ
ἐμαυτοῦ δεδιότα ἢ τῶν ἐμῶν τινος ἐνόχου ταῖς αἰτίαις
ὄντος ἀνεστάναι τἀναντία ὑμῖν ἐροῦντα· ὁ γὰρ βίος
ἀπολύει με πάσης ὑποψίας τοιαύτης. ἃ δὲ νομίζω τῇ
τε βουλῇ καὶ τῷ δήμῳ συμφέρειν, ἀπὸ τοῦ κρατίστου
καὶ δίχα πάσης εὐλαβείας ἐρῶ. πολλοῦ, μᾶλλον δὲ 3
τοῦ παντὸς ἁμαρτάνειν δοκεῖ μοι Οὐεργίνιος, εἴ τινα
ὑπείληφεν ἡμῶν ἐρεῖν, ἢ ὡς ἀνεξέταστον ἀφεῖσθαι
2014 δεῖ πρᾶγμα οὕτως ὂν μέγα καὶ ἀναγκαῖον, ἢ ὡς οὐ
δεῖ κοινωνεῖν οὐδὲ παρεῖναι τῇ ζητήσει τοὺς ἀν-
ειληφότας τὴν τοῦ δήμου ἀρχήν. οὐθεὶς οὔτε ἠλίθιός
ἐστιν οὕτως οὔτε τῷ δήμῳ κακόνους, ὥστε ταῦτα
λέγειν. τί οὖν, εἴ τις ἔροιτό με, παθών, ἃ συγχωρῶ 4
καί φημι δίκαια εἶναι, τούτοις ἀντιλέξων ἀνέστην, καὶ
τί βούλεταί μου ὁ λόγος, ἐγὼ νὴ Δία φράσω πρὸς
ὑμᾶς. παντὸς οἴομαι δεῖν πράγματος, ὦ βουλή, τὰς
ἀρχὰς καὶ τὰς πρώτας ὑποθέσεις τοὺς εὖ φρονοῦντας
ἀκριβῶς σκοπεῖν· οἷαι γὰρ ἂν αὗται τύχωσιν οὖσαι,
τοιούτους ἀνάγκη γίνεσθαι καὶ τοὺς περὶ αὐτῶν λό-
γους. φέρε δή, τίς ἡ τοῦδε τοῦ πράγματος ὑπόθεσίς 5
ἐστι καὶ τί τὸ βούλευμα τῶν δημάρχων, ἀκούσατέ μου.
οὐκ ἐνῆν τούτοις οὐδέν, ὧν ἐν τῷ παρελθόντι ἐνιαυτῷ
πράττειν ἐπιβαλλόμενοι διεκωλύθησαν, ἐπιτελέσασθαι
νῦν ὑμῶν τε ἐναντιουμένων αὐτοῖς ὡς πρότερον καὶ

2 λέγετ⟨ε ἢ⟩ τὰ Bb λέγετε ἤτοι c. Cobet Obs. p. 188 *τὰ delevi 3 ὡς ἐνόχου O praeter B 4 οὕτως ἀνεστάναι A ὄντος ἀνεστάναι B 10 οὕτως ὂν μέγα A οὑτωσὶ μέγα B 14 εἰ om. B | verba εἴ τις ἔροιτό με desunt in edit. Paris. 18 πρώτας om. A 22 τὸ om. B | βούλημα O corr. Sylburg 24 ἐπιβαλόμενοι c. Reiske 25 νῦν aut delendum aut mutandum in κατὰ νοῦν esse c. Reiske νῦν τε ὑμῶν c. Kiessling

τοῦ δήμου μηκέθ' ὁμοίως συναγωνιζομένου. συνιδόντες
δὴ τοῦτο ἐσκόπουν, ὅπως ἂν ὑμεῖς τ' ἀναγκασθείητε
παρὰ γνώμην αὐτοῖς εἶξαι, καὶ ὁ δῆμος ἅπαντα ὅσ'
6 ἂν ἀξιῶσι συμπράττειν. ἀληθῆ μὲν οὖν καὶ δικαίαν 2015
ὑπόθεσιν οὐδεμίαν εὕρισκον, δι' ἧς ἑκάτερον τούτοις
ἔσται, πολλὰ δὲ βουλεύματα πειράζοντες καὶ στρέφοντες
ἄνω καὶ κάτω τὸ πρᾶγμα τελευτῶντες ἐπὶ τοιοῦτον δή
τινα λογισμὸν ἦλθον· αἰτιασώμεθα συνίστασθαί τινας
ἐκ τῶν ἐπιφανῶν ἐπὶ καταλύσει τοῦ δήμου, καὶ σφάτ-
τειν διεγνωκέναι τοὺς παρέχοντας αὐτῷ τὸ ἀσφαλές.
7 καὶ ταῦτα ἐκ πολλοῦ παρασκευάσαντες λέγεσθαι κατὰ
τὴν πόλιν, ὅταν ἤδη πιστὰ εἶναι τοῖς πολλοῖς δόξῃ —
δόξει δὲ διὰ τὸ δέος — ἐπιστολὰς μηχανησώμεθα
πολλῶν παρόντων ἡμῖν ὑπ' ἀνδρὸς ἀγνῶτος ἀναδο-
θῆναι· ἔπειτ' ἐλθόντες ἐπὶ τὸ συνέδριον ἀγανακτῶμέν
τε καὶ σχετλιάζωμεν καὶ τοῦ ζητεῖν τὰ προσηγγελμένα
8 αἰτῶμεν τὴν ἐξουσίαν. ἐάν τε γὰρ ἀντιλέγωσιν ἡμῖν
οἱ πατρίκιοι, ταύτην ληψόμεθα τοῦ διαβαλεῖν αὐτοὺς 2016
πρὸς τὸν δῆμον ἀφορμήν, καὶ οὕτως ἅπαν τὸ δημοτι-
κὸν ἠγριωμένον αὐτοῖς ἕτοιμον ἡμῖν εἰς ἃ βουλόμεθα
ὑπάρξει· ἐάν τε συγχωρῶσι, τοὺς γενναιοτάτους ἐξ
αὐτῶν καὶ πλεῖστα ἡμῖν ἐναντιωθέντας πρεσβυτέρους
τε καὶ νέους ἐλαύνωμεν, ὡς εὑρηκότες ταῖς αἰτίαις
9 ἐνόχους. ἐκεῖνοι δὲ ἄρα τὰς καταγνώσεις δεδιότες ἢ
συμβήσονται πρὸς ἡμᾶς ἐπὶ τῷ μηθὲν ἔτι ἀντιπράττειν
ἢ καταλιπεῖν ἀναγκασθήσονται τὴν πόλιν. ἐκ δὲ τού-
του πολλὴν ποιήσομεν ἐρημίαν τοῦ ἀντιπάλου.

1 συν⟨ι⟩δόντες Bb 4 ἀξιῶσι Ba ἀξιώση ABb 10 τοὺς μὴ παρέχοντας O praeter Ba 12 δόξῃ] δοκῇ B 17 αἰτῶμεν B δῶμεν R | τὴν et postea τε om. O praeter B 20 ἠγριωμένον] cf. Naber Mnem. 30, 25 23 ἐλάσομεν c. Sylburg 26 κατα-λ⟨ι⟩πεῖν Bb 27 τῶν ἀντιπάλων c. Grasberger Phil. 28, 346,

XIII. *Ταῦτα τὰ βουλεύματα ἦν αὐτῶν, ὦ βουλή,
καὶ τὸν μεταξὺ χρόνον ὃν ἑωρᾶτε συνεδρεύοντας αὐ-
τούς, οὗτος ὁ δόλος ὑπ' αὐτῶν ὑφαίνετο ἐπὶ τοῖς
ἀρίστοις ὑμῶν, καὶ τοῦτο τὸ δίκτυον κατὰ τῶν εὐ-
γενεστάτων ἱππέων ἐπλέκετο. καὶ ὅτι ἀληθῆ ταῦτ'
2017 ἐστί, βραχέος μοι πάνυ δεῖ λόγου. φέρε γὰρ εἴπατέ* 2
*μοι, Οὐεργίνιε, οἱ τὰ δεινὰ πεισόμενοι, παρὰ τίνων
ἐδέξασθε τὰ γράμματα ξένων; τῶν ποῦ κατοικούντων,
ἢ πόθεν ὑμᾶς εἰδότων, ἢ πῶς τἀνθάδε συνεδρευόμενα
ἐπισταμένων; τί ἀναβάλλεσθε καὶ μετὰ ταῦτ' ἐρεῖν
αὐτοὺς ὑπισχνεῖσθε, ἀλλ' οὐ πάλαι λέγετε; τίς δ' ὁ
τὰ γράμματα κομίσας ὑμῖν ἀνήρ ἐστι; τί οὐ κατάγετε
αὐτὸν εἰς μέσον, ἵν' ἀπ' ἐκείνου πρῶτον ἀρξώμεθα
ζητεῖν, εἴτε ἀληθῆ ταῦτ' ἐστίν, εἴτε ὡς ἐγώ φημι
πλάσματα ὑμέτερα; αἱ δὲ δὴ συνᾴδουσαι τοῖς ξενικοῖς* 3
*γράμμασι μηνύσεις παρὰ τῶν ἐνθάδε τίνες τ' εἰσὶ καὶ
ὑπὸ τίνων γενόμεναι; τί κρύπτετε τὰς πίστεις, ἀλλ'*
2018 *οὐκ εἰς τὸ ἐμφανὲς ἄγετε; ἀλλ' οἶμαι τῶν μήτε γενο-
μένων μήτε ἐσομένων ἀδύνατον εὑρεθῆναι πίστιν.
ταῦτ' ἐστίν, ὦ βουλή, μηνύματα οὐ κατὰ τούτων συν-* 4
*ωμοσίας, ἀλλὰ καθ' ὑμῶν δόλου καὶ πονηρᾶς γνώμης,
ᾗ κέχρηνται κρύψαντες οὗτοι· τὰ γὰρ πράγματα αὐτὰ
βοᾷ. αἴτιοι δ' ὑμεῖς οἱ τὰ πρῶτα ἐπιτρέψαντες αὐτοῖς
καὶ τὸ ἀνόητον τῆς ἀρχῆς μεγάλῃ καθοπλίσαντες ἐξ-
ουσίᾳ, ὅτε Κοίντιον Καίσωνα τῷ παρελθόντι ἐνιαυτῷ*

sed cf. X 21, 1  2 ὃν om. Ba | συμβουλεύοντας καὶ συν-εδρεύοντας O praeter B  4 εὐγενεστάτων B εὐαγεστάτων R  7 Οὐεργίνιε καὶ ὑμεῖς οἱ δεινὰ c. Reiske | ποιησάμενοι A  9 ὑμᾶς] ἡμᾶς A  12 τί οὐ κατάγετε] τί οὐκ ἄγετε c. Reiske, cum κατάγειν locum prorsus habere nequeat; sed cf. ἐς τὸ μέσον κατατιθέναι Xen. Cyr. II 1, 14  13 πρῶτον c. Reiske  17 γινόμεναι B  20 οὐ καθ' ἡμῶν συνωμοσίας, ἀλλὰ κατὰ τούτων δόλου c. Reiske  21 ἡμῶν B  22 μάτην κρύψαντες c. Reiske

κρίνειν ἐπ' αἰτίαις ψευδέσιν εἰάσατε, καὶ τοσοῦτον
φύλακα τῆς ἀριστοκρατίας ἀναρπαζόμενον ὑπ' αὐτῶν
5 περιείδετε. τοιγαροῦν οὐκέτι μετριάζουσιν οὐδὲ καθ'
ἕνα τῶν εὐγενῶν περικόπτουσιν, ἀλλ' ἀθρόους ἤδη
περιβαλόντες τοὺς ἀγαθοὺς ἐλαύνουσιν ἐκ τῆς πόλεως·
καὶ πρὸς τοῖς ἄλλοις κακοῖς οὐδ' ἀντειπεῖν αὐτοῖς
ἀξιοῦσιν οὐθένα ὑμῶν, ἀλλ' εἰς ὑποψίας καὶ διαβολὰς
ἄγοντες ὡς κοινωνοῦντα τῶν ἀπορρήτων δεδίττονται
καὶ μισόδημον εὐθὺς εἶναί φασι, καὶ προλέγουσιν 2019
ἥκειν ἐπὶ τὸν δῆμον ὑφέξοντα τῶν ἐνθάδε ῥηθέντων
6 δίκας. ἀλλ' ὑπὲρ μὲν τούτων ἕτερος ἔσται καιρὸς
ἐπιτηδειότερος τοῖς λόγοις, νυνὶ δὲ συντεμῶ τὸν λόγον
καὶ παύσομαι τὰ πλείω διατεινόμενος· φυλάττεσθαι
ὑμῖν παραινῶ τούσδε τοὺς ἄνδρας ὡς συνταράττοντας
τὴν πόλιν καὶ μεγάλων ἐκφέροντας ἀρχὰς κακῶν καὶ
οὐκ ἐνθάδε μὲν ταῦτα λέγω, πρὸς δὲ τὸν δῆμον ἀπο-
κρύψομαι, ἀλλὰ κἀκεῖ παρρησίᾳ δικαίᾳ χρήσομαι,
διδάσκων ὡς οὐδὲν αὐτοῖς ἐπικρέμαται δεινόν, ὅτι μὴ
κακοὶ καὶ δόλιοι προστάται πολεμίων ἔργα ἐν προσ-
7 ποιήματι φίλων διαπραττόμενοι. Ταῦτ' εἰπόντος τοῦ
ὑπάτου κραυγή τε καὶ πολὺς ἔπαινος ἐκ τῶν παρ-
όντων ἐγένετο, καὶ οὐδὲ λόγου τοῖς δημάρχοις ἔτι
μεταδόντες διέλυσαν τὸν σύλλογον. ἔπειθ' ὁ μὲν
Οὐεργίνιος ἐκκλησίαν συναγαγὼν κατηγόρει τῆς τε
βουλῆς καὶ τῶν ὑπάτων, ὁ δὲ Κλαύδιος ἀπελογεῖτο

2 ἀναρπαζόμενον c. Hertlein Hermes X 419 ἁρπαζόμενον O cf. X 51, 2   4 περικόπτουσιν] περισκοποῦσιν A cf. X 51, 4 | ἀθρόως O corr. Kiessling   5 περιβάλλοντες c. Reiske | ἕλκουσιν O ἐλαύνουσιν c. Cobet Obs. p 189   12 συντέμω AB   13 παύσομαι AB ἵνα συντέμω — παύσωμαι c. Reiske   14 παραινῶν c. Kiessling   15 ἐκφέροντας O εἰσφέροντας c. Kiessling   18 ἐπικρέματαί τι O praeter B   22 ἐγίνετο ABb

2020 τοὺς αὐτοὺς λόγους διεξιών, οὓς εἶπεν ἐπὶ τῆς βου-
λῆς. οἱ μὲν οὖν ἐπιεικέστεροι τῶν δημοτικῶν κενὸν
ὑπώπτευον εἶναι τὸν φόβον, οἱ δ' εὐηθέστεροι πι-
στεύοντες ταῖς φήμαις ἀληθῆ· ὅσοι δὲ κακοήθεις ἦσαν
ἐν αὐτοῖς καὶ μεταβολῆς ἀεὶ δεόμενοι, τοῦ μὲν ἐξετά-
ζειν τἀληθὲς ἢ ψεῦδος οὐκ εἶχον πρόνοιαν, ἀφορμὴν
δὲ διχοστασίας ἐζήτουν καὶ θορύβου.

XIIII. Ἐν τοιαύτῃ δὲ ταραχῇ τῆς πόλεως οὔσης
ἀνήρ τις ἐκ τοῦ Σαβίνων ἔθνους πατέρων τε οὐκ
ἀφανῶν καὶ χρήμασι δυνατός, Ἄππιος Ἑρδώνιος
ὄνομα, καταλῦσαι τὴν Ῥωμαίων ἡγεμονίαν ἐπεβάλετο
εἴθ' ἑαυτῷ τυραννίδα κατασκευαζόμενος εἴτε τῷ Σα-
βίνων ἔθνει πράττων ἀρχὴν καὶ κράτος εἴτ' ὀνόματος
ἀξιωθῆναι βουλόμενος μεγάλου. κοινωσάμενος δὲ
πολλοῖς τῶν φίλων ἣν εἶχε διάνοιαν καὶ τὸν τρόπον
τῆς ἐπιχειρήσεως ἀφηγησάμενος, ἐπειδὴ κἀκείνοις ἐδόκει
συνήθροιζε τοὺς πελάτας καὶ τῶν θεραπόντων οὓς
εἶχεν εὐτολμοτάτους· καὶ δι' ὀλίγου χρόνου συγκροτή-
2021 σας δύναμιν ἀνδρῶν τετρακισχιλίων μάλιστα, ὅπλα τε
καὶ τροφὰς καὶ τἆλλα ὅσων δεῖ πολέμῳ πάντα εὐτρεπι-
σάμενος, εἰς σκάφας ποταμηγοὺς ἐνεβάλετο. πλεύσας 2
δὲ διὰ τοῦ Τεβέριος ποταμοῦ προσέσχε τῆς Ῥώμης
κατὰ τοῦτο τὸ χωρίον, ἔνθα τὸ Καπιτώλιόν ἐστιν
οὐδ' ὅλον στάδιον ἀπέχον τοῦ ποταμοῦ. ἦσαν δὲ
μέσαι τηνικαῦτα νύκτες, καὶ πολλὴ καθ' ὅλην τὴν
πόλιν ἡσυχία, ἣν συνεργὸν λαβὼν ἐξεβίβασε τοὺς
ἄνδρας κατὰ σπουδὴν καὶ διὰ τῶν ἀκλείστων πυλῶν·

3 ἐπίστευον voce ἀληθῆ deleta c. Cobet Obs. p. 189 6 ἢ ψεῦδος del. Cobet l. l. 13 συμπράττων c. Grasberger Philol. 28, 346 17 οὓς εἶχε τοὺς εὐτολμοτάτους c. Reiske 22 Τεβέρεως A Τεβέριος B cf. X 8, 4

εἰσὶ γάρ τινες ἱεραὶ πύλαι τοῦ Καπιτωλίου κατά τι
θέσφατον ἀνειμέναι, Καρμεντίδας αὐτὰς καλοῦσιν·
ἀναβιβάσας τὴν δύναμιν εἶχε τὸ φρούριον. ἐκεῖθεν
δ' ἐπὶ τὴν ἄκραν ὠσάμενος, — ἔστι δὲ τῷ Καπιτωλίῳ
3 προσεχής, — κἀκείνης ἐγεγόνει κύριος. ἦν δὲ αὐτοῦ
γνώμη μετὰ τὸ κρατῆσαι τῶν ἐπικαιροτάτων τόπων
τούς τε φυγάδας εἰσδέχεσθαι καὶ τοὺς δούλους εἰς
ἐλευθερίαν καλεῖν καὶ χρεῶν ἄφεσιν ὑπισχνεῖσθαι τοῖς
ἀπόροις τούς τε ἄλλους πολίτας, οἳ ταπεινὰ πράττοντες 2022
διὰ φθόνου καὶ μίσους εἶχον τὰς ὑπεροχὰς καὶ μετα-
βολῆς ἄσμενοι ἂν ἐλάβοντο, κοινωνοὺς ποιεῖσθαι τῶν
ὠφελειῶν. ἡ δὲ θαρρεῖν τε αὐτὸν ἐπαγομένη καὶ
πλανῶσα ἐλπίς, ὡς οὐθενὸς ἀτυχήσοντα τῶν προσ-
δοκωμένων, ἡ πολιτικὴ στάσις ἦν, δι' ἣν οὔτε φιλίαν
οὔτε κοινωνίαν οὐδεμίαν ὑπελάμβανε τῷ δήμῳ πρὸς
4 τοὺς πατρικίους ἔτι γενήσεσθαι. ἐὰν δὲ ἄρα μηθὲν
αὐτῷ τούτων κατὰ νοῦν χωρῇ, τηνικαῦτα Σαβίνους
τε πανστρατιᾷ καλεῖν ἐδέδοκτο καὶ Οὐολούσκους καὶ
τῶν ἄλλων πλησιοχώρων ὅσοις ἂν ᾖ βουλομένοις ἀπ-
ηλλάχθαι τῆς Ῥωμαίων ἐπιφθόνου ἀρχῆς.

XV. Συνέβη δὲ αὐτῷ πάντων διαμαρτεῖν ὧν ἤλπι-
σεν οὔτε δούλων αὐτομολησάντων πρὸς αὐτὸν οὔτε
φυγάδων κατελθόντων οὔτε ἀτίμων καὶ καταχρέων τὸ
ἴδιον κέρδος ἀντὶ τοῦ κοινῇ συμφέροντος ἀλλαξα-
μένων, τῆς τε ἔξωθεν ἐπικουρίας οὐ λαβούσης χρόνον
ἱκανὸν εἰς παρασκευὴν τοῦ πολέμου· τρισὶ γὰρ ἢ 2023
τέτταρσι ταῖς πρώταις ἡμέραις τέλος εἰλήφει τὰ πράγ-

2 καρμεντίνας O corr. Kiessling cf. I 32, 2; Plut. Cam. XI 25, 2   3 εἶχε O εἷλε Kiessling   11 ἀνελάβοντο AB   12 ἐπαγομένη] ὑπαγομένη c. Cobet Obs. p. 190   15 οὐδεμίαν om. B   23 ⟨καὶ κ⟩αταχ⟨ρέ⟩ων Bb   27 ταῖς πρώταις] ταῖς πάσαις Naber Mnem. 30, 252

ματα μέγα δέος καὶ πολλὴν ταραχὴν Ῥωμαίοις παρα-
σχόντα. ἐπεὶ γὰρ ἑάλω τὰ φρούρια, κραυγῆς ἄφνω 2
γενομένης καὶ φυγῆς τῶν περὶ ἐκείνους οἰκούντων
τοὺς τόπους, ὅσοι μὴ παραχρῆμα ἐσφάγησαν, ἀγνοοῦν-
τες οἱ πολλοὶ τὸ δεινὸν ὅ τι ποτ' ἦν ἁρπάσαντες τὰ
ὅπλα συνέτρεχον, οἱ μὲν ἐπὶ τὰ μετέωρα χωρία τῆς
πόλεως, οἱ δ' εἰς τοὺς ἀναπεπταμένους αὐτῆς τόπους
πολλοὺς σφόδρα ὄντας, οἱ δ' εἰς τὰ παρακείμενα
πεδία· ὅσοι δ' ἡλικίας ἐν τῷ παρηκμακότι ἦσαν καὶ
ῥώμης σώματος ἐν τῷ ἀδυνάτῳ, τὰ τέγη τῶν οἰκιῶν
κατεῖχον ἅμα γυναιξὶν ὡς ἀπὸ τούτων ἀγωνιούμενοι
πρὸς τοὺς εἰσεληλυθότας· ἅπαντα γὰρ αὐτοῖς ἐδόκει
μεστὰ εἶναι πολέμου. ἡμέρας δὲ γενομένης ὡς ἐγνώ- 3
σθη τὰ κεκρατημένα τῆς πόλεως φρούρια καὶ ὅστις
ἦν ὁ κατέχων ἀνὴρ τοὺς τόπους, οἱ μὲν ὕπατοι προ-
2024 ελθόντες εἰς τὴν ἀγορὰν ἐκάλουν τοὺς πολίτας ἐπὶ τὰ
ὅπλα, οἱ δὲ δήμαρχοι προσκαλεσάμενοι τὸν δῆμον εἰς
ἐκκλησίαν ἔλεγον, ὅτι τῷ μὲν συμφέροντι τῆς πόλεως
οὐδὲν ἀξιοῦσι πράττειν ἐναντίον, δίκαιον δὲ ὑπολαμ-
βάνουσιν εἶναι τηλικοῦτον ἀγῶνα μέλλοντα τὸν δῆμον
ὑπομένειν ἐπὶ ῥητοῖς τισι καὶ διωρισμένοις ἐπὶ τὸ
κινδύνευμα χωρεῖν. Εἰ μὲν οὖν, ἔφασαν λέγοντες, 4
ὑπισχνοῦνταί τε ὑμῖν οἱ πατρίκιοι καὶ πίστεις βού-
λονται δοῦναι τὰς ἐπὶ θεῶν, ὅτι καταλυθέντος τοῦδε
τοῦ πολέμου συγχωρήσουσιν ὑμῖν ἀποδεῖξαι νομοθέτας
καὶ τὸν λοιπὸν χρόνον ἐν ἰσηγορίᾳ πολιτεύεσθαι, συν-
ελευθερῶμεν αὐτοῖς τὴν πατρίδα· εἰ δὲ οὐθὲν ἀξιοῦσι

10 ῥώμην A  12 ἐληλυθότας A  14 φρούρια] χωρία exstat in ed. Kiesslingii quae vox unde orta sit non apparet; recepit Prou neglegenter ut solet. ἐγνώσθη κεκρατημένα τὰ τῆς πόλεως c. Sintenis Em. III 16  23 ὑμῖν O ἡμῖν c. Kiessling 25 ἡμῖν A ὑμῖν B

ποιεῖν τῶν μετρίων, τί κινδυνεύομεν καὶ τὰς ψυχὰς
ὑπὲρ αὐτῶν προιέμεθα μηθενὸς ἀγαθοῦ μέλλοντες
5 ἀπολαύσεσθαι; Ταῦτα λεγόντων αὐτῶν καὶ τοῦ δήμου
πειθομένου καὶ μηδὲ φωνὴν ὑπομένοντος ἀκούειν τῶν
ἄλλο τι παραινούντων ὁ μὲν Κλαύδιος οὐθὲν ἠξίου
δεῖσθαι τοιαύτης συμμαχίας, ἥτις οὐχ ἑκούσιος, ἀλλ' 2025
ἐπὶ μισθῷ καὶ οὐδὲ τούτῳ μετρίῳ βοηθεῖν βούλεται
τῇ πατρίδι, ἀλλ' αὐτοὺς ἔφη τοὺς πατρικίους ἑαυτῶν
σώμασι καὶ τῶν συνόντων αὐτοῖς πελατῶν ὁπλισαμέ-
νους, καὶ εἴ τι ἄλλο πλῆθος ἐθελούσιον αὐτοῖς συν-
αρεῖται τοῦ πολέμου, μετὰ τούτων πολιορκεῖν τὰ
φρούρια· ἐὰν δὲ μηδ' οὕτως ἀξιόχρεως ἡ δύναμις αὐ-
τοῖς εἶναι δοκῇ, Λατίνους τε καὶ Ἕρνικας παρακαλεῖν,
ἐὰν δ' ἀνάγκη, καὶ δούλοις ἐλευθερίαν ὑπισχνεῖσθαι
καὶ πάντας μᾶλλον ἢ τοὺς ἐπὶ τοιούτων καιρῶν μνη-
6 σικακοῦντας σφίσι παρακαλεῖν. ὁ δ' ἕτερος τῶν ὑπά-
των Οὐαλέριος ἀντέλεγε πρὸς ταῦτα οὐκ οἰόμενος δεῖν
ἠρεθισμένον τὸ δημοτικὸν ἐκπολεμῶσαι τελέως τοῖς
πατρικίοις, εἶξαί τε συνεβούλευε τῷ καιρῷ καὶ πρὸς
μὲν τοὺς ἔξωθεν πολεμίους τά γε δίκαια ἀντιτάττειν,
πρὸς δὲ τὰς πολιτικὰς διατριβὰς τὰ μέτρια καὶ εὐγνώ-
7 μονα. ἐπειδὴ δὲ τοῖς πλείοσι τῶν ἐν τῷ συνεδρίῳ τὰ
κράτιστα ἐδόκει λέγειν, προσελθὼν εἰς τὴν ἐκκλησίαν
καὶ λόγον εὐπρεπῆ διεξελθὼν τελευτῶν τῆς δημηγορίας 2026

1 τὰς om. A 3 ἀπολ⟨αύ⟩εσθαι Bb 6 τῆς τοιαύτης O praeter B 10 συνάρ⟨η⟩ται ABb συναρειται Ba ut videtur 16 παρακαλεῖν] παραλαβεῖν Naber Mnem. 30, 252 18 ἐκπολεμῶσ⟨αι⟩ Bb 19 εἶξ⟨αι⟩ Bb 20 πολέμους c. Kiessling | τά γε δίκαια O τὰ [γε] βίαια c. Sintenis Em. Dion. III 23 21 διατριβὰς] διαφορὰς vel παρατριβὰς c. Reiske ἔριδας Cobet Obs. p. 190 nihil mutandum est 23 προσελθὼν B παρελθὼν R post vocem προσελθὼν in edit. Paris. desunt haec verba: εἰς τὴν ἐκκλησίαν καὶ λόγον εὐπρεπῆ διεξελθὼν

ὤμοσεν, ἐὰν ὁ δῆμος συνάρηται μετὰ προθυμίας τοῦ
πολέμου καὶ καταστῇ τὰ πράγματα τῆς πόλεως, συγ-
χωρήσειν τοῖς δημάρχοις προθεῖναι τῷ πλήθει τὴν
περὶ τοῦ νόμου διάγνωσιν, ὃν εἰσέφερον ὑπὲρ τῆς
ἰσονομίας, καὶ σπουδάσειν, ὅπως ἐπὶ τῆς ἑαυτοῦ ἀρχῆς
ἐπὶ τέλος ἀχθῇ τὰ δόξαντα τῷ δήμῳ. ἦν δὲ ἄρα οὐ-
θὲν αὐτῷ πεπρωμένον ἐπιτελέσαι τῶν ὁμολογηθέντων
πλησίον οὔσης τῆς τοῦ θανάτου μοίρας.

XVI. *Λυθείσης* δὲ τῆς ἐκκλησίας περὶ δείλην
ὀψίαν συνέρρεον ἐπὶ τοὺς ἀποδειχθέντας ἕκαστοι τό-
πους, ἀπογραφόμενοί τε πρὸς τοὺς ἡγεμόνας τὰ ὀνό-
ματα καὶ τὸν στρατιωτικὸν ὀμνύντες ὅρκον. ἐκείνην
μὲν οὖν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ὅλην
ἀμφὶ ταῦτα ἦσαν, τῇ δ' ἑξῆς ἡμέρᾳ λοχαγοί τε προσ-
ενέμοντο ὑπὸ τῶν ὑπάτων καὶ ἐπὶ τὰς ἱερὰς ἐτάτ-
τοντο σημείας συνεπιρρέοντος καὶ τοῦ κατ' ἀγροὺς
διατρίβοντος ὄχλου. γενομένων δὲ διὰ τάχους πάν- 2
2027 των εὐτρεπῶν μερισάμενοι τὰς δυνάμεις οἱ ὕπατοι
κλήρῳ διείλοντο τὰς ἀρχάς. Κλαυδίῳ μὲν οὖν ὁ κλῆ-
ρος ἀπέδωκε τὰ πρὸ τῶν τειχῶν διὰ φυλακῆς ἔχειν,
μή τις ἔξωθεν ἐπέλθῃ στρατιὰ τοῖς ἔνδον ἐπίκουρος·
ὑποψία γὰρ ἅπαντας κατεῖχε μεγάλης σφόδρα κινή-
σεως, καὶ τὸ ἀντίπαλον ἅπαν ὡς ὁμοῦ συνεπιθησό-
μενον σφίσιν ἐφοβοῦντο· Οὐαλερίῳ δὲ τὰ φρούρια
πολιορκεῖν ὁ δαίμων ἐφῆκεν. ἐτάχθησαν δὲ καὶ ἐπὶ 3
τοῖς ἄλλοις ἐρύμασιν ἡγεμόνες ὅσα τῆς πόλεως ἐντὸς

1 ὤμοσεν] ὡμολόγησεν c. Kiessling | συναιρηται Ba συν-
άρηται R 3 προθεῖναι Ba προσθεῖναι R 16 σημείας O
ει in B ex ι corr. cf. Büttner-Wobst Berl. phil. Wochenschrift
1892, 750; ὑπὸ σημαίας c. Sylburg 17 πάντων O 19 ὁ κλῆρος
om. Ba 21 ἐπικούροις Ba 24 οὐαλλερίῳ B 26 verba ὅσα
τῆς πόλεως ἐντὸς ἦν Kiesslingio vix sana videntur esse

ἣν καθέξοντες, καὶ κατὰ τὰς ἐπὶ τὸ Καπιτώλιον ἀγού-
σας ὁδοὺς ἕτεροι κωλύσεως ἕνεκεν τῶν ἀποστησο-
μένων πρὸς τοὺς πολεμίους δούλων τε καὶ ἀπόρων,
οὓς παντὸς μάλιστα ἐφοβοῦντο. ἐπικουρικὸν δὲ αὐ-
τοῖς οὐδὲν ἔφθασε παρὰ τῶν συμμάχων ἀφικόμενον,
ὅτι μὴ παρὰ Τυσκλάνων μόνον ἐν μιᾷ νυκτὶ ἀκου-
σάντων τε καὶ παρασκευασαμένων, οὓς ἦγε Λεύκιος
Μαμίλιος, ἀνὴρ δραστήριος, ἔχων τὴν μεγίστην ἐν
τῇ πόλει τότε ἀρχήν· καὶ συνεκινδύνευον οὗτοι τῷ 2028
Οὐαλερίῳ μόνοι καὶ συνεξεῖλον τὰ φρούρια πᾶσαν
4 εὔνοιαν καὶ προθυμίαν ἀποδειξάμενοι. ἐγένετο δ' ἡ
προσβολὴ τοῖς φρουρίοις πανταχόθεν· οἱ μὲν γὰρ ἀπὸ
τῶν πλησίον οἰκιῶν ἀσφάλτου καὶ πίσσης πεπυρω-
μένης ἀγγεῖα σφενδόναις ἐναρμόττοντες ἐπέβαλλον
ὑπὲρ τὸν λόφον· οἱ δὲ συμφοροῦντες [αὐτῶν] φακέλ-
λους φρυγάνων καὶ παρὰ τοῖς ἀποτόμοις τῆς πέτρας
βωμοὺς ἐγείροντες ὑψηλοὺς ὑφῆπτον ἀνέμῳ παρα-
διδόντες τὰς φλόγας ἐπιφόρῳ. ὅσοι δ' ἦσαν ἀνδρει-
ότατοι, πυκνώσαντες τοὺς λόχους ἐχώρουν ἄνω κατὰ
5 τὰς χειροποιήτους ὁδούς. ἦν δ' αὐτοῖς οὔτε τοῦ πλή-
θους, ᾧ παρὰ πολὺ τῶν ἀντιπάλων προεῖχον, ὄφελος
οὐθὲν διὰ στενῆς ἀνιοῦσιν ὁδοῦ καὶ πληθούσης προ-
βόλων ἄνωθεν ἐπικαταραττομένων, ἔνθα συνεξισω-
θήσεσθαι ἔμελλε τῷ πολλῷ τὸ ὀλίγον· οὔτε τῆς παρὰ
τὰ δεινὰ ὑπομονῆς, ἣν πολλοῖς † καταστήσαντες πολέ- 2029

4 οὓς O ὃ Gelenius 6 *μόνων* c. Kiessling 10 *οὐαλ-λερίῳ* B 11 *ἐγένετο* A *ἐγίνετο* B | *δ' ἡ*] *δὲ* B 13 *πλησίων* B 15 *ὑπὲρ τῶν λόφων* B *ἐπὶ τὸν λόφον* c. Reiske | *συμφοροῦντες αὐτῶν φακιόλους* A *συμφέροντες φακέλλους* B *αὔων* pro *αὐτῶν* c. Kiessling; *φάκελος* non *φάκελλος*, quod idem lib. VII 11, 1 exstat, scribendum esse c. Lobeck pathol. p. 107, 8 25 *κατα-στήσαντες* O *κατα . . στήσαντες* Bb *τ* post *σ* inseruit Bb aut *ἐγκαταστήσαντες πολέμοις* aut *συγκαταστήσαντες πολεμίοις* aut

μοις εἶχον, οὐδεμία ὄνησις πρὸς ὀρθίους βιαζομένοις
σκοπάς. οὐ γὰρ συστάδην μαχομένους ἔδει τὸ εὔτολ-
μον καὶ καρτερικὸν ἀποδείξασθαι, ἀλλ' ἑκηβόλοις
χρῆσθαι μάχαις. ἦσαν δὲ τῶν μὲν κάτωθεν ἐπὶ τὰ 6
μετέωρα βαλλομένων βραδεῖαί τε καὶ ἀσθενεῖς, εἰ
καὶ τύχοιεν, ὥσπερ εἰκός, αἱ πληγαί· τῶν δ' ἀφ'
ὕψους κάτω ῥιπτουμένων ὀξεῖαι καὶ καρτεραὶ συν-
εργούντων τοῖς βλήμασι καὶ τῶν ἰδίων βαρῶν. οὐ
μὴν ἔκαμνόν γε οἱ προσβάλλοντες τοῖς ἐρύμασιν, ἀλλὰ
διεκαρτέρουν ἀναγκοφαγοῦντες τὰ δεινὰ οὔτε ἡμέρας
οὔτε νυκτὸς ἀναπαυόμενοι τῶν πόνων. τέλος δ' οὖν
ὑπολιπόντων τοὺς πολιορκουμένους τῶν βελῶν καὶ
τῶν σωμάτων ἐξαδυνατούντων τρίτῃ τὰ φρούρια
ἐξεπολιόρκησαν ἡμέρᾳ. ἐν ταύτῃ τῇ μάχῃ πολλοὺς 7
Ῥωμαῖοι καὶ ἀγαθοὺς ἄνδρας ἀπέβαλον, κράτιστον
δέ, ὥσπερ πρὸς ἁπάντων ὡμολόγητο, τὸν ὕπατον· ὃς
οὐκ ὀλίγα τραύματα λαβὼν οὐδ' ὣς ἀφίστατο τῶν
2030 δεινῶν, ἕως ἐπικαταραγεὶς αὐτῷ πέτρος ὑπερμεγέθης
ἐπιβαίνοντι τοῦ περιτειχίσματος ἅμα τήν τε νίκην
αὐτὸν ἀφείλετο καὶ τὴν ψυχήν. ἁλισκομένων δὲ τῶν
φρουρίων ὁ μὲν Ἑρδώνιος — ἦν γὰρ καὶ ῥώμῃ σώματος
διάφορος καὶ κατὰ χεῖρα γενναῖος — ἄπιστόν τι χρῆμα
περὶ αὐτὸν ποιήσας νεκρῶν ὑπὸ πλήθους βελῶν ἀπο-
θνήσκει, τῶν δὲ σὺν αὐτῷ τὰ φρούρια καταλαβομένων
ὀλίγοι μέν τινες ζῶντες ἑάλωσαν, οἱ δὲ πλείους σφάτ-

πολλοὺς εὖ καταστήσαντες πολέμους legendum esse c. Reiske ἀσκήσαντες Kiessling; quid Dionysius scripserit nescio 2 σκοπὰς] σκοπιὰς c. Reiske 8 βαρῶν B βαρημάτων R 9 προσβαλόντες Ba προσβάλλοντες R 10 ἀναγκοφ⟨ορο⟩ῦντες ex corr. Bb ἀναγκοφαγοῦντες Cobet Obs. p. 190; cf. Götzeler Animadv. II 31 12 ὑπολιπόντων O ἐπιλιπόντων c. Reiske 16 ὡμολογεῖτο Naber Mnem. 30, 252 18 ἐπικαταρραγεὶς O ἐπικαταραγεὶς Cobet Obs. p. 191 cf. XI 26, 4

*τοντες ἑαυτοὺς ἢ κατὰ τῶν κρημνῶν ὠθοῦντες δι-
εφθάρησαν.*

XVII. *Τοῦτο τὸ τέλος λαβόντος τοῦ ληστρικοῦ
πολέμου τὴν πολιτικὴν πάλιν ἀνερρίπιζον οἱ δήμ-
αρχοι στάσιν ἀξιοῦντες ἀπολαβεῖν παρὰ τοῦ περιόντος
ὑπάτου τὰς ὑποσχέσεις, ἃς ἐποιήσατο πρὸς αὐτοὺς ὁ
τεθνηκὼς ἐν τῇ μάχῃ Οὐαλέριος ὑπὲρ τῆς εἰσφορᾶς
τοῦ νόμου. ὁ δὲ Κλαύδιος μέχρι μέν τινος παρεῖλκε
τὸν χρόνον τοτὲ μὲν καθαρμοὺς τῆς πόλεως ἐπιτελῶν,
τοτὲ δὲ θυσίας τοῖς θεοῖς χαριστηρίους ἀποδιδούς,
τοτὲ δ' ἀγῶσι καὶ θέαις ἀναλαμβάνων τὸ πλῆθος εἰς*
2 *εὐπαθείας. ὡς δ' αἱ σκήψεις αὐτῷ πᾶσαι κατανάλωντο,* 2031
*τελευτῶν ἔφη δεῖν εἰς τὸν τοῦ τεθνηκότος ὑπάτου
τόπον ἕτερον ἀποδειχθῆναι. τὰ μὲν γὰρ ὑφ' ἑαυτοῦ
μόνου πραχθέντα οὔτε νόμιμα οὔτε βέβαια ἔσεσθαι,
τὰ δ' ὑπ' ἀμφοῖν ἔννομά τε καὶ κύρια. ταύτῃ δια-
κρουσάμενος αὐτοὺς τῇ προφάσει προεῖπεν ἀρχαιρε-
σίων ἡμέραν, ἐν ᾗ τὸν συνάρχοντα ἔμελλεν ἀποδείξειν.
ἐν δὲ τῷ μεταξὺ χρόνῳ δι' ἀπορρήτων βουλευμάτων
οἱ προεστηκότες τοῦ συνεδρίου συνέθεντο κατὰ σφᾶς*
3 *αὐτούς, ὅτῳ παραδώσουσι τὴν ἀρχήν. καὶ ἐπειδὴ ὁ
τῶν ἀρχαιρεσίων ἐνέστη χρόνος, καὶ ὁ κῆρυξ τὴν
πρώτην τάξιν ἐκάλεσεν, εἰσελθόντες εἰς τὸν ἀπο-
δειχθέντα τόπον οἵ τ' ὀκτωκαίδεκα λόχοι τῶν ἱππέων
καὶ οἱ τῶν πεζῶν ὀγδοήκοντα τῶν τὸ μέγιστον τίμημα
ἐχόντων Λεύκιον Κοίντιον Κικιννάτον ἀποδεικνύουσιν
ὕπατον, οὗ τὸν υἱὸν Καίσωνα Κοίντιον εἰς ἀγῶνα* 2032
*θανάτου καταστήσαντες οἱ δήμαρχοι τὴν πόλιν ἠνάγ-*

4 *ἀνερίπτουν* Ba *ἀνερρίπτουν* R *ἀνερρίπιζον* c. Sylburg cf. Cobet Obs. p. 191 12 **κατ⟨η⟩ν⟨ά⟩λωντο* Bb cf. Jacoby Aar. Progr. p. 32 21 *καὶ ἐπειδὴ* B *ἐπειδὴ δὲ* R

κασαν ἐκλιπεῖν· καὶ οὐδεμιᾶς ἔτι κληθείσης ἐπὶ τὴν
ψηφοφορίαν τάξεως — τρισὶ γὰρ ἦσαν λόχοις πλείους οἱ
διενέγκαντες τὴν ψῆφον λόχοι τῶν ὑπολειπομένων —
ὁ μὲν δῆμος ἀπῄει συμφορὰν βαρεῖαν ἡγούμενος, ὅτι
μισῶν αὐτοὺς ἀνὴρ ἐξουσίας ὑπατικῆς ἔσται κύριος,
ἡ βουλὴ δὲ ἔπεμπε τοὺς παραληψομένους τὸν ὕπατον
καὶ ἄξοντας ἐπὶ τὴν ἀρχήν. ἔτυχε δὲ τηνικαῦτα ὁ 4
Κοΐντιος ἄρουράν τινα ὑπεργαζόμενος εἰς σποράν,
αὐτὸς ἀκολουθῶν τοῖς σχίζουσι τὴν νειὸν βοιδίοις
ἀχίτων, περιζωμάτιον ἔχων καὶ ἐπὶ τῇ κεφαλῇ πῖλον.
ἰδὼν δὲ πλῆθος ἀνθρώπων εἰς τὸ χωρίον εἰσιόντων
τό τε ἄροτρον ἐπέσχε καὶ πολὺν ἠπόρει χρόνον, οἵ-
τινές τε εἶεν καὶ τίνος δεόμενοι πρὸς αὐτὸν ἥκοιεν·
ἔπειτα προσδραμόντος τινὸς καὶ κελεύσαντος κοσμιώτε-
ρον ἑαυτὸν ποιῆσαι παρελθὼν εἰς τὴν καλύβην καὶ
2033 ἀμφιεσάμενος προῆλθεν. οἱ δ᾽ ἐπὶ τὴν παράληψιν 5
αὐτοῦ παρόντες ἠσπάσαντό τε ἅπαντες οὐκ ἐκ τοῦ
ὀνόματος, ἀλλ᾽ ὕπατον καὶ τὴν περιπόρφυρον ἐσθῆτα
περιέθεσαν τούς τε πελέκεις καὶ τἆλλα παράσημα τῆς
ἀρχῆς παραστήσαντες ἀκολουθεῖν εἰς τὴν πόλιν ἠξίουν.
κἀκεῖνος μικρὸν ἐπισχὼν καὶ δακρύσας τοσοῦτον εἶπεν·
Ἄσπορον ἄρα μοι τὸ χωρίον ἔσται τοῦτον τὸν ἐνιαυ-
τόν, καὶ κινδυνεύσομεν οὐχ ἕξειν, πόθεν διατραφῶμεν.
ἔπειτ᾽ ἀσπασάμενος τὴν γυναῖκα καὶ τῶν ἔνδον ἐπι-
μελεῖσθαι παραγγείλας ᾤχετο εἰς τὴν πόλιν. ταῦτα 6
δὲ οὐχ ἑτέρου τινὸς χάριν εἰπεῖν προήχθην, ἀλλ᾽ ἵνα
φανερὸν γένηται πᾶσιν, οἷοι τότε ἦσαν οἱ τῆς

3 ἀπολειπομένων O ὑπολειπομένων c. Kiessling 6 παραληψομένους τὸν ἄνδρα c. Kiessling 10 πῖλον] πιλίδιον Naber Mnem. 30, 252 13 τε om. O praeter B 16 ἀμφιασάμενος AB 21 διαδακρύσας O corr. Cobet Obs. p. 191 23 πόθεν] ὁπόθεν c. Cobet l. l.

Ῥωμαίων πόλεως προεστηκότες, ὡς αὐτουργοὶ καὶ σώ-
φρονες καὶ πενίαν δικαίαν οὐ βαρυνόμενοι καὶ βασι-
λικὰς οὐ διώκοντες ἐξουσίας, ἀλλὰ καὶ διδομένας
ἀναινόμενοι· φανήσονται γὰρ οὐδὲ κατὰ μικρὸν ἐοι-
κότες ἐκείνοις οἱ νῦν, ἀλλὰ τἀναντία πάντα ἐπιτη- 2034
δεύοντες, πλὴν πάνυ ὀλίγων, δι' οὓς ἕστηκεν ἔτι τὸ
τῆς πόλεως ἀξίωμα καὶ τὸ σώζειν τὴν πρὸς ἐκείνους
τοὺς ἄνδρας ὁμοιότητα. ἀλλὰ περὶ μὲν τούτων ἅλις.

XVIII. Ὁ δὲ Κοίντιος παραλαβὼν τὴν ὑπατείαν
πρῶτον μὲν ἔπαυσε τοὺς δημάρχους τῶν καινῶν πολι-
τευμάτων καὶ τῆς ἐπὶ τῷ νόμῳ σπουδῆς προειπών,
ὡς εἰ μὴ παύσονται ταράττοντες τὴν πόλιν ἀπάξει
Ῥωμαίους ἅπαντας ἐκ τῆς πόλεως στρατείαν κατὰ
2 Οὐολούσκων παραγγείλας. ἐπεὶ δὲ κωλύσειν αὐτὸν
ἔλεγον οἱ δήμαρχοι στρατοῦ ποιεῖσθαι καταγραφήν,
συναγαγὼν τὸ πλῆθος εἰς ἐκκλησίαν εἶπεν, ὅτι πάν-
τες ὀμωμόκασι τὸν στρατιωτικὸν ὅρκον, ἀκολουθήσειν
τοῖς ὑπάτοις ἐφ' οὓς ἂν καλῶνται πολέμους, καὶ μήτε
ἀπολείψειν τὰ σημεῖα μήτε ἄλλο πράξειν μηθὲν ἐναν-
τίον τῷ νόμῳ· παραλαβὼν δὲ τὴν ὑπατικὴν ἐξουσίαν
αὐτὸς ἔχειν ἔφη κρατουμένους ἅπαντας τοῖς ὅρκοις.
3 εἰπὼν δὲ ταῦτα καὶ διομοσάμενος χρήσεσθαι τῷ νόμῳ
κατὰ τῶν ἀπειθούντων ἐκέλευσεν ἐκ τῶν ἱερῶν τὰ 2035
σημεῖα καταφέρειν· καὶ ἵνα, ἔφη, πᾶσαν ἀπογνῶτε
δημαγωγίαν ἐπὶ τῆς ἐμῆς ὑπατείας, οὐ πρότερον ἀνα-

7 τὸ σώζειν] ἀποσώζει c. Kiessling σώζει Cobet Obs. p. 191 ὥστε σώζειν Naber Mnem. 30, 253 nihil mutandum est 14 οὐολούσκων, non οὐολούσκους B 17 post ὀμωμόκασι lacuna trium litterarum, in quibus καὶ fuisse videtur 18 πολέμους O πολεμίους Kiessling ἐφ' οὓς ἂν ἡγῶνται πολεμίους c. Cobet Obs. p. 191 an ἐκκαλῶνται scribendum est? 19 πρᾶξαι A 22 χρήσασθαι O corr. Stephanus

στήσω τὸν στρατὸν ἐκ τῆς πολεμίας, πρὶν ἢ πᾶς ὁ τῆς ἀρχῆς μοι διέλθῃ χρόνος. ὡς οὖν ἐν ὑπαίθρῳ χειμάσοντες παρασκευάσασθε τὰ εἰς ἐκεῖνον τὸν καιρὸν ἐπιτήδεια. τούτοις καταπληξάμενος αὐτοὺς τοῖς λόγοις 4
ἐπειδὴ κοσμιωτέρους εἶδε γεγονότας καὶ δεομένους ἀφεθῆναι τῆς στρατείας, ἐπὶ τούτοις ἔφη χαριεῖσθαι τὰς ἀναπαύλας τῶν πολέμων, ἐφ' ᾧ τε μηθὲν ἔτι παρακινεῖν αὐτούς, ἀλλ' ἐᾶν αὐτὸν ὡς βούλεται τὴν ἀρχὴν τελεῖσθαι, καὶ ἐπὶ τῷ τὰ δίκαια διδόναι τε καὶ λαμβάνειν παρ' ἀλλήλων.

XVIIII. *Καταστάντος δὲ τοῦ θορύβου δικαστήριά τε ἀπεδίδου τοῖς δεομένοις ἐκ πολλῶν παρειλκυσμένα χρόνων, καὶ τὰ πλεῖστα τῶν ἐγκλημάτων αὐτὸς ἴσως καὶ δικαίως διέκρινε δι' ὅλης ἡμέρας ἐπὶ τοῦ βήματος*
2086 *καθεξόμενος, εὐπρόσοδόν τε καὶ πρᾷον καὶ φιλάνθρωπον τοῖς ἐπὶ τὴν δικαιοδοσίαν ἀφικνουμένοις ἑαυτὸν παρεῖχε καὶ παρεσκεύασεν ἀριστοκρατικὴν οὕτως φανῆναι τὴν πολιτείαν, ὥστε μήτε δημάρχων δεηθῆναι τοὺς διὰ πενίαν ἢ δυσγένειαν ἢ ἄλλην τινὰ ταπεινότητα ὑπὸ τῶν κρειττόνων κατισχυομένους, μήτε καινῆς νομοθεσίας πόθον ἔχειν ἔτι τοὺς ἐν ἰσηγορίᾳ πολιτεύεσθαι βουλομένους, ἀλλ' ἀγαπᾶν τε καὶ χαίρειν ἅπαντας ἐπὶ τῇ τότε κατασχούσῃ τὴν πόλιν εὐνομίᾳ. ταῦτά* 2
*τε δὴ τὰ ἔργα τοῦ ἀνδρὸς ἐπῃνεῖτο ὑπὸ τοῦ δήμου, καὶ ἐπεὶ τὸν ὡρισμένον ἐτέλεσε τῆς ἀρχῆς χρόνον τὸ μὴ δέξασθαι τὴν ὑπατείαν διδομένην τὸ δεύτερον μηδὲ*

1 πρὶν ἢ O πρὶν ἂν Hertlein Hermes X 419   9 τελεῖσθαι O τελέσαι Reiske   12 αὐτοῖς δεομένοις A   14 ὅλης ἡμέρας B ὅλης τῆς ἡμ. R   21 πολιτεύεσθαι βουλομένους B πολιτευομένους R   24 ἀνδρός· ἐπῃνεῖτο δ' ὑπὸ τοῦ O praeter B   25 ἐτέλεσεν ἐξ ἀρχῆς χρόνον A | τὸ] τῷ O praeter B

3 ἀγαπῆσαι τηλικαύτην λαμβάνοντα τιμήν. κατεῖχε γὰρ
αὐτὸν ἐπὶ τῆς ὑπατικῆς ἐξουσίας ἡ βουλὴ πολλὰς προσ-
φέρουσα δεήσεις, ἐπεὶ τὸ τρίτον οἱ δήμαρχοι διεπρά- 2037
ξαντο μὴ ἀποθέσθαι τὴν ἀρχήν, ὡς ἐναντιωσόμενον
αὐτοῖς καὶ παύσοντα τῶν καινῶν πολιτευμάτων, τὰ μὲν
αἰδοῖ, τὰ δὲ φόβῳ, τὸν δὲ δῆμον ὁρῶσα οὐκ ἀναινό-
μενον ὑπ' ἀνδρὸς ἀγαθοῦ ἄρχεσθαι. ὁ δ' οὔτε τῶν
δημάρχων ἐπαινεῖν ἔφη τὸ ἀπαραχώρητον τῆς ἐξουσίας
4 οὔτε αὐτὸς εἰς ὁμοίαν ἐκείνοις ἥξειν διαβολήν. συν-
αγαγὼν δὲ τὸν δῆμον εἰς ἐκκλησίαν καὶ πολλὴν κατ-
ηγορίαν τῶν οὐκ ἀποτιθεμένων τὰς ἀρχὰς διαθέμενος
ὅρκους τε διομοσάμενος ἰσχυροὺς περὶ τοῦ μὴ λήψεσθαι
πάλιν τὴν ὑπατείαν, πρὶν ἀποθέσθαι τὴν προτέραν
ἀρχήν, προεῖπεν ἀρχαιρεσίων ἡμέραν· ἐν ᾗ κατα-
στήσας ὑπάτους ἀπῄει πάλιν εἰς τὸ μικρὸν ἐκεῖνο
καλύβιον καὶ τὸν αὐτουργὸν ἔζη βίον ὡς πρότερον.

XX. Κοίντου δὲ Φαβίου Οὐιβολανοῦ παρειλη-
φότος τὴν ὑπατείαν τὸ τρίτον καὶ Λευκίου Κορνη-
λίου καὶ τελούντων πατρίους ἀγῶνας Αἰκανῶν ἄνδρες 2038
ἐπίλεκτοι πλῆθος ἀμφὶ τοὺς ἑξακισχιλίους ὁπλισμῷ
τ' εὐζώνῳ συνεσταλμένοι καὶ ἐν νυκτὶ ποιησάμενοι
τὴν ἔξοδον σκότους ἔτι ὄντος ἐπὶ πόλιν ἀφικνοῦνται
Τυσκλάνων, ἥ ἐστι μὲν τοῦ Λατίνων ἔθνους, ἀφ-
έστηκε δὲ τῆς Ῥώμης οὐκ ἔλαττον σταδίων ἑκατόν.
2 εὑρόντες δὲ ὡς ἐν εἰρήνῃ πύλας τε ἀκλείστους καὶ
τεῖχος ἀφύλακτον αἱροῦσι τὴν πόλιν ἐξ ἐφόδου μνησι-
κακοῦντες τοῖς Τυσκλάνοις, ὅτι τῇ Ῥωμαίων πόλει τά
τε ἄλλα μετὰ προθυμίας συμπράττοντες διετέλουν, καὶ

1 post ἀγαπῆσαι videtur deesse πολλάκις Reiskio 3 ἐπεὶ] ἐπὶ B 17 φαβιοὐβολανοῦ Ba 19 αἰκ . . . ανῶν B

ἐν τῇ πολιορκίᾳ τοῦ Καπιτωλίου μόνοι συνήραντο τοῦ
πολέμου. ἄνδρας μὲν οὐ πολλούς τινας ἐν τῇ κατα- 3
λήψει διέφθειραν, ἀλλ' ἔφθασαν ἤδη αὐτοὺς ὑπὸ τὴν
ἅλωσιν τῆς πόλεως ὠσάμενοι διὰ τῶν πυλῶν οἱ ἔνδον,
χωρὶς ἢ ὅσοι ὑπὸ νόσων ἢ γήρως φυγεῖν ἀδύνατοι
ἦσαν, γύναια δὲ καὶ παιδία καὶ θεράποντας αὐτῶν
ἠνδραποδίσαντο καὶ τὰ χρήματα διήρπασαν. ὡς δ' 4
2039 ἀπηγγέλθη τὸ δεινὸν εἰς τὴν Ῥώμην ἐκ τῶν διαφυγόν-
των ἐκ τῆς ἁλώσεως, οἱ μὲν ὕπατοι βοηθεῖν ᾤοντο
δεῖν τοῖς φυγάσι κατὰ τάχος καὶ τὴν πόλιν αὐτοῖς
ἀποδιδόναι, ἀντέπραττον δὲ οἱ δήμαρχοι στρατιὰν οὐκ
ἐῶντες καταγράφειν, ἕως ἂν ἡ περὶ τοὺς νόμους δι-
ενεχθῇ ψῆφος. ἀγανακτούσης δὲ τῆς βουλῆς καὶ δια-
τριβὴν λαμβανούσης τῆς στρατείας ἕτεροι παρῆσαν
ἀπὸ τοῦ Λατίνων ἔθνους ἀποσταλέντες, οἳ τὴν Ἀντια-
τῶν πόλιν ἤγγελλον ἐκ τοῦ φανεροῦ ἀφεστηκέναι, μιᾷ
χρησαμένων γνώμῃ Οὐολούσκων τε τῶν ἀρχαίων οἰ-
κητόρων τῆς πόλεως καὶ Ῥωμαίων τῶν ἀφικομένων
ὡς αὐτοὺς ἐποίκων καὶ μερισαμένων τὴν γῆν. Ἑρνί-
κων τε ἄγγελοι κατὰ τοὺς αὐτοὺς παρῆσαν χρόνους
δηλοῦντες, ὅτι Οὐολούσκων τε καὶ Αἰκανῶν δύναμις
πολλὴ ἐξελήλυθε καί ἐστιν ἐν τῇ αὐτῶν ἤδη γῇ.
τούτων ἅμα προσαγγελλομένων οὐδεμίαν ἀναστροφὴν 5
ἔτι ποιεῖσθαι τοῖς ἐκ τοῦ συνεδρίου ἐδόκει, ἀλλὰ παν-
στρατιᾷ βοηθεῖν καὶ τοὺς ὑπάτους ἀμφοτέρους ἐξιέναι·

2 καὶ ἄνδρας πολλοὺς A ἄνδρας μὲν οὖν πολλοὺς B καὶ ἄνδρας μὲν οὐ πολλοὺς — διέφθειραν, ἔφθησαν γὰρ αὐτοὺς Reiske 4 σωσάμενοι c. Kiessling | διὰ τῶν ἐναντίων πυλῶν c. Reiske δι' ἄλλων π. c. Cobet Obs. p. 192 8 ἐκ τῶν διαφυγόντων c. Reiske 12 περὶ τοὺς νόμους O περὶ τοῦ νόμου c. Reiske 14 τῆς στρατιᾶς A 21 Αἰκ ... ανῶν Bb | δυνάμεις Ba

ἐὰν δέ τινες ἀπολειφθῶσι τῆς στρατείας Ῥωμαίων ἢ
6 τῶν συμμάχων, ὡς πολεμίοις αὐτοῖς χρῆσθαι. εἰξάν- 2040
των δὲ καὶ τῶν δημάρχων καταγράψαντες τοὺς ἐν ἡλικίᾳ πάντας οἱ ὕπατοι καὶ τὰς παρὰ τῶν συμμάχων δυνάμεις μεταπεμψάμενοι κατὰ σπουδὴν ἐξῆεσαν ὑπολιπόμενοι φυλακὴν τῇ πόλει τρίτην μοῖραν τῆς ἐπιχωρίου στρατιᾶς. Φάβιος μὲν οὖν ἐπὶ τοὺς ἐν τῷ Τυσκλάνων ὄντας Αἰκανοὺς τὴν στρατιὰν ἦγε διὰ
7 τάχους. τῶν δ' οἱ μὲν πλείους ἀπεληλύθεσαν ἤδη διηρπακότες τὴν πόλιν, ὀλίγοι δέ τινες ὑπέμενον φυλάττοντες τὴν ἄκραν· ἔστι δὲ σφόδρα ἐχυρὰ καὶ οὐ πολλῆς δεομένη φυλακῆς. τινὲς μὲν οὖν φασι τοὺς φρουροὺς τῆς ἄκρας ἰδόντας ἐξιοῦσαν ἐκ τῆς Ῥώμης τὴν στρατιάν — εὐσύνοπτα γάρ ἐστιν ἐκ μετεώρου τὰ μεταξὺ χωρία πάντα — ἑκόντας ἐξελθεῖν, ἕτεροι δὲ ἐκπολιορκηθέντας ὑπὸ τοῦ Φαβίου καθ' ὁμολογίαν παραδοῦναι τὸ φρούριον, τοῖς σώμασιν αὐτοῖς ἄδειαν αἰτησαμένους καὶ ζυγὸν ὑποστάντας.

XXI. Ἀποδοὺς δὲ τοῖς Τυσκλάνοις τὴν πόλιν 2041
Φάβιος περὶ δείλην ὀψίαν ἀνίστησι τὴν στρατιάν. καὶ ὡς εἶχε τάχους ἤλαυνεν ἐπὶ τοὺς πολεμίους, ἀκούων περὶ πόλιν Ἀλγιδὸν ἀθρόας εἶναι τάς τε Οὐολούσκων καὶ τὰς Αἰκανῶν δυνάμεις. ποιησάμενος δὲ δι' ὅλης νυκτὸς σύντονον ὁδὸν ὑπ' αὐτὸν τὸν ὄρθρον ἐπιφαίνεται τοῖς πολεμίοις ἐστρατοπεδευκόσιν ἐν πε-

1 στρατιᾶς ABa 5 ὑπολιπόμενοι Ba cf. Cobet Obs. p. 192 ὑπολειπόμενοι R 6 ἐπιχώρου Ba 8 τυσκλάνῳ AB ἐν τῷ τυσκλάνων vel ἐν τῷ τύσκλῳ c. Sylburg 9 διὰ τάχους ἐλαύνων O praeter B 18 post καὶ tres litterae in B erasae 22 ἀλγιδὸν Ba ἀλγηδόνα ABb ἄλγιδον Sylburg 23 τὰς add. B | αἰκουανῶν et hoc et ceteris locis Ba αἰκανῶν R 25 ἐπιφ⟨αί⟩νεται Ba cf. Garrer Obs. p. 60

δίῳ καὶ οὔτε τάφρον περιβεβλημένοις οὔτε χάρακα,
ὡς ἐν οἰκείᾳ τε γῇ καὶ καταφρονήσει τοῦ ἀντιπάλου.
παρακελευσάμενος δὲ τοῖς ἀμφ' αὐτὸν ἀγαθοῖς ἀνδράσι 2
γίνεσθαι πρῶτος εἰσελαύνει μετὰ τῶν ἱππέων εἰς τὴν
τῶν πολεμίων παρεμβολήν, καὶ οἱ πεζοὶ συναλαλάξαν-
τες εἵποντο· τῶν δ' οἱ μὲν ἔτι κοιμώμενοι ἐφονεύοντο,
οἱ δ' ἀρτίως ἀνεστηκότες καὶ πρὸς ἀλκὴν ἐπιχειροῦν-
2042 τες τραπέσθαι, οἱ δὲ πλείους φεύγοντες ἐσκεδάννυντο.
ἁλόντος δὲ τοῦ στρατοπέδου κατὰ πολλὴν εὐπέτειαν 3
ἐπιτρέψας τοῖς στρατιώταις τὰ χρήματα ὠφελεῖσθαι
καὶ τὰ σώματα πλὴν ὅσα Τυσκλάνων ἦν, οὐ πολὺν
ἐνταῦθα διατρίψας χρόνον ἐπὶ τὴν Ἐχετράνων πόλιν
ἦγε τὴν δύναμιν, ἣ τότε ἦν τοῦ Οὐολούσκων ἔθνους
ἐπιφανεστάτη τε κἀν τῷ κρατίστῳ μάλιστα τόπῳ κει-
μένη. στρατοπεδεύσας δὲ πλησίον τῆς πόλεως ἐπὶ 4
πολλὰς ἡμέρας κατ' ἐλπίδα τοῦ προελεύσεσθαι τοὺς
ἔνδον εἰς μάχην, ὡς οὐδεμία ἐξῄει στρατιά, τὴν γῆν
αὐτῶν ἐδῄου ἀνθρώπων μεστὴν οὖσαν καὶ βοσκη-
μάτων. οὐ γὰρ ἔφθασαν ἀνασκευασάμενοι τὰ ἐκ τῶν
ἀγρῶν αἰφνιδίου γενηθείσης αὐτοῖς τῆς ἐφόδου. ἐφεὶς
δὲ καὶ ταῦτα τοῖς στρατιώταις διαρπάζειν ὁ Φάβιος
καὶ πολλὰς ἐν τῇ προνομῇ διατρίψας ἡμέρας ἀπῆγεν
2043 ἐπ' οἶκον τὴν δύναμιν. ὁ δ' ἕτερος τῶν ὑπάτων Κορ- 5
νήλιος ἐπὶ τοὺς ἐν Ἀντίῳ Ῥωμαίους τε καὶ Οὐο-
λούσκους ἐλαύνων ἐπιτυγχάνει στρατιᾷ πρὸ τῶν ὁρίων

3 δὲ add. Bb 5 καὶ οἱ πεζοὶ ἀλαλάξαντες A καὶ οἱ πεζοὶ οὖν ἀλαλάξαντες B καὶ οἱ πεζοὶ συναλαλάξαντες c. Reiske 7 οἱ δὲ ἀρτίως ἐπιχειροῦντες καὶ πρὸς ἀλκὴν τραπέσθαι ἀνεστακότες O praeter B 8 φεύγοντες ἐσκεδάννυντο A ἔφευγον B 9 ἁλόντες Ba 10 τὰ add. B 11 τὰ add. B 13 τοῦ ὁλούσκων Ba 14 καὶ τῷ AB *κἀν τῷ ego 15 ἐπὶ οὐ (sic) πολλὰς Naber Mnem. 30, 253 24 του αντίου Aa

αὐτὸν ὑποδεχομένῃ. παραταξάμενος δὲ αὐτοῖς καὶ πολλοὺς μὲν φονεύσας, τοὺς δὲ λοιποὺς τρεψάμενος ἀγχοῦ τῆς πόλεως κατεστρατοπέδευσεν. οὐ τολμώντων δὲ τῶν ἐκ τῆς πόλεως οὐκέτι χωρεῖν εἰς μάχην πρῶτον μὲν τὴν γῆν αὐτῶν ἔκειρεν, ἔπειτα τὴν πόλιν ἀπεστάφρευε καὶ περιεχαράκου. τότε δὴ πάλιν ἀναγκασθέντες ἐξῆλθον ἐκ τῆς πόλεως πανστρατιᾷ, πολὺς καὶ ἀσύντακτος ὄχλος, καὶ συμβαλόντες εἰς μάχην ἔτι κάκιον ἀγωνισάμενοι κατακλείονται τὸ δεύτερον εἰς

6 τὴν πόλιν, αἰσχρῶς καὶ ἀνάνδρως φεύγοντες. ὁ δ' ὕπατος οὐδεμίαν αὐτοῖς ἀναστροφὴν ἔτι δοὺς κλίμακας προσέφερε τοῖς τείχεσι καὶ κριοῖς ἐξέκοπτε τὰς πύλας. ἐπιπόνως δὲ καὶ ταλαιπώρως τῶν ἔνδον ἀπομαχομένων οὐ πολλὰ πραγματευθεὶς κατὰ κράτος αἱρεῖ τὴν πόλιν. 2044 χρήματα μὲν οὖν αὐτῶν, ὅσα χρυσὸς καὶ ἄργυρος καὶ χαλκὸς ἐνῆν, εἰς τὸ δημόσιον ἐκέλευσεν ἀναφέρειν, ἀνδράποδα δὲ τοὺς ταμίας παραλαμβάνοντας καὶ τὰ λοιπὰ λάφυρα πωλεῖν· τοῖς δὲ στρατιώταις ἐσθῆτα καὶ τροφὰς καὶ ὅσ' ἄλλα τοιαῦτα ἐδύναντο ὠφελεῖσθαι

7 ἐπέτρεψεν. ἔπειτα διακρίνας τῶν τε κληρούχων καὶ τῶν ἀρχαίων Ἀντιατῶν τοὺς ἐπιφανεστάτους τε καὶ τῆς ἀποστάσεως αἰτίους — ἦσαν δὲ πολλοί — ῥάβδοις τε ᾐκίσατο μέχρι πολλοῦ καὶ τοὺς αὐχένας αὐτῶν ἐκέλευσεν ἀποτεμεῖν. ταῦτα διαπραξάμενος ἀπῆγε καὶ αὐτὸς

8 ἐπ' οἶκου τὴν δύναμιν. τούτοις ἡ βουλὴ τοῖς ὑπάτοις προσιοῦσί τε ἀπήντησε καὶ θριάμβους ἀμφοτέροις καταγαγεῖν ἐψηφίσατο· καὶ πρὸς Αἰκανοὺς πρεσβευσαμένους ὑπὲρ εἰρήνης ἐποιήσατο συνθήκας περὶ κατα-

4 οὐκέτι] ἔτι Naber Mnem. 30, 253 5 πόλιν αὐτῶν O praeter B πόλιν αὐτὴν c. Reiske 22 ἦσαν δὲ οὐ πολλοί Kiessling

λύσεως τοῦ πολέμου, ἐν αἷς ἐγράφη, πόλεις τε καὶ χώρας ἔχοντας Αἰκανούς, ὧν ἐκράτουν, ὅτε αἱ σπονδαὶ ἐγίνοντο, Ῥωμαίοις εἶναι ὑπηκόους, ἄλλο μὲν ὑποτελοῦντας μηθέν, ἐν δὲ τοῖς πολέμοις συμμαχίαν ἀποστέλλοντας ὁσηνδήποτε, ὥσπερ καὶ οἱ ἄλλοι σύμμαχοι. καὶ τὸ ἔτος τοῦτο ἐτελεύτα.

2045 XXII. Τῷ δ' ἑξῆς ἐνιαυτῷ Γάιος Ναύτιος τὸ δεύτερον αἱρεθεὶς καὶ Λεύκιος Μηνύκιος παραλαβόντες τὴν ὕπατον ἀρχὴν τέως μὲν ὑπὲρ τῶν πολιτικῶν δικαίων πόλεμον ἐντὸς τείχους ἐπολέμουν πρὸς τοὺς ἅμα Οὐεργινίῳ δημάρχους τοὺς τέταρτον ἔτος ἤδη τὴν αὐτὴν κατασχόντας ἀρχήν. ἐπεὶ δ' ἀπὸ τῶν πλη- 2
σιοχώρων ἐθνῶν πόλεμος ἐπεγένετο τῇ πόλει, καὶ δέος ἦν, μὴ τὴν ἀρχὴν ἀφαιρεθῶσιν, ἀσμένως δεξάμενοι τὸ συμβὰν ἀπὸ τῆς τύχης τὸν στρατιωτικὸν ἐποιοῦντο κατάλογον καὶ μερισάμενοι τριχῇ τάς τε οἰκείας καὶ τὰς παρὰ τῶν συμμάχων δυνάμεις μίαν μὲν ἐν τῇ πόλει μοῖραν κατέλιπον, ἧς ἡγεῖτο Κόιντος Φάβιος Οὐιβολανός, τὰς δὲ λοιπὰς αὐτοὶ παραλαβόντες ἐξῆεσαν διὰ ταχέων, ἐπὶ μὲν Σαβίνους Ναύτιος, ἐπὶ δ' Αἰκανοὺς Μηνύκιος. ἀμφότερα γὰρ ταῦτα τὰ ἔθνη 3
κατὰ τὸν αὐτὸν χρόνον ἀφειστήκει τῆς Ῥωμαίων ἀρχῆς, Σαβῖνοι μὲν ἐκ ⟨τοῦ⟩ φανεροῦ, καὶ μέχρι
2046 Φιδήνης πόλεως ἤλασαν, ἧς ἐκράτουν Ῥωμαῖοι — τετταράκοντα δ' εἰσὶν οἱ διὰ μέσου τῶν πόλεων στάδιοι — Αἰκανοὶ δὲ λόγῳ μὲν φυλάττοντες τὰ τῆς νεωστὶ γενομένης συμμαχίας δίκαια, ἔργῳ δὲ καὶ οὗτοι πράττοντες τὰ τῶν πολεμίων. ἐπὶ γὰρ τοὺς συμμάχους 4

2 χώραν c. Kiessling 4 πολεμίοις Ba 8 μινύκιος Ba | παραλαβὸν Ba παραλαβὼν ABb παραλαβόντες Sylburg 23 ἐκ φανεροῦ O corr. Kiessling

αὐτῶν Λατίνους ἐστράτευσαν, ὡς οὐ γενομένων αὐτοῖς πρὸς ἐκείνους ὁμολογιῶν περὶ φιλίας. ἡγεῖτο δὲ τῆς στρατιᾶς Γράγχος Κοίλιος, ἀνὴρ δραστήριος ἀρχῇ κοσμηθεὶς αὐτοκράτορι, ἣν ἐπὶ τὸ βασιλικώτερον ἐξήγαγεν. ἐλάσας δὲ μέχρι Τύσκλου πόλεως, ἣν Αἰκανοὶ τῷ πρόσθεν ἐνιαυτῷ καταλαβόμενοι καὶ διαρπάσαντες ὑπὸ Ῥωμαίων ἐξεκρούσθησαν, ἀνθρώπους τε πολλοὺς ἐκ τῶν ἀγρῶν συνήρπασε καὶ βοσκήματα, ὅσα κατέλαβε, καὶ τοὺς καρποὺς τῆς γῆς ἐν ἀκμῇ ὄντας
5 ἔφθειρεν. ἀφικομένης δὲ πρεσβείας, ἣν ἀπέστειλεν 2047
ἡ Ῥωμαίων βουλὴ μαθεῖν ἀξιοῦσα, τί παθόντες Αἰκανοὶ πολεμοῦσι τοῖς Ῥωμαίων συμμάχοις, φιλίας τ' αὐτοῖς ὀμωμοσμένης νεωστὶ καὶ οὐδενὸς ἐν τῷ μεταξὺ χρόνῳ γενομένου προσκρούσματος τοῖς ἔθνεσι, καὶ παραινούσης τῷ Κοιλίῳ τούς τ' αἰχμαλώτους αὐτῶν οὓς εἶχεν ἀφιέναι καὶ τὴν στρατιὰν ἀπάγειν καὶ περὶ ὧν ἠδίκησεν ἢ κατέβλαψε Τυσκλάνους δίκην ὑποσχεῖν, πολὺν μὲν χρόνον διέτριψεν ὁ Γράγχος οὐδ' εἰς λόγους τοῖς πρεσβευταῖς ἐρχόμενος, ὡς ἐν ἀσχολίαις δή
6 τισι γεγονώς. ἐπεὶ δ' οὖν ἔδοξεν αὐτῷ προσάγειν
τοὺς πρέσβεις, κἀκεῖνοι τοὺς ἐπισταλέντας ὑπὸ τῆς βουλῆς λόγους διεξῆλθον· Θαυμάζω, φησίν, ὑμῶν, ὦ Ῥωμαῖοι, τί δή ποτ' αὐτοὶ μὲν ἅπαντας ἀνθρώπους ἡγεῖσθε πολεμίους, καὶ ὑφ' ὧν οὐδὲν κακὸν πεπόνθατε, ἀρχῆς καὶ τυραννίδος ἕνεκα, Αἰκανοῖς δ' οὐ συγχωρεῖτε παρὰ τουτωνὶ Τυσκλάνων ἐχθρῶν ὄντων ἀναπράττεσθαι δίκας, οὐθενὸς ἡμῖν διωμολογημένου περὶ αὐ-
7 τῶν, ὅτε τὰς πρὸς ὑμᾶς ἐποιούμεθα συνθήκας. εἰ μὲν

2 τῆς στρατείας O praeter B 3 γράγχος AB atque sic semper 10 ἔφθειρεν] ἔφερεν A 16 στρατι Ba αν add. Bb 23 τιδήποτε B 26 τουτων⟨ι⟩ Bb

2048 οὖν τῶν ὑμετέρων ἰδίων ἀδικεῖσθαί τι ἢ βλάπτεσθαι
λέγετε ὑφ' ἡμῶν, τὰ δίκαια ὑφέξομεν ὑμῖν κατὰ τὰς
ὁμολογίας· εἰ δὲ περὶ Τυσκλάνων ἀναπραξόμενοι δίκας
ἥκετε, οὐθείς ἐστιν ὑμῖν πρὸς ἐμὲ περὶ τούτων λόγος,
ἀλλὰ πρὸς ταύτην λαλεῖτε τὴν φηγόν· δείξας αὐτοῖς
τινα πλησίον πεφυκυῖαν.

XXIII. Ῥωμαῖοι δὲ τοιαῦτα ὑβρισθέντες ὑπὸ τοῦ
ἀνδρὸς οὐκ εὐθὺς ὀργῇ ἐπιτρέψαντες ἐξήγαγον τὴν
στρατιάν, ἀλλὰ καὶ δευτέραν ὡς αὐτὸν ἀπέστειλαν
πρεσβείαν καὶ τοὺς Φητιάλεις καλουμένους ἄνδρας
ἱερεῖς ἔπεμψαν ἐπιμαρτυρόμενοι θεούς τε καὶ δαί-
μονας, ὅτι μὴ δυνηθέντες τῶν δικαίων τυχεῖν ὅσιον
2049 ἀναγκασθήσονται πόλεμον ἐκφέρειν· καὶ μετὰ ταῦτα
τὸν ὕπατον ἀπέστειλαν. ὁ δὲ Γράγχος, ἐπειδὴ τοὺς 2
Ῥωμαίους προσιόντας ἔμαθεν, ἀναστήσας τὴν δύναμιν
ἀπῆγε προσωτέρω, τῶν πολεμίων ἐκ ποδὸς ἑπομένων,
βουλόμενος αὐτοὺς εἰς τοιαῦτα προαγαγέσθαι χωρία,
ἐν οἷς πλεονεκτήσειν ἔμελλεν· ὅπερ καὶ συνέβη. φυ-
λάξας γὰρ αὐλῶνα περικλειόμενον ὄρεσιν, ὡς ἐνέβαλον
εἰς τοῦτον οἱ Ῥωμαῖοι διώκοντες αὐτόν, ὑποστρέφει
τε καὶ στρατοπεδεύεται κατὰ τὴν ἐκ τοῦ αὐλῶνος ἔξω
φέρουσαν ὁδόν. ἐκ δὲ τούτου συνεβεβήκει τοῖς Ῥω- 3
μαίοις οὐχ ὃν ἐβούλοντο ἐκλέξασθαι τόπον εἰς στρα-
τοπεδείαν, ἀλλ' ὃν ἔδωκεν αὐτοῖς ὁ καιρός, ἔνθα οὔθ'
ἵπποις χιλὸν εὔπορον ἦν λαμβάνειν, ὄρεσι περικλειο-

3 ἀναπραξάμενοι Ba 5 πρὸς ταύτην λαλεῖτε· φηγὸν δείξας Reiske | ταυτηνὶ c. Cobet Obs. p. 192 6 πεφ⟨υ⟩κυῖαν Bb 10 φ⟨ι⟩τιάλεις B φιτιαλεῖς R cf. VI 89, 1 11 ἱερεῖς A ἱεροὺς R | ἐπιμαρτυρόμενοι A ἐπιμαρτυρούμενοι B 12 ὅσιον καὶ δίκαιον ἀναγκασθήσονται scribendum esse c. Cobet Obs. p. 192 cf. VIII 2, 3 17 προσαγαγέσθαι O προαγαγέσθαι Hertlein Hermes X 420 cf. IX 20, 2 21 ἐκ om. A

μένου τοῦ τόπου ψιλοῖς καὶ δυσβάτοις, οὔθ' ἑαυτοῖς
τροφὰς ἐκ τῆς πολεμίας συγκομίζειν, ἐπειδὴ καταν-
άλωντο ἃς οἴκοθεν ἔφερον, οὔτε μεταστρατοπεδεύσα-
σθαι τῶν πολεμίων ἀντικαθημένων καὶ κωλυόντων
τὰς ἐξόδους. βιάσασθαί τε προελόμενοι καὶ προ- 2050
ελθόντες εἰς μάχην ἀνεκρούσθησαν καὶ πολλὰς πληγὰς
λαβόντες εἰς τὸν αὐτὸν κατεκλείσθησαν χάρακα. ὁ δὲ
Κοίλιος ἐπαρθεὶς τῷ προτερήματι τούτῳ περιετάφρευέ
τε αὐτοὺς καὶ περιεχαράκου καὶ πολλὰς ἐλπίδας εἶχε
4 λιμῷ πιεσθέντας παραδώσειν αὐτῷ τὰ ὅπλα. ἀφικο-
μένης δ' εἰς Ῥώμην περὶ τούτων ἀγγελίας Κόιντος
Φάβιος ὁ καταλειφθεὶς ἐπὶ τῆς πόλεως ἔπαρχος ἀπὸ
τῆς σὺν αὐτῷ στρατιᾶς ὅσον ἦν ἀκμαιότατόν τε καὶ
κράτιστον ἐπιλέξας μέρος ἐπὶ συμμαχίαν ἔπεμψε τῷ
ὑπάτῳ. ἡγεῖτο δὲ τῆς δυνάμεως ταύτης Τίτος Κοίν-
5 τιος ὁ ταμίας ἀνὴρ ὑπατικός. πρὸς δὲ τὸν ἕτερον
τῶν ὑπάτων Ναύτιον ἐπὶ τῆς ἐν Σαβίνοις στρατιᾶς
ὄντα γράμματα διαπέμψας τά τε συμβάντα τῷ Μηνυ-
κίῳ διεσάφησε καὶ αὐτὸν ἥκειν ἠξίου διὰ ταχέων.
κἀκεῖνος ἐπιτρέψας τοῖς πρεσβευταῖς τὸν χάρακα φυ-
λάττειν αὐτὸς σὺν ὀλίγοις ἱππεῦσιν εἰς τὴν Ῥώμην 2051
ἐλαύνει συντόνῳ χρησάμενος ἱππασίᾳ· εἰσελθὼν δ' εἰς
τὴν πόλιν ἔτι πολλῆς νυκτὸς οὔσης ἐβουλεύετο σὺν
τῷ Φαβίῳ καὶ τῶν ἄλλων πολιτῶν τοῖς πρεσβυτάτοις,
ὅ τι χρὴ ποιεῖν. ἐπεὶ δὲ πᾶσιν ἐδόκει δικτάτορος
δεῖσθαι ὁ καιρός, ἀποδείκνυσιν ἐπὶ τὴν ἀρχὴν ταύ-

1 ὑψηλοῖς A 2 *κατ⟨η⟩νάλωντο Bb ά ex ή cf. Jacoby Aar. Progr. p. 32 5 βιάσασθαι δὲ c. Kiessling 7 εἰς αὐτῶν c. Gelenius 13 ἀκμαιότατον] ἀναγκαιότατον O corr. Sylburg 14 ἐπιλέξας μέρος O μέρος ἐπιλέξας per errorem Kiessling 17 στρατιᾶς ABa στρατείας Bb 18 μηνυκίῳ ABb μινυκίῳ Ba 21 ὀλίγοις B τοῖς ἄλλοις R 24 πολιτῶν O βουλευτῶν c. Kiessling

τὴν Λεύκιον ⟨Κοίντιον⟩ Κικιννάτον. καὶ αὐτὸς μὲν
ταῦτα διαπραξάμενος ᾤχετο πάλιν ἐπὶ τὸ στρατόπεδον,
XXIIII. ὁ δὲ τῆς πόλεως ἔπαρχος Φάβιος ἔπεμπε
τοὺς παραληψομένους τὸν Κοίντιον ἐπὶ τὴν ἀρχήν.
ἔτυχε δὲ καὶ τότε ὁ ἀνὴρ τῶν κατ' ἀγρὸν ἔργων τι
διαπραττόμενος· ἰδὼν δὲ τὸν προσιόντα ὄχλον καὶ
ὑποπτεύσας ἐπ' αὐτὸν ἥκειν ἐσθῆτά τ' ἐλάμβανεν εὐ-
πρεπεστέραν καὶ ὑπαντήσων αὐτοῖς ἐπορεύετο. ὡς δ' 2
ἐγγὺς ἦν, ἵππους τ' αὐτῷ φαλάροις κεκοσμημένους
ἐκπρεπέσι προσῆγον καὶ πελέκεις ἅμα ταῖς ῥάβδοις
εἰκοσιτέτταρας παρέστησαν ἐσθῆτά τε ἁλουργῆ καὶ τἆλλα
2052 παράσημα, οἷς πρότερον ἡ τῶν βασιλέων ἐκεκόσμητο
ἀρχή, προσήνεγκαν. ὁ δὲ μαθών, ὅτι δικτάτωρ ἀποδέ-
δεικται τῆς πόλεως, οὐχ ὅπως ἠγάπησε τηλικαύτης
τιμῆς τυχών, ἀλλὰ προσαγανακτήσας εἶπεν· Ἀπολεῖται
ἄρα καὶ τούτου τοῦ ἐνιαυτοῦ ὁ καρπὸς διὰ τὰς ἐμὰς
ἀσχολίας, καὶ πεινήσομεν ἅπαντες κακῶς. μετὰ ταῦτα 3
παραγενόμενος εἰς τὴν πόλιν πρῶτον μὲν ἐθάρρυνε
τοὺς πολίτας λόγον ἐν τῷ πλήθει διεξελθὼν ἐξεγεῖραι
τὰς ψυχὰς δυνάμενον ἐλπίσιν ἀγαθαῖς· ἔπειτα συν-
αγαγὼν ἅπαντας τοὺς ἐν ἀκμῇ, τούς τε κατὰ ⟨τὴν⟩
πόλιν καὶ τοὺς ἐκ τῶν ἀγρῶν, καὶ τὰς παρὰ τῶν συμ-
μάχων ἐπικουρίας μεταπεμψάμενος ἱππάρχην τ' ἀπο-
δείξας Λεύκιον Ταρκύνιον, ἄνδρα τῶν ἠμελημένων μὲν
διὰ πενίαν, τὰ δὲ πολέμια γενναῖον, ἐξῆγε συγκεκροτη-
2053 μένην ἔχων δύναμιν, καὶ καταλαβὼν τὸν ταμίαν Τίτον

1 *Λεύκιον Κικιννάτον* O *Λ. Κοίντιον Κικιννάτον* c. Kiessling 12 *ἐκοσμ⟨εῖ⟩το* B 15 *ἀλλὰ καὶ* c. Kiessling 17 *π⟨ι⟩νήσ⟨ο⟩μεν* Bb 21 *κατὰ τὴν πόλιν* Ambrosch ad lib. II 9, 1 24 *τῶν ἠμελημένων* AaB *τὸν ἠμελημένον* Ab 25 *γενναῖον* O *γενναίων* c. Kiessling | *ἐξῆγε* om. O praeter B cf. Ambrosch Eclogae Ambrosianae ad D. H. Vratislaviae 1841, 12

Κοίντιον ἀναδεχόμενον αὐτοῦ τὴν παρουσίαν, λαβὼν
καὶ τὴν σὺν ἐκείνῳ δύναμιν ἧκεν ἐπὶ τοὺς πολεμίους.
4 ὡς δὲ κατώπτευσε τὴν τῶν χωρίων φύσιν, ἐν οἷς ἦν
τὰ στρατόπεδα, μέρος μέν τι τῆς στρατιᾶς ἐπὶ τοῖς
μετεώροις ἔταξεν, ὡς μήτε βοήθεια παραγένοιτο τοῖς
Αἰκανοῖς ἑτέρα μήτε τροφαί, τὴν δὲ λοιπὴν δύναμιν
αὐτὸς ἔχων προῆγεν ἐκτεταγμένην ὡς εἰς μάχην. καὶ
ὁ Κοίλιος οὐθὲν ὑποδείσας — ἥ τε γὰρ δύναμις ἡ περὶ
αὐτὸν ἦν οὐκ ὀλίγη, καὶ αὐτὸς ἐδόκει ψυχὴν οὐ κακὸς
εἶναι ⟨κατὰ⟩ τὰ πολέμια — δέχεται αὐτὸν ἐπιόντα, καὶ
5 γίνεται μάχη καρτερά. χρόνου δὲ πολλοῦ διελθόντος καὶ
τῶν Ῥωμαίων διὰ τοὺς συνεχεῖς πολέμους ἀναφερόντων
τὸν πόνον τῶν τε ἱππέων κατὰ τὸ κάμνον μέρος ἀεὶ
ἐπιβοηθούντων τοῖς πεζοῖς ἡσσηθεὶς ὁ Γράγχος κατα-
κλείεται πάλιν εἰς τὸν ἑαυτοῦ χάρακα. καὶ μετὰ τοῦθ'
ὁ Κοίντιος περιταφρεύσας αὐτὸν ὑψηλῷ χάρακι καὶ
πύργοις πυκνοῖς περιλαβών, ἐπεὶ κάμνοντα ἔμαθε τῶν
ἀναγκαίων τῇ σπάνει, αὐτός τε προσβολὰς ἐποιεῖτο 2064
συνεχεῖς πρὸς τὸν χάρακα τῶν Αἰκανῶν καὶ τῷ Μηνυ-
6 κίῳ προσέταξεν ἀπὸ τῶν ἑτέρων ἐξιέναι μερῶν. ὥστε
ἠναγκάσθησαν οἱ Αἰκανοὶ τροφῆς τε ἀπορούμενοι καὶ
συμμάχων βοήθειαν ἀπεγνωκότες πολιορκούμενοί τε
πολλαχόθεν ἱκετηρίας ἀναλαβόντες ἐπιπρεσβεύεσθαι
πρὸς τὸν Κοίντιον περὶ φιλίας [διαλεγόμενοι]. ὁ δὲ
τοῖς μὲν ἄλλοις Αἰκανοῖς ἔφη σπένδεσθαι καὶ διδόναι

1 λαβὼν O παραλαβὼν c. Reiske 2 ἧκεν O ἦγεν c. Reiske 8 δυνάμεις Ba 10 *τὰ πολέμια vel delendum vel καὶ τὰ πολέμια δεινὸς scribendum esse c. Kiessling, ego κατὰ τὰ πολέμια in textum recepi 15 πάλιν om. O praeter B | ἑαυτοῦ] αὐτοῦ B | τοῦτο Κοίντιος O τοῦτο ὁ Κ. Kiessling *τοῦθ' ὁ Κ. ego 20 ἐξιέναι O ἐπιέναι Kiessling 21 οἱ om. B 23 πολλαχόθεν O πανταχόθεν c. Kiessling 24 διαλεγόμενοι O del. Garrer Obs. p. 56 διαλεξόμενοι c. Sylburg

τοῖς σώμασι τὴν ἄδειαν τά τε ὅπλα ἀποθεμένοις καὶ
καθ' ἕνα διεξιοῦσιν ὑπὸ ζυγόν, Γράγχῳ δὲ τῷ ἡγε-
μόνι τῶν πολεμίων καὶ τοῖς σὺν ἐκείνῳ βουλεύσασι
τὴν ἀπόστασιν ὡς πολεμίοις χρήσασθαι, ἐκέλευσέ τε
αὐτοῖς ἄγειν τοὺς ἄνδρας δεδεμένους. ὑπομενόντων 7
δὲ ταῦτα τῶν Αἰκανῶν τελευταῖον αὐτοῖς ἐκεῖνο
προσέταξεν· ἐπειδὴ Τύσκλον πόλιν Ῥωμαίων σύμμαχον
ἐξηνδραποδίσαντο καὶ διήρπασαν οὐδὲν ὑπὸ Τυσκλά-
νων παθόντες κακόν, ἀντιπαρασχεῖν ἑαυτῷ πόλιν τῶν
2055 σφετέρων, Κορβιῶνα, τὰ ὅμοια διαθεῖναι. ταύτας 8
λαβόντες τὰς ἀποκρίσεις οἱ πρέσβεις τῶν Αἰκανῶν
προήεσαν καὶ μετ' οὐ πολὺ παρῆσαν ἄγοντες τὸν
Γράγχον καὶ τοὺς σὺν αὐτῷ δεδεμένους· αὐτοὶ δὲ τὰ
ὅπλα θέντες ἐξέλιπον τὴν παρεμβολὴν διαπορευόμενοι,
καθάπερ ὁ στρατηγὸς ἐκέλευσε, διὰ τοῦ Ῥωμαίων
χάρακος καθ' ἕνα ὑπὸ ζυγόν, καὶ τὴν Κορβιῶνα κατὰ
τὰς ὁμολογίας παρέδοσαν, τὰ ἐλεύθερα σώματα μόνον
ἐξελθεῖν αἰτησάμενοι, περὶ ὧν διήλλαξαν τοὺς Τυσκλά-
νων αἰχμαλώτους.

XXV. Παραλαβὼν δὲ ὁ Κοίντιος τὴν πόλιν τὰ μὲν ἐπιφανέστατα τῶν λαφύρων εἰς Ῥώμην ἐκέλευσε φέρειν, τὰ δ' ἄλλα πάντα διελέσθαι κατὰ λόχους ἐπέτρεψε τοῖς τε σὺν αὐτῷ παραγενομένοις στρατιώταις καὶ τοῖς ἅμα Κοιντίῳ τῷ ταμίᾳ προαποσταλεῖσι. τοῖς δὲ μετὰ Μηνυκίου τοῦ ὑπάτου κατακλεισθεῖσιν

1 *σώμασιν* B *τὴν* ante *ἄδειαν* del. esse c. Kiessling 4 *χρήσασθαι* O *χρήσεσθαι* Sylburg 5 ⟨*ἄγ*⟩*ειν* Bb 7 *τύσκ.λον* B 9 *ἀντιπάσχειν* Ba | *ἑαυτῷ* ABa ///*αυτῷ* Bb 11 *τῶν αἰκανῶν* add. B 12 *προήεσαν* O *ἀπήεσαν* Sylburgio auctore Kiesslingius recepit in textum | *καὶ μετατ" ου* Ba *μετατοῦ* Bb 14 *ἐξέλειπον* Ba 16 *καθ' ἕνα* om. B 18 *περὶ* O *ὑπὲρ* c. Portus 23 *ἑαυτῷ* ABa

ἐν τῷ χάρακι μεγάλην ἔφη δεδωκέναι δωρεὰν τὰ σώ-
2 ματα αὐτῶν ἐκ θανάτου ῥυσάμενος. ταῦτα πράξας
καὶ τὸν Μηνύκιον ἀποθέσθαι τὴν ἀρχὴν ἀναγκάσας
ἀνέστρεψεν εἰς τὴν Ῥώμην καὶ κατήγαγε λαμπρότατον 2056
ἁπάντων ἡγεμόνων θρίαμβον, ἐν ἡμέραις ἑκκαίδεκα
ταῖς πάσαις, ἀφ' ἧς παρέλαβε τὴν ἀρχήν, στρατόπεδόν
τε σώσας φίλιον καὶ πολεμίων δύναμιν ἀκμάζουσαν
καθελὼν πόλιν τε αὐτῶν πορθήσας καὶ φρουρὰν αὐ-
τῆς ὑπολιπὼν τόν τε ἡγεμόνα τοῦ πολέμου καὶ τοὺς
ἄλλους ἐπιφανεῖς ἄνδρας ἁλύσει δεδεμένους ἀγαγών.
3 καὶ ὃ μάλιστα πάντων αὐτοῦ θαυμάζειν ἄξιον, ὅτι
τὴν τοσαύτην ἀρχὴν εἰς ἑξάμηνον εἰληφὼς οὐκ ἐχρή-
σατο παντὶ τῷ νόμῳ, ἀλλὰ συναγαγὼν τὸν δῆμον εἰς
ἐκκλησίαν καὶ περὶ τῶν πεπραγμένων λόγον ἀποδοὺς
ἐξωμόσατο τὴν ἀρχὴν τῆς τε βουλῆς δεομένης γῆν τε
ὅσην ἐβούλετο λαβεῖν ἐκ τῆς δορικτήτου καὶ ἀνδρά-
ποδα καὶ χρήματα ἐκ τῶν λαφύρων ἐπανορθῶσαι τὴν
πενίαν πλούτῳ δικαίῳ, ὃν ἀπὸ πολεμίων κάλλιστον
ἐκτήσατο τοῖς ἰδίοις πόνοις, οὐκ ἠξίωσε, φίλων τε
καὶ συγγενῶν δωρεὰς προσφερόντων μεγάλας καὶ ἀντὶ 2057
παντὸς ἀγαθοῦ τιθεμένων ἐκεῖνον τὸν ἄνδρα εὖ
ποιεῖν, ἐπαινέσας αὐτοὺς τῆς προθυμίας οὐθὲν τῶν
διδομένων ἔλαβεν, ἀλλ' ἀπῆλθε πάλιν εἰς τὸ μικρὸν
ἐκεῖνο χωρίον, καὶ τὸν αὐτουργὸν αὐτοῦ ἀντὶ τοῦ
βασιλικοῦ μετειλήφει βίον, μεῖζον φρονῶν ἐπὶ πενίᾳ
4 ἢ ἄλλοι ἐπὶ πλούτῳ. μετ' οὐ πολὺν δὲ χρόνον καὶ
Ναύτιος, ἅτερος τῶν ὑπάτων, νικήσας Σαβίνους ἐκ

5 ἡγεμόνων O γενόμενον c. Naber Mnem. 30, 253 10 ἀγαγὼν A om. B ἄγων R 11 ὅτι del. Vassis Ἀθηνᾶ tom. VIII 262 13 νόμῳ] χρόνῳ c. Sylburg 17 ἐπανορθῶσαί τε B 24 αὐτοῦ] αὖθις c. Cobet Obs. p. 192 25 μετειλήφει AB μετείληφε R et Kiessling

παρατάξεως καὶ τῆς χώρας αὐτῶν πολλὴν καταδραμὼν
ἀπῆγεν ἐπ' οἴκου τὰς δυνάμεις.
XXVI. Μετὰ δὲ τούτους ὀλυμπιὰς μὲν ἦν ὀγδοη-
κοστὴ καὶ πρώτη, ἣν ἐνίκα στάδιον Πολύμναστος
Κυρηναῖος, Ἀθήνησι δὲ ἄρχων Καλλίας, ἐφ' οὗ τὴν
ὕπατον ἀρχὴν ἐν Ῥώμῃ παρέλαβε Γάιος Ὁράτιος καὶ
Κόιντος Μηνύκιος. ἐπὶ τούτων Σαβῖνοι πάλιν στρα-
τεύσαντες ἐπὶ Ῥωμαίους πολλὴν τῆς χώρας αὐτῶν
ἐδῄωσαν, καὶ ἧκον οἱ φυγόντες ἐκ τῶν ἀγρῶν ἀθρόοι
κρατεῖσθαι πάντα ὑπ' αὐτῶν τὰ μεταξὺ Κρουστομε-
2058 ρείας τε καὶ Φιδήνης λέγοντες. Αἰκανοί τε οἱ νεωστὶ 2
καταπολεμηθέντες ἐν τοῖς ὅπλοις αὖθις ἦσαν· καὶ οἱ
μὲν ἀκμαιότατοι αὐτῶν νυκτὸς ἐλάσαντες ἐπὶ Κορ-
βιῶνα πόλιν, ἣν τῷ παρελθόντι ἐνιαυτῷ Ῥωμαίοις
παρέδοσαν, τήν τε φρουρὰν τὴν ἐν αὐτῇ κοιμωμένην
εὑρόντες κατέσφαξαν πλὴν ὀλίγων, οἳ ἔτυχον ἀφυστε-
ροῦντες, οἱ δὲ λοιποὶ μεγάλῃ χειρὶ στρατεύσαντες ἐπὶ
πόλιν Ὀρτῶνα τοῦ Λατίνων ἔθνους ἐξ ἐφόδου κατα-
λαμβάνονται, καὶ ὅσα Ῥωμαίους οὐχ οἷοί τε ἦσαν
ἐργάσασθαι, ταῦτα δι' ὀργὴν τοὺς συμμάχους αὐτῶν
διέθεσαν. τοὺς μὲν γὰρ ἐν ἥβῃ πάντας, πλὴν εἴ 3
τινες διέφυγον εὐθὺς ἁλισκομένης τῆς πόλεως, ἀπ-
έκτειναν, γυναῖκας δὲ καὶ παῖδας αὐτῶν καὶ τὰ γηραιὰ
τῶν σωμάτων ἠνδραποδίσαντο, καὶ τῶν χρημάτων ὅσα
δύναμις ἦν αὐτοῖς φέρειν συσκευασάμενοι κατὰ σπου-

1 καταδρόμων Ba 6 παρέλαβε/// B παρέλαβε R παρέλαβον Kiessling 14 ἣν ἐν τῷ O praeter B 16 post ἀφυστεροῦντες verba: καὶ τὴν πόλιν κατέσχον αὐτοὶ intercidisse Sintenis Em. Dion. III 9 conicit, cum τε nihil habeat cui respondeat 18 πόλιν βιρτῶνα A πόλιν ... βοτῶνα Bb πόλιν ... ρτῶνα Ba βιρτῶνα Lapus lib. VIII 91, 1 et hic cum Sylburgio vulgo Ὀρτῶνα legitur 21 γὰρ om. B 22 εὐθὺς om. A

δήν, πρὶν ἅπαντας ἐπιβοηθῆσαι Λατίνους, ἀνέστρεψαν.
4 τούτων δὲ ἅμα προσαγγελλομένων ὑπό τε Λατίνων 2059
καὶ τῶν ἐκ τῆς φρουρᾶς διασωθέντων ἡ μὲν βουλὴ
στρατιὰν ἐκπέμπειν ἐψηφίσατο καὶ τοὺς ὑπάτους ἀμ-
φοτέρους πορεύεσθαι· οἱ δὲ περὶ τὸν Οὐεργίνιον
δήμαρχοι πέμπτον ἔτος ἐπὶ τῆς αὐτῆς ὄντες ἐξουσίας
ἐκώλυον, ὥσπερ καὶ ἐν τοῖς πρότερον ἐποίουν ἔτεσιν,
ἐνιστάμενοι ταῖς στρατολογίαις τῶν ὑπάτων, τὸν ἐντὸς
τείχους πρῶτον ἀξιοῦντες καταλυθῆναι πόλεμον ἀπο-
δοθείσης τῷ δήμῳ τῆς περὶ τοῦ νόμου διαγνώσεως,
ὃν ὑπὲρ τῆς ἰσηγορίας εἰσέφερον, ὅ τε δῆμος αὐτοῖς
συνελάμβανε πολλοὺς κατὰ τῆς βουλῆς καὶ ἐπιφθόνους
5 διεξιοῦσι λόγους. ἑλκομένου δὲ τοῦ χρόνου καὶ οὔτε
τῶν ὑπάτων ὑπομενόντων προβουλεῦσαί τε καὶ εἰς
τὸν δῆμον ἐξενεγκεῖν τὸν νόμον, οὔτε τῶν δημάρχων
συγχωρῆσαι βουλομένων τὴν καταγραφὴν καὶ τὴν
ἔξοδον τῆς στρατιᾶς γενέσθαι, λόγων τε πολλῶν καὶ
κατηγοριῶν, ἃς ἐποιοῦντο κατ' ἀλλήλων ἔν τε ταῖς
ἐκκλησίαις καὶ ἐπὶ τῆς βουλῆς μάτην ἀναλισκομένων, 2060
ἑτέρα τις εἰσαχθεῖσα ὑπὸ τῶν δημάρχων ἐπὶ τῇ βουλῇ
πολιτεία καὶ παρακρουσαμένη τὸ συνέδριον, τὴν μὲν
τότε κατέχουσαν στάσιν ἐπράυνεν, ἑτέρων δὲ πολλῶν
καὶ μεγάλων ἐγένετο πλεονεκτημάτων αἰτία τῷ δήμῳ.
διηγήσομαι δὲ καὶ ταύτην τὴν δυναστείαν ὃν τρόπον
ὁ δῆμος ἔλαβε.

XXVII. Φθειρομένης καὶ διαρπαζομένης τῆς τε Ῥωμαίων καὶ τῶν συμμάχων γῆς, καὶ τῶν πολεμίων ὡς δι' ἐρημίας ἐλαυνόντων κατ' ἐλπίδα τοῦ μηδεμίαν

1 ἀνέστρεψαν om. ABa 2 συναγγελλομένων A 4 ἐκ-πέμψειν A 23 μεγάλων πλεονεκτημάτων αἰτία τοῦ δήμου γέγονε A 26 φθειρομένης] φερομένης A cf. Cobet Obs. p. 16

ἐπ' αὐτοὺς ἐξελεύσεσθαι δύναμιν διὰ τὴν κατέχουσαν
ἐν τῇ πόλει στάσιν, οἱ μὲν ὕπατοι τὴν βουλὴν συν-
ήγαγον, ὡς περὶ τῶν ὅλων ἔσχατον τοῦτο βουλευσό-
μενοι. ῥηθέντων δὲ πολλῶν λόγων πρῶτος ἐρωτηθεὶς 2
γνώμην Λεύκιος Κοίντιος, ὁ τῷ παρελθόντι γενόμενος
ἔτει δικτάτωρ, ἀνὴρ οὐ μόνον τὰ πολέμια δεινότατος
τῶν καθ' ἑαυτόν, ἀλλὰ καὶ τὰ πολιτικὰ δοκῶν εἶναι
φρονιμώτατος, γνώμην ἀπεφήνατο ⟨τήνδε⟩· μάλιστα
2061 μὲν πείθειν τούς τε δημάρχους καὶ τοὺς ἄλλους πολί-
τας τὴν μὲν ὑπὲρ τοῦ νόμου διάγνωσιν οὐθὲν ἐν τῷ
παρόντι κατεπείγουσαν εἰς ἑτέρους ἀναβαλέσθαι και-
ροὺς ἐπιτηδειοτέρους, τὸν δ' ἐν χερσὶν ὄντα καὶ ὅσον
οὔπω τῇ πόλει πλησιάζοντα πόλεμον ἄρασθαι πάσῃ
προθυμίᾳ, καὶ μὴ περιιδεῖν τὴν μετὰ πολλῶν κτηθεῖ-
σαν ἡγεμονίαν πόνων αἰσχρῶς καὶ ἀνάνδρως ἀπο-
λομένην. ἐὰν δὲ μὴ πείθηται ὁ δῆμος, τοὺς πατρι- 3
κίους ἅμα τοῖς πελάταις καθοπλισαμένους τῶν τ'
ἄλλων πολιτῶν παραλαβόντας, οἷς ἦν ἑκοῦσι συν-
άρασθαι τοῦ καλλίστου ⟨ὑπὲρ⟩ τῆς πατρίδος ἀγῶνος,
χωρεῖν προθύμως ἐπὶ τὸν πόλεμον θεούς, ὅσοι φυλάτ-
τουσι τὴν Ῥωμαίων πόλιν, ἡγεμόνας τῆς ἐξόδου ποιη-
σαμένους. συμβήσεσθαι γὰρ αὐτοῖς δυεῖν καλῶν ἔργων 4
καὶ δικαίων θάτερον, ἢ νίκην ἐξενέγκασθαι πασῶν
ὧν αὐτοί ποτε ἢ οἱ πατέρες ἐξηνέγκαντο λαμπροτάτην,

3 βουλευόμενοι AB βουλευσόμενοι R 7 δοκεῖν O praeter B 8 *ἀπεφήνατο μάλιστα ABa ἀ. ἐν ᾗ μάλιστα Bb; in ἐν ᾗ exitum participii ut [πᾶσι κεχαρισμ]ένην latere Kiesslingius suspicatur, nisi ut a correctore fictum deleas; τήνδε ego addidi quod e. gratia IX 49, 3 exstat 9 πείθειν A πείθει B ν litt. erasa 11 ἀναβάλλεσθαι Ba 13 πλησιάσοντα c. Stephanus | αἴρασθαι Ba 15 ἀπολομένην] ἀπολλυμένην c. Naber Mnem. 30, 254 19 ὑπὲρ add. Reiske

ἢ περὶ τῶν ἐν αὐτῇ καλῶν εὐψύχως ἀγωνιζομένοις
ἀποθανεῖν. ταύτης μέντοι τῆς καλῆς πείρας οὔτ' αὐτὸς
ἀπολείψεσθαι ἔφη, ἀλλ' ἐν ἴσῳ τοῖς κράτιστα ἐρρωμένοις
παρὼν ἀγωνιεῖσθαι, οὔτε τῶν ἄλλων τινὰ πρεσβυτέρων, 2062
οἷς ἐστιν ἐλευθερίας τε καὶ δόξης ἀγαθῆς λόγος.

XXVIII. Ὡς δὲ καὶ τοῖς ἄλλοις ἅπασι ταῦτ' ἐδό-
κει, καὶ οὐθεὶς ἦν ὁ τἀναντία ἐρῶν, οἱ μὲν ὕπατοι
τὸν δῆμον εἰς ἐκκλησίαν συνεκάλουν. συνελθόντος δ'
ὡς ἐπὶ καινοῖς ἀκούσμασι παντὸς τοῦ κατὰ τὴν πόλιν
ὄχλου παρελθὼν ἅτερος τῶν ὑπάτων Γάιος Ὁράτιος
ἐπειρᾶτο πείθειν τοὺς δημοτικοὺς ἑκόντας ὑπομεῖναι
καὶ ταύτην τὴν στρατείαν. ἀντιλεγόντων δὲ τῶν
δημάρχων καὶ τοῦ δήμου προσέχοντος αὐτοῖς τὸν
2 νοῦν παρελθὼν πάλιν ὁ ὕπατος εἶπε· Καλὸν ⟨γ'⟩, ὦ
Οὐεργίνιε, καὶ θαυμαστὸν ἔργον ἐξειργάσασθε δια-
σπάσαντες ἀπὸ τῆς βουλῆς τὸν δῆμον· καὶ τὸ μὲν
ἐφ' ὑμῖν εἶναι μέρος πάντ' ἀπολωλέκαμεν, ὅσα παρὰ
τῶν προγόνων παραλαβόντες ἢ τοῖς ἑαυτῶν πόνοις
3 κτησάμενοι κατέσχομεν [ἀγαθά]. οὐ μὴν ἡμεῖς γ' ἀκο-
νιτὶ μεθησόμεθα αὐτῶν, ἀλλ' ἀναλαβόντες τὰ ὅπλα
μετὰ τῶν βουλομένων σῴζεσθαι τὴν πατρίδα χωρή- 2063
σομεν ἐπὶ τὸν ἀγῶνα τὰς ἀγαθὰς προβαλλόμενοι τῶν
ἔργων ἐλπίδας· καὶ εἴ τις ἄρα θεὸς ἐπισκοπεῖ τοὺς
καλοὺς καὶ δικαίους ἀγῶνας, καὶ ἡ τὴν πόλιν τήνδε

1 *ἐν αὐτῇ* vix sana esse Kiesslingius censet, *ἐπ' αὐτῇ* c. Kayser Ann. phil. 1870 p. 723   3 *ἀπολήψεσθαι* Ba *ἀπολελείψεσθαι* c. Reiske | *ἔφη*] cf. Büttner-Wobst Berl. phil. Wochenschrift 1892 p. 747 sqq.   8 *συνελθόντ⟨ος⟩* Bb   11 *ὑπομεῖναι τὸ κατὰ τὴν στρατείαν* A   14 *καλόν, ὦ Οὐεργίνιε* B *καλόν Οὐεργίνιε* R *καλόν γ' ὦ Οὐεργίνιε* Cobet Obs. p. 198   19 *τἀγαθὰ* B *ἀγαθὰ* R delendum esse c. Garrer Obs. p. 62 cf. Hertlein Hermes X 420   24 *ἡ* deest in edit. Parisin.

αὔξουσα ἐκ πολλοῦ τύχη μήπω προλέλοιπεν αὐτήν,
κρείττους τῶν ἐχθρῶν ἐσόμεθα· εἰ δέ τις ἄρα ἐνέστηκε
δαίμων καὶ ἐναντιοῦται τῇ σωτηρίᾳ τῆς πόλεως, οὔτοι
τό γ' ἐν ἡμῖν εὔνουν καὶ πρόθυμον ἀπολεῖται, ἀλλὰ
τὸν ἁπάντων κράτιστον θάνατον αἱρησόμεθα περὶ τῆς
πατρίδος. ὑμεῖς δὲ αὐτοῦ μένοντες οἰκουρεῖτε ἅμα 4
ταῖς γυναιξίν, ὦ καλοὶ καὶ γενναῖοι προστάται τῆς
πόλεως, ἐγκαταλιπόντες, μᾶλλον δὲ προδόντες ἡμᾶς,
οἷς οὔτ' ἂν νικήσωμεν ἡμεῖς ὁ βίος ἔσται καλός, οὔτ'
ἂν ἄλλως χωρήσῃ τὰ καθ' ἡμᾶς ἀσφαλής· εἰ μὴ ἄρα 5
2064 ἐκείνῃ τῇ ψυχρᾷ ἐλπίδι ἐπαίρεσθε, ὡς διαφθαρέντων
τῶν πατρικίων ὑμᾶς ἐάσουσιν οἱ πολέμιοι ταύτην
ὑπολογιζόμενοι τὴν εὐεργεσίαν, καὶ συγχωρήσουσιν
ὑμῖν τὴν πατρίδα καὶ τὴν ἐλευθερίαν καὶ τὴν ἡγε-
μονίαν καὶ πάντα τἆλλα ἀγαθά, ὅσα νῦν ἔχετε, καρ-
ποῦσθαι, ὧν ὑμεῖς ὅτε τὰ ἄριστα ἐφρονεῖτε πολλὴν
μὲν γῆν ἀπετέμεσθε, πολλὰς δὲ πόλεις ἐξανδραποδισά-
μενοι κατεσκάψατε, πολλὰ δὲ καὶ μεγάλα καὶ οὐδ'
ὑπὸ τοῦ παντὸς αἰῶνος ἀφανισθησόμενα τρόπαια καὶ
μνημεῖα τῆς ἔχθρας ἀνεστήσατε. ἀλλὰ τί τῷ δήμῳ 6
ταῦτ' ἐπιτιμῶ, ὃς οὐδέποτε πονηρὸς ἑκὼν ἐγένετο,
μᾶλλον ἢ οὐχ ὑμῖν, ὦ Οὐεργίνιε, τοῖς τὰ καλὰ ταῦτα
πολιτευομένοις; ἡμῖν μὲν οὖν, οἷς ἀνάγκη μηδὲν τα-
πεινὸν φρονεῖν, δέδοκταί τε καὶ οὐθὲν ἔσται τὸ κωλύ-
σον ἄρασθαι τὸν ὑπὲρ τῆς πατρίδος ἀγῶνα, ὑμῖν δὲ
τοῖς ἐγκαταλιποῦσι καὶ προδοῦσι τὸ κοινὸν ἥξει δίκη

1 ἐκ πολλοῦ χρόνου O praeter B | τύχη εἰ μήπω Bb 5 τὸν περὶ πατρίδος c. Kiessling περὶ] ὑπὲρ falso Cobet Obs. p. 193 8 ἐγκαταλ⟨ι⟩πόντες Bb 9 ἡμεῖς add. B | ὁ βίος A βίος B ὁ βίος ἡμῶν ἔσται A βίος ἔσται B 10 ἄρα] cf. Jacoby, Aar. Progr. 1874, 9 23 ταπειν⟨ὸν⟩ Bb 25 ἄρασθαι corr. ex αἴρασθαι Bb 26 ἐγκαταλιποῦσι Bb ἐγκαταλείπουσι R | προδιδοῦσι O προδοῦσι Cobet Obs. p. 193

τιμωρὸς οὐ μεμπτὴ παρὰ θεῶν, ἐὰν ἄρα διαφύγητε
7 τὴν παρ' ἀνθρώπων κόλασιν. ἀλλ' οὐδὲ ταύτην δια-
φεύξεσθε· καὶ μή με δεδίττεσθαι ὑπολάβητε, ἀλλ' εὖ 2065
ἴστε, ὅτι οἱ καταλειφθέντες ἡμῶν ἐνθάδε φύλακες τῆς
πόλεως, ἐὰν κρείττω τὰ τῶν ἐχθρῶν γένηται, φρονή-
σουσιν ἃ προσῆκεν αὐτοῖς φρονεῖν. οὐ γὰρ ἤδη βαρ-
βάροις μέν τισιν ἁλισκομένοις ὑπὸ τῶν πολεμίων εἰς
νοῦν ἦλθε μήτε γυναικῶν αὐτοῖς παραχωρῆσαι μήτε
παίδων μήτε πόλεων, ἀλλὰ τὰς μὲν ἐμπρῆσαι, τὰς δὲ
8 κατασφάξαι, Ῥωμαίοις δ' ἄρα, οἷς ἑτέρων ἄρχειν
πάτριόν ἐστιν, οὐ παραστήσεται ταῦτα περὶ ἑαυτῶν
φρονεῖν; οὐχ οὕτως ἀγεννεῖς ἔσονται, ἀλλ' ἀφ' ὑμῶν
τῶν ἐχθίστων ἀρξάμενοι τότε χωρήσουσι πρὸς τὰ
φίλια. πρὸς ταῦτα ὁρῶντες ἐκκλησιάζετε καὶ νόμους
εἰσφέρετε καινούς.

XXVIIII. Ταῦτα καὶ πολλὰ τούτοις ὅμοια εἰπὼν
παρεστήσατο τοὺς πρεσβυτάτους τῶν πατρικίων κλαί-
οντας, οὓς ἰδόντες πολλοὶ τῶν δημοτικῶν οὐδ' αὐτοὶ
κατέχειν τὰ δάκρυα ἐδύναντο. γενομένης δὲ πολλῆς
συμπαθείας πρός τε τὰς ἡλικίας τῶν ἀνδρῶν καὶ πρὸς 2066
2 τὰς ἀξίας μικρὸν ἐπισχὼν ὁ ὕπατος· Οὐκ αἰσχύνεσθε,
ἔφησεν, ὦ πολῖται, οὐδὲ κατὰ γῆς δύεσθε, εἰ οἵδε οἱ
γέροντες ὑπὲρ ὑμῶν τῶν νέων τὰ ὅπλα ἀναλήψονται,
ἀλλ' ὑπομενεῖτε ἀπολειφθῆναι τούτων ἡγουμένων, οὓς
ἀεὶ πατέρας ἐκαλεῖτε; ὦ σχέτλιοι ὑμεῖς καὶ οὐδὲ πολῖ-

2 ταύτην γε διαφεύξεσθε A  4 ἴστ⟨ε⟩ Bb  6 προσῆκεν] προσήκει stulte Hertlein Hermes X 414 | οὐ γὰρ δὴ c. Kiessling  7 τισιν O errato typographico apud Kiesslingium exstat τισι  9 πόλεων] πολιτῶν A | τὰς δὲ A τὰ δὲ B τοὺς δὲ c. Sylburg  11 ταῦτα cf. Grasberger Tess. Herbip. p. 32  14 ὁρῶντες del. Cobet Nov. Lect. p. 272; Obs. p. 194  24 ἀπο-ληφθῆναι Ba

ται ταύτης ἄξιοι λέγεσθαι τῆς γῆς, ἣν ἔκτισαν οἱ τοὺς
πατέρας ἐπὶ τῶν ὤμων ἐνέγκαντες, οἷς καὶ δι' ὅπλων
καὶ διὰ πυρὸς ὁδοὺς ἀσφαλεῖς θεοὶ παρέσχον. Ὡς δὲ 3
κατέμαθεν ὁ Οὐεργίνιος ἀγόμενον τὸν δῆμον ὑπὸ τῶν
λόγων, δεδοικώς, μὴ παρὰ τὴν ἑαυτοῦ γνώμην κοι-
νωνεῖν ὑπομείνῃ τοῦ πολέμου, παρελθὼν εἶπεν· Ἡμεῖς
οὔτ' ἐγκαταλείπομεν οὔτε προδίδομεν ὑμᾶς, ὦ πατέρες,
2067 οὐδ' ἂν ἀπολειφθείημεν ὑμῶν, ὥσπερ οὐδὲ πρότερον
ἠξιώσαμεν οὐδεμιᾶς ἀπολειφθῆναι στρατείας, ἀλλὰ καὶ
ζῆν αἱρούμεθα σὺν ὑμῖν καὶ πάσχειν, ὅ τι ἂν τῷ
δαίμονι δοκῇ, μεθ' ὑμῶν. πρόθυμοι δ' ἐν παντὶ καιρῷ 4
περὶ ὑμᾶς γεγονότες ἀξιοῦμεν μετρίας παρ' ὑμῶν
τυχεῖν χάριτος, ὥσπερ τῶν κοινῶν κινδύνων ἰσομοι-
ροῦμεν ὑμῖν, οὕτως καὶ τῶν δικαίων τὸ ἴσον ἔχειν,
νόμους καταστησάμενοι φύλακας τῆς ἐλευθερίας, οἷς
ἅπαντες ἀεὶ χρησόμεθα. εἰ δὲ προσίσταται τοῦθ' 5
ὑμῖν, καὶ οὐκ ἀξιοῦτε τοῖς ἑαυτῶν πολίταις ταύτην
συγχωρῆσαι τὴν χάριν, ἀλλὰ θανάτου τιμᾶσθε τὸ
μεταδοῦναι τῷ δήμῳ τῆς ἰσηγορίας, οὐκέτι φιλονεικοῦ-
μεν ὑμῖν· αἰτησόμεθα δ' ἑτέραν παρ' ὑμῶν χάριν, ἧς
τυχόντες ἴσως ἂν οὐδὲ καινῶν ἔτι δεηθείημεν νόμων.
εἰσέρχεται δ' ἡμᾶς εὐλάβεια, μή ποτε οὐδὲ ταύτης
τύχωμεν, ἐξ ἧς τῇ βουλῇ μὲν οὐδὲν ἔσται βλάβος, τῷ
δὲ δήμῳ τιμή τις ὑπάρξει καὶ φιλανθρωπία.

2068 XXX. Εἰπόντος δὲ τοῦ ὑπάτου, ὅτι τοῦτο τὸ
πολίτευμα τῇ βουλῇ συγχωροῦντες οὐθενὸς ἄλλου
ἁμαρτήσονται τῶν μετρίων, καὶ κελεύοντος λέγειν

1 λέγεσθαι add. B 4 ὁ om. AB 12 ἀξιοῦμεν A ἠξιοῦ-
μεν B 15 καταστησαμένοις c. Kiessling | φύλακας om. A
16 προίσταται Ba 18 τῶ μεταδοῦναι Ba 19 φιλον⟨ι⟩κοῦ-
μεν Ba

ὅτου δέονται, ὀλίγα διαλεχθεὶς τοῖς συνάρχουσιν ὁ
2 Οὐεργίνιος, ἐπὶ τῆς βουλῆς ἔφησεν ἐρεῖν. καὶ μετὰ
ταῦτα συναγαγόντων τὸ συνέδριον τῶν ὑπάτων παρ-
ελθὼν καὶ τὰ δίκαια τοῦ δήμου πρὸς τὴν βουλὴν
ἅπαντα εἰσενεγκάμενος ᾐτήσατο διπλασιασθῆναι τὴν
ἀρχὴν τὴν προισταμένην τοῦ δήμου, καὶ ἀντὶ τῶν
πέντε δημάρχων δέκα εἰς ἕκαστον ἐνιαυτὸν ἀποδείκνυ-
σθαι. τοῦτο οἱ μὲν ἄλλοι βλάβην οὐδεμίαν ᾤοντο
τῷ κοινῷ φέρειν, ἀλλὰ διδόναι καὶ μὴ ἀντιπράττειν
παρῄνουν, ἄρχοντος τῆς γνώμης Λευκίου Κοιντίου,
3 τοῦ τότε μέγιστον ἔχοντος ἐν τῇ βουλῇ κράτος. εἷς
δὲ μόνος ἀντέλεγε Γάιος Κλαύδιος, υἱὸς Ἀππίου
Κλαυδίου, τοῦ παρὰ πάντα τὸν χρόνον τοῖς εἰσηγή-
μασι τῶν δημοτικῶν, εἴ τινα μὴ νόμιμα ἦν, ἐναντιω- 2069
θέντος, διαδεδεγμένος τὰ πολιτεύματα τοῦ πατρός,
καὶ ὅτ' αὐτὸς εἶχε τὴν ὕπατον ἀρχὴν κωλύσας δοθῆ-
ναι τοῖς δημάρχοις τὴν κατὰ τῶν ἱππέων τῶν ἐπὶ τῇ
συνωμοσίᾳ διαβαλλομένων ἐξέτασιν, καὶ μακρὸν δι-
εξελθὼν λόγον ἐδίδασκεν, ὅτι μετριώτερος μὲν ὁ δῆ-
μος οὐδὲν οὐδὲ χρηστότερος ἔσται διπλασιασθείσης
4 αὐτῷ τῆς ἀρχῆς, ἀνοητότερος δὲ καὶ βαρύτερος. οὐ
γὰρ ἐπὶ ῥητοῖς τισι παραλήψεσθαι τὴν ἀρχὴν τοὺς
ὕστερον ἀποδειχθησομένους, ὥστε μένειν ἐπὶ τοῖς
καθεστηκόσιν, ἀλλὰ καὶ τὸν περὶ τῆς κληρουχίας αὖ-
θις προθήσειν λόγον καὶ τὸν ὑπὲρ τῆς ἰσοτιμίας, καὶ

5 εἰσενεγκάμενος A ἐνεγκάμενος B εἰς ἓν συνενεγκάμενος c. Reiske, quam emendationem Cobet Obs. p. 194 probat 10 παρήνου Ba 11 ἔχοντ<ος> Bb 17 τῶν ἐν τῇ O τῶν ἐπὶ τῇ Sylburg 18 μακρ<ὸ>ν Bb 20 οὐδὲν οὐδὲ O cf. Sintenis Em. Dionys. I 22 25 προθήσειν B προσθήσειν R | λόγον] νόμον verbis X 35, 5 collatis c. Cobet Obs. p. 194, sed λόγον προτιθέναι idem valere atque auf die Tagesordnung setzen constat; cf. Herodot VIII 59 | ἰσοτιμίας] ἰσονομίας Cobet l. l.,

πάντας ἑξῆς ζητήσειν, ὅ τι λέγοντες ἢ πράττοντες τὸ
μὲν τοῦ δήμου κράτος αὐξήσουσι, τὰς δὲ τῆς βουλῆς
τιμὰς καταλύσουσι. καὶ σφόδρα ἐκίνησε τοὺς πολλοὺς
ὁ λόγος. ἔπειτα μετήγαγεν αὐτοὺς ὁ Κοίντιος διδά- 5
σκων, ὅτι πρὸς τῆς βουλῆς ἐστι τὸ πολλοὺς εἶναι τοῦ
2070 δήμου προστάτας. ἧττον γὰρ ὁμονοήσειν τοὺς πλείους
τῶν ἐλαττόνων, μίαν δὲ βοήθειαν εἶναι τοῖς κοινοῖς,
ἣν Ἄππιον Κλαύδιον τὸν Γαΐου πατέρα πρῶτον ἰδεῖν,
ἐὰν στασιάζῃ τὸ ἀρχεῖον καὶ μὴ πᾶσι τὸ αὐτὸ δοκῇ.
ἐδόκει τε δὴ ταῦτα καὶ γίνεται δόγμα βουλῆς· ἐξεῖναι 6
τῷ δήμῳ δέκα δημάρχους καθ' ἕκαστον ἐνιαυτὸν ἀπο-
δεικνύναι, τῶν δὲ τότε ὄντων ἐν ἀρχῇ μηθένα. τοῦτο
τὸ προβούλευμα οἱ περὶ τὸν Οὐεργίνιον λαβόντες
ἐξήνεγκαν καὶ κυρώσαντες τὸν ἐπ' αὐτῷ γραφέντα
νόμον δέκα δημάρχους εἰς τὸν ἐπιόντα ἐνιαυτὸν ἀπ-
έδειξαν. παυσαμένης δὲ τῆς στάσεως καταγράψαντες 7
τὰς δυνάμεις οἱ ὕπατοι διεκληρώσαντο τὰς ἐξόδους·
Μηνυκίῳ μὲν οὖν ὁ κατὰ Σαβίνων πόλεμος ἐδόθη,
Ὁρατίῳ δὲ ὁ κατ' Αἰκανῶν, καὶ κατὰ σπουδὴν ἐξῄεσαν
2071 ἀμφότεροι. Σαβῖνοι μὲν οὖν τὰς πόλεις διὰ φυλακῆς
ἔχοντες ὑπερεῖδον ἀγομένων τε καὶ φερομένων ἁπάν-
των τῶν κατὰ τοὺς ἀγρούς, Αἰκανοὶ δὲ τὴν ἐναντιωσο-
μένην Ῥωμαίοις δύναμιν ἀπέστειλαν. ἀγωνισάμενοι 8
δὲ λαμπρῶς οὐχ οἷοί τε ἐγένοντο τὴν Ῥωμαίων ὑπερ-
βαλέσθαι δύναμιν, ἀλλ' ἠναγκάσθησαν εἰς τὰς πόλεις
ἀπελθεῖν ἀποβαλόντες τὸ πολίχνιον, ὑπὲρ οὗ τὸν
ἀγῶνα ἐποιοῦντο. Ὁράτιος δὲ τρεψάμενος τοὺς πολε-

sed cf. verba v. 2 τὰς τῆς βουλῆς τιμάς. 6 πλείστους O πλείους Sylburg 9 ἄρχον O ἀρχεῖον Sylburg 13 τὸ om. O praeter B 14 ἐξήνεγκαν καὶ κυρώσαντες om. edit. Parisin. 18 οὖν del. Reiske 19 κατὰ O 24 ὑπερβαλλέσθαι Ba 25 ἠναγκάσθησαν φυγεῖν εἰς τὴν πόλιν A et Elbingensis

μίους καὶ πολλὰ τῆς χώρας αὐτῶν κακώσας τοῦ τε Κορβιῶνος τὰ τείχη κατασπάσας καὶ τὰς οἰκήσεις ἐκ θεμελίων ἀνελὼν ἀπῆγε τὴν δύναμιν ἐπ' οἴκου.

XXXI. Τῷ δ' ἑξῆς ἔτει Μάρκου Οὐαλερίου καὶ Σπορίου Οὐεργινίου τὴν ὑπατείαν ἐχόντων στρατιὰ μὲν ὑπερόριος οὐδεμία ἐξῆλθε Ῥωμαίων, πολιτικὰ δέ τινα προσκρούσματα τοῖς δημάρχοις πρὸς τοὺς ὑπάτους συνέστη πάλιν, ἐξ ὧν ἔσχον οἱ δήμαρχοι παρασπάσαντές τι τῆς ὑπατικῆς δυναστείας. τὸν μὲν γὰρ ἔμπροσθεν χρόνον ἐκκλησίας μόνον ἦσαν οἱ δήμαρχοι κύριοι, βουλὴν δὲ συνάγειν ἢ γνώμην ἀγορεύειν οὐκ 2072
ἐξῆν αὐτοῖς, ἀλλ' ἦν τῶν ὑπάτων τοῦτο τὸ γέρας.
2 οἱ δὲ τότε δήμαρχοι πρῶτοι συγκαλεῖν ἐπεβάλοντο τὴν βουλὴν Ἰκιλλίου τὴν πεῖραν εἰσηγησαμένου, ὃς ἡγεῖτο μὲν τοῦ ἀρχείου, δραστήριος δέ τις ἦν ἀνὴρ καὶ ὡς Ῥωμαῖος εἰπεῖν οὐκ ἀδύνατος. εἰσέφερε γάρ τι καὶ οὗτος πολίτευμα καινὸν ἀξιῶν ἀπομερισθῆναι τοῖς δημόταις τόπον εἰς οἰκιῶν κατασκευὰς τὸν καλούμενον Αὐεντῖνον. ἔστι δὲ λόφος ὑψηλὸς ἐπιεικῶς, οὐκ ἐλάττων ἢ δώδεκα σταδίων τὴν περίμετρον, ἐμπεριεχόμενος τῇ πόλει, ὃς οὐχ ἅπας τότε ᾤκεῖτο, ἀλλ'
3 ἦν δημόσιός τε καὶ ὕλης ἀνάπλεως. τοῦτο τὸ πολίτευμα εἰσάγων ὁ δήμαρχος τοῖς τότε ὑπάτοις καὶ τῇ βουλῇ προσήει δεόμενος τὸν ἐπ' αὐτῷ γραφέντα νόμον προβουλεῦσαί τε καὶ εἰς τὸν δῆμον ἐξενεγκεῖν. ἀνα-

1 πολλὰ τῆς χώρας O πολλὴν τῆς χώρας c. Grasberger Philologus 28 (1869) 347 cf. Observ. meas p. 332 seq. 2 κατασπάσας] κατασκάψας falso c. Naber Mnem. 30, 254 5 ου in οὐεργινίου add. Bb 7 τινα add. B | προσκρούσματα B προσκρούματα R cf. Lobeck ad Aiac. p. 269[3] 8 ἐξ ὧν πλέον ἔσχον c. Reiske quod Kiesslingius falso in textum recepit 10 ἔμπροσθε Ba 13 πρῶτοι O 16 ὡς om. A | Ῥωμαίοις ABa 21 ᾤκεῖτο B ᾤκητο R 24 ἐν αὐτῷ O praeter B

βαλλομένων δὲ καὶ παρελκόντων τῶν ὑπάτων τὸν
2073 χρόνον πέμψας τὸν ὑπηρέτην ὡς αὐτοὺς ἐκέλευσεν
ἐπὶ τὴν ἀρχὴν ἀκολουθεῖν καὶ τὴν βουλὴν συγκαλεῖν.
ἐπεὶ δὲ τῶν ῥαβδούχων τις ἀπήλασε τὸν ὑπηρέτην
κελευσθεὶς ὑπὸ τῶν ὑπάτων, ἀγανακτήσας ὁ Ἰκίλλιος
καὶ οἱ συνάρχοντες αὐτοῦ, συνέλαβον τὸν ῥαβδοῦχον
καὶ ἀπῆγον ὡς ῥίψοντες κατὰ τῆς πέτρας. οἱ δὲ 4
ὕπατοι βιάσασθαι μὲν ἢ τὸν ἀγόμενον ἀφελέσθαι, καί-
τοι δεινὰ δοκοῦντες ὑβρίσθαι, ἀδύνατοι ἦσαν, ἐπεκα-
λοῦντο δὲ τὴν ἐκ τῶν ἄλλων δημάρχων βοήθειαν.
οὐθὲν γὰρ τῶν πραττομένων ὑπὸ τῆς ἀρχῆς ἐκείνης
ἐπισχεῖν ἢ κωλῦσαι τῶν ἄλλων τινὶ ἔξεστιν, ἀλλ'
ἑτέρου δημάρχου τοῦτ' ἐστὶ τὸ κράτος. τοῖς δ' ἄρα 5
πᾶσιν ἦν ταῦτα κατ' ἀρχὰς δεδογμένα μήτ' εἰσηγήσα-
σθαί τινα καινὸν πολίτευμα μηθὲν ἐφ' ἑαυτοῦ βαλό-
μενον, ἐὰν μὴ πᾶσι τὸ αὐτὸ δοκῇ, μήτε ἐναντιωθῆναί
τινα τοῖς πραττομένοις, ὅσ' ἂν αἱ πλείους γνῶμαι
2074 δοκιμάσωσι· καὶ περὶ τούτων εὐθὺς ἅμα τῷ παρα-
λαβεῖν τὴν ἀρχὴν ἱερὰ θύσαντες ὅρκους ἔδοσαν ἀλλή-
λοις· οὕτως οἰόμενοι μάλιστα τὸ τῆς δημαρχίας ἀκατά-
λυτον ἔσεσθαι κράτος, ἐὰν τὸ στασιάζον ἐξ αὐτῆς
ἀναιρεθῇ. τοῦτο δὴ φυλάττοντες τὸ συνωμόσιον εἶπον 6
ἀπάγεσθαι τὸν φύλακα τῆς ἀρχῆς τῶν ὑπάτων, κοινὴν
ἁπάντων εἶναι λέγοντες τὴν γνώμην, οὐ μὴν διέμεινάν
γ' ἐπὶ τῆς ὀργῆς, ἀλλὰ τοῖς πρεσβυτάτοις τῶν ἐκ τοῦ

5 ὑπὸ τῶν ὑπάτων om. O praeter B 7 ῥίψαντες Ba 9 δεινὰ ὑβρίσθαι δοκοῦντες B 15 ἐφ' ἑαυτῷ βουλόμενον A ἐφ' ἑαυτῷ βαλόμενον B ἐφ' ἑ. ἐπιβαλόμενον c. Kiessling ἐφ' ἑαυτοῦ βαλόμενον rectissime Kayser Ann. phil. 1870, 718 17 ἀλλ' ὃ ἂν A ὃ γὰρ ἂν B ὅπερ ἂν Kiessling ἅπερ ἂν c. Kayser Ann. phil. 1870, 723 *ὅσ' ἂν ego; post δοκιμάσωσι addunt O praeter AB τοῦτ' εἶναι κύριον 21 κράτος] θράσος A

συνεδρίου παραιτουμένοις τὸν ἄνδρα ἀφῆκαν, τόν τε φθόνον ὑφορώμενοι τοῦ πράγματος, ὅτι πρῶτοι ἔμελλον θανάτῳ ζημιῶσαι τὸν ἄνδρα τὸ κελευσθὲν ὑπὸ τῶν ἀρχόντων ποιήσαντα, καὶ δεδοικότες, μὴ ἀπὸ ταύτης τῆς προφάσεως εἰς ἀπόνοιαν ἀναγκασθῶσιν οἱ πατρίκιοι τραπέσθαι.

XXXII. Μετὰ τοῦτο τὸ ἔργον συναχθείσης τῆς
βουλῆς οἱ μὲν ὕπατοι κατηγορίαν πολλὴν τῶν δημάρ-
χων ἐποιήσαντο· παραλαβὼν δὲ τὸν λόγον ὁ Ἰκίλλιος
περί τε τῆς εἰς τὸν ὑπηρέτην ὀργῆς ἀπελογεῖτο τοὺς
ἱεροὺς προφερόμενος νόμους, καθ' οὓς οὔτε ἄρχοντι 2075
οὔτ' ἰδιώτῃ συνεχωρεῖτο πράττειν οὐδὲν ἐναντίον
δημάρχῳ, καὶ περὶ τοῦ συγκαλεῖν τὴν βουλὴν ἐδίδα-
σκεν, ὡς οὐθὲν εἴη πεποιηκὼς ἄτοπον, πολλοὺς καὶ
2 παντοδαποὺς εἰς τοῦτο παρασκευασάμενος λόγους. ὡς
δ' ἀπελύσατο ταύτας τὰς κατηγορίας, τὸν ὑπὲρ τοῦ
λόφου νόμον εἰσέφερεν. ἦν δὲ τοιόσδε· Ὅσα μὲν ἰδιῶ-
ταί τινες εἶχον ἐκ ⟨τοῦ⟩ δικαίου κτησάμενοι, ταῦτα
τοὺς κυρίους κατέχειν· ὅσα δὲ βιασάμενοί τινες ἢ
κλοπῇ λαβόντες ᾠκοδομήσαντο, κομισαμένους τὰς δα-
πάνας, ἃς ἂν οἱ διαιτηταὶ γνῶσι, τῷ δήμῳ παρα-
διδόναι· τὰ δὲ ἄλλα, ὅσα ἦν δημόσια, χωρὶς ὠνῆς
3 τὸν δῆμον παραλαβόντα διελέσθαι. ἐδίδασκέ τε, ὅτι
τοῦτο τὸ πολίτευμα εἰς πολλὰ μὲν καὶ ἄλλα συνοίσει
τῇ πόλει, μάλιστα δὲ εἰς τὸ μὴ στασιάζειν ἔτι περὶ
τῆς δημοσίας χώρας τοὺς πένητας, ἣν οἱ πατρίκιοι
κατεῖχον. ἀγαπήσειν γὰρ αὐτοὺς τῆς πόλεως λαχόν-

1 ἐφῆκαν O ἀφῆκαν Sylburg 3 τὸν ante ἄνδρα del. Reiske 9 ὁ om. AB 17 λόφου νόμον A νόμον λόγον B 18 ἐκ δικαίου O ἐκ τοῦ δ. c. Kiessling 20 ᾠκοδ⟨ο⟩μήσαντο B 21 διαιτητ⟨αὶ⟩ B 22 ὅσα ἦν B ὅσα ἂν ᾖ R

τας μέρος, ἐπειδὴ τῆς χώρας οὐκ ἔξεστι διὰ τοὺς
2076 ἐσφετερισμένους αὐτὴν πολλοὺς ὄντας καὶ δυνατούς.
τοιούτων ῥηθέντων ὑπ' αὐτοῦ λόγων ὁ μὲν ἀντιλέγων 4
Γάιος Κλαύδιος ἦν μόνος, οἱ δὲ συγκαταινοῦντες
πολλοί, καὶ ἔδοξε διδόναι τῷ δήμῳ τὸν τόπον. μετὰ
τοῦτο ἱεροφαντῶν τε παρόντων καὶ οἰωνοσκόπων καὶ
ἱεροποιῶν δυεῖν καὶ ποιησαμένων τὰς νομίμους εὐχάς
τε καὶ ἀρὰς ἐν τῇ λοχίτιδι ἐκκλησίᾳ συναχθείσῃ ὑπὸ
τῶν ὑπάτων ὁ νόμος ἐκυρώθη, ὅς ἐστιν ἐν στήλῃ
χαλκῇ γεγραμμένος, ἣν ἀνέθεσαν ἐν τῷ Αὐεντίνῳ
κομίσαντες εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν. κυρωθέντος 5
δὲ τοῦ νόμου συνελθόντες οἱ δημοτικοὶ τά τε οἰκό-
πεδα διελάγχανον καὶ κατῳκοδόμουν ὅσον ἕκαστοι
τόπον δυνηθεῖεν ἀπολαμβάνοντες. εἰσὶ δ' οἳ σύνδυο
καὶ σύντρεις καὶ ἔτι πλείους συνιόντες οἰκίαν κατ-
2077 εσκευάζοντο μίαν ἑτέρων μὲν τὰ κατάγεια λαγχανόν-
των, ἑτέρων δὲ τὰ ὑπερῷα. ὁ μὲν οὖν ἐνιαυτὸς ἐκεῖ-
νος εἰς τὰς κατασκευὰς τῶν οἰκήσεων ἐδαπανήθη.

XXXIII. Ὁ δὲ μετὰ τοῦτον, ἐν ᾧ τὴν ὕπατον ἀρχὴν παρειλήφεσαν Τίτος Ῥωμίλιος καὶ Γάιος Οὐετούριος, δήμαρχοι δ' ἦσαν οἱ περὶ Λεύκιον Ἰκίλλιον τὸ δεύτερον ἄρχειν ἑξῆς αἱρεθέντες, οὐχ ἁπλοῦς, ἀλλὰ ποικίλος τις ἐγένετο καὶ μεγάλων μεστὸς πραγμάτων. ἥ τε γὰρ πολιτικὴ στάσις ἤδη μεμαράνθαι δοκοῦσα ὑπὸ τῶν δημάρχων πάλιν ἀνεκινεῖτο, καὶ πόλεμοί τινες ἐκ τῶν ἀλλοεθνῶν ἀνέστησαν, οἳ κακὸν μὲν

4 *συγκαταλέγοντες O συναγορεύοντες c. Reiske συγκατανέμοντες c. Sintenis Em. Dion. I 29 συγκατανεύοντες L. Dindorf Thes. ling. gr. s. v. συγκαταλέγειν; συγκαταινοῦντες ego Philol. 37 (1877) 337   6 τοῦτο ἱεροφαντῶν O   8 συναχθείσης A συναχθείση. in ras. una litt. B   14 σύνδυο καὶ τρεῖς AB   25 ἀνεκινεῖτο Bb κιν ex corr.

οὐθὲν διαθεῖναι τὴν πόλιν ἠδυνήθησαν, οὐ μικρὰν
2 δὲ ὠφέλειαν τὸ στασιάζον ἀνελόντες ἐξ αὐτῆς. ἐγκύ-
κλιον γὰρ δὴ τοῦτο καὶ ἐν ἔθει ἦν ἤδη τῇ πόλει
πολεμουμένῃ μὲν ὁμονοεῖν, εἰρήνην δὲ ἀγούσῃ στα-
σιάζειν. τοῦτο συνιδόντες ἅπαντες οἱ τὰς ὑπάτους
ἀρχὰς παραλαβόντες κατ' εὐχὰς μὲν εἴ τις ἔξωθεν
ἐπανασταίη πόλεμος ἐλάμβανον· ἡσυχαζόντων δὲ τῶν 2078
ἀντιπάλων αὐτοὶ κατεσκεύαζον ἐγκλήματα καὶ προ-
φάσεις πολέμων, ἅτε ὁρῶντες διὰ μὲν τοὺς πολέμους
μεγάλην καὶ εὐδαίμονα γινομένην τὴν πόλιν, διὰ δὲ
3 τὰς στάσεις ταπεινὴν καὶ ἀσθενῆ. οἷς ὅμοια γνόντες
οἱ τότε ὕπατοι στρατιὰν ἐξάγειν ἔκριναν ἐπὶ τοὺς
πολεμίους δεδοικότες, μή τι διὰ τὴν εἰρήνην ἄρξων-
ται ταράττειν ἀργοὶ καὶ πένητες ἄνθρωποι, τοῦτο μὲν
ὀρθῶς ἰδόντες, ὅτι δεῖ περισπᾶσαι τὸν ὄχλον ἐπὶ
τοὺς ἔξω πολέμους, τὸ δὲ μετὰ τοῦτο οὐκ ὀρθῶς. δέον
γὰρ αὐτοὺς ὡς ἐν νοσούσῃ πόλει μετρίαις χρῆσθαι
ταῖς στρατολογίαις ἐπὶ τὸ βίᾳ προσαναγκάζειν τοὺς
ἀπειθοῦντας ἐτράποντο, οὔτε παραίτησιν οὔτε συγ-
γνώμην οὐδενὶ διδόντες οὐδεμίαν, ἀλλὰ ταῖς ἐκ τῶν
νόμων τιμωρίαις εἴς τε τὰ σώματα καὶ τὰς οὐσίας
4 αὐτῶν πικρῶς χρώμενοι. ταῦτα ποιούντων αὐτῶν
ἀφορμὴν αὖθις εἰλήφεσαν οἱ δήμαρχοι τοῦ δημαγω-
γεῖν τὰ πλήθη· καὶ συναγαγόντες εἰς ἐκκλησίαν τά 2079
τ' ἄλλα τῶν ὑπάτων κατεβόων, καὶ ὅτι πολλοὺς τῶν
πολιτῶν ἐκέλευσαν εἰς τὸ δεσμωτήριον ἀπάγειν τὴν

1 vel *παρέσχον* ante *ὠφέλειαν* inserendum vel *οὐ μικρὰ δὲ ὠφέλησαν* legendum esse c. Sylburg 4 *πολεμουμένῃ* O *πολιορκουμένῃ* c. Fr. Krebs Zur Rect. d. Casus I 12, sed ab hoc loco *πολιορκεῖν* abhorrere verba *εἰρήνην ἀγούσῃ* docent 7 *ἐπανασταίη* O *ἀνασταίη* c. Cobet Obs. p. 195 15 *ἰδόντες* Ba *εἰδότες* R cf. Cobet Obs. p. 195 24 *εἰς* add. B om. R

δημαρχικὴν ἐξουσίαν ἐπικαλεσαμένους, τῆς τε στρα-
τολογίας ἀπολύειν ἔφασαν αὐτοὶ δὴ μόνοι ἐξουσίαν
ἐκ τῶν νόμων ἔχοντες. ὡς δ' οὐθὲν ἐπέραινον, ἀλλ' 5
ἐπιστρεφεστέρας ἔτι τὰς καταγραφὰς ἑώρων γινομένας,
ἔργοις κωλύειν ἐπεβάλλοντο. ἀμυνομένων δὲ τῶν
ὑπάτων καὶ τῷ κράτει τῆς ἀρχῆς ἐρεθισμοί τέ τινες
ἐγίνοντο καὶ χειρῶν ἐπιβολαί. συνηγωνίζετο δὲ τοῖς
μὲν ὑπάτοις ἡ τῶν πατρικίων νεότης, τοῖς δὲ δημάρ-
2080 χοις ὁ πένης καὶ ἀργὸς ὄχλος. ἐκείνην μὲν οὖν τὴν 6
ἡμέραν παρὰ πολὺ κρείττους ἐγένοντο τῶν δημάρχων
οἱ ὕπατοι, ταῖς δ' ἑξῆς ἡμέραις πλείονος ὄχλου συρ-
ρέοντος εἰς τὴν πόλιν ἐκ τῶν ἀγρῶν, δόξαντες οἱ δήμαρ-
χοι προσειληφέναι χεῖρα ἀξιόμαχον ἐκκλησίας τε συνεχεῖς
ἐποιοῦντο καὶ τοὺς ὑπηρέτας κακῶς διακειμένους ἐκ τῶν
πληγῶν ἐπεδείκνυσαν καὶ τὴν ἀρχὴν ἔλεγον ἀποθήσεσ-
θαι, εἰ μή τις αὐτοῖς ἔσται παρὰ τοῦ δήμου βοήθεια.

XXXIIII. Συναγανακτοῦντος δ' αὐτοῖς τοῦ πλή-
θους ἐκάλουν τοὺς ὑπάτους ἐπὶ τὸν δῆμον ὡς τῶν
πεπραγμένων ὑφέξοντας λόγον. ὡς δ' οὐ προσεῖχον
αὐτοῖς ἐκεῖνοι τὸν νοῦν, ἐπὶ τὴν βουλὴν παρῆσαν
— ἔτυχον γὰρ ὑπὲρ αὐτῶν τούτων συνεδρεύοντες —
καὶ παρελθόντες ἐδέοντο μήθ' αὐτοὺς τὰ αἴσχιστα
πεπονθότας ὑπεριδεῖν μήτε τὸν δῆμον ἀφαιρεθέντα
τὴν ἐξ αὐτῶν βοήθειαν, διεξιόντες ὅσα ἦσαν πεπον-

2 ἔφασαν οἱ ἐκ τῶν νόμων ἐξουσίαν ἔχοντες A ἔφασαν αὐτοὶ δὴ μόνοι ἐξουσίαν ἐκ τῶν νόμων ἔχοντες B 3 ἐπ⟨έ⟩ρ⟨αιν⟩ον Bb 5 ἐπεβάλλοντο τῶν ὑπάτων. ἀμυνομένων δὲ καὶ τῷ κράτει A καὶ ante τῷ κράτει exstat etiam in B, errat Kiesslingius 18 ὑπάτους ἐπὶ τὸν δῆμον ὡς τῶν B ὑπάτους εἰς τὸν δῆμον τῶν R ἐπὶ τοῦ δήμου Vassis Ἀθ. VIII p. 263 20 ⟨παρ⟩ῆσαν B παρήεσαν c. Sintenis Em. Dion. III 12 22 τὰ αἴσχιστα πεπονθότας ὑπεριδεῖν Cobet Obs. p. 13 et p. 195 sqq. 24 αὐτοῦ A

ϑότες ὑπὸ τῶν ὑπάτων καὶ τῆς περὶ αὐτοὺς συν- 2081
ωμοσίας οὐ μόνον εἰς τὴν ἐξουσίαν, ἀλλὰ καὶ εἰς τὰ
2 σώματα προπηλακισϑέντες. ἠξίουν τε δυεῖν ϑάτερον ποιεῖν τοὺς ὑπάτους· εἰ μὲν ἀρνοῦνται μηδὲν ὧν οἱ νόμοι κεκωλύκασιν εἰς τὰ τῶν δημάρχων πλημμελῆσαι σώματα, παραγενομένους εἰς τὴν ἐκκλησίαν ἀπομόσαι, εἰ δ' οὐχ ὑπομένουσι τὸν ὅρκον, ἥκειν ἐπὶ τοὺς δημότας λόγον ὑφέξοντας· ἀναδώσειν γὰρ ὑπὲρ αὐτῶν ταῖς
3 φυλαῖς τὴν ψῆφον. οἱ δ' ὕπατοι πρὸς ταῦτ' ἀπελογοῦντο διδάσκοντες, ὅτι τῆς ὕβρεως οἱ δήμαρχοι ἄρξειαν αὐϑαδείᾳ χρησάμενοι καὶ τολμήσαντες εἰς ὑπάτων σώματα παρανομεῖν, τὸ μὲν πρῶτον ὑπηρέταις τε καὶ ἀγορανόμοις ἐπιτάττοντες ἄγειν εἰς τὸ δεσμωτήριον ἄρχοντας, οἷς τὸ πάντων ἀποδέδοται κράτος, ἔπειτ' αὐτοὶ τολμήσαντες ὁμόσε χωρεῖν σὺν τοῖς ἰταμωτάτοις
4 τῶν δημοτικῶν· τάς τε ἀρχὰς διδάσκοντες ὅσον ἀλλήλων διαφέρουσιν, ἡ μὲν ὑπατικὴ τὸ τῶν βασιλέων ἔχουσα κράτος, ἡ δὲ δημαρχικὴ τῆς βοηϑείας ἕνεκα παρεληλυϑυῖα τῶν κατισχυομένων, ἢ τοσούτου δεῖν 2082
ἐξεῖναι κατὰ τῶν ὑπάτων τινὸς ψῆφον ἀναδιδόναι τοῖς ὄχλοις, ὥστε μηδὲ κατὰ τῶν ἄλλων πατρικίων τοῦ φαυλοτάτου ταύτην ἀποδεδόσϑαι τὴν ἐξουσίαν, ἂν μὴ ἡ βουλὴ ψηφίσηται. ἠπείλουν τε, ὅταν ἐκεῖνοι ψῆφον ἀναδῶσι τοῖς δημόταις, αὐτοὶ τὰ ὅπλα περι-
5 ϑήσειν τοῖς πατρικίοις. τοιούτων δὴ ῥηϑέντων λόγων

αὐτῶν Ba ἑαυτῶν Bb 1 καὶ ἀπὸ τῆς περὶ A καὶ περὶ Ba καὶ τῆς περὶ Bb 2 μόνον δ' εἰς B 5 πλημμελῆ⟨σαι⟩ Bb 6 ἀπομ⟨ό⟩σαι Bb 7 εἰ δὲ ὑπομένουσι A | δημότας] δημοσίους A 8 τῶν φυλῶν A 10 τῆς τε ὕβρεως B τῆς γε ὕ. c. Kiessling 12 τε καὶ ἀγορανόμοις del. Naber Mnem. 30, 254 14 ⟨οἷς⟩ Bb 19 τοσοῦτον O praeter B 22 τῷ φαυλοτέρῳ A τοῦ φαυλοτάτου B τῶν φαυλοτέρων R 23 ἡ add. Bb | ψηφίσεται A ψηφι⟨σητ⟩αι Bb 24 προϑήσειν Naber Mnem. 30, 254

δι' ὅλης ἡμέρας οὐδὲν ἐξήνεγκεν ἡ βουλὴ τέλος, ἵνα μήτε τὴν τῶν ὑπάτων ἀρχὴν μειώσειε μήτε τὴν τῶν δημάρχων, ἑκάτερον ὁρῶσα μεγάλων κινδύνων αἴτιον ἐσόμενον.

XXXV. Ἐπεὶ δὲ κἀκεῖθεν ἀπηλάθησαν οἱ δήμαρχοι βοήθειαν οὐδεμίαν εὑρόμενοι, ἐσκόπουν αὖθις ὅ τι χρὴ ποιεῖν εἰς τὸν δῆμον ἀφικόμενοι. ἐνίοις μὲν οὖν ἐδόκει καὶ μάλιστα τοῖς ταραχωδεστάτοις ἀπιέναι πάλιν ἐκ τῆς πόλεως τοὺς δημοτικοὺς τὰ ὅπλα ἀναλαμβάνον-
2083 τας εἰς τὸ ἱερὸν ὄρος, ἔνθα καὶ τὸ πρῶτον ἐστρατοπεδεύσαντο, καὶ τὸν πόλεμον ἐκεῖθεν ὁρμωμένους ποιεῖν πρὸς τοὺς πατρικίους, ἐπειδὴ τὰς συνθήκας ἔλυσαν ἐκεῖνοι τὰς γενομένας αὐτοῖς πρὸς τὸν δῆμον, καταλύοντες τὴν δημαρχικὴν ἐξουσίαν ἐκ τοῦ φανεροῦ.
τοῖς δὲ πλείοσιν ἐδόκει μὴ παραχωρεῖν τῆς πόλεως 2
μηδὲ κοινὰ πάντων ἐγκλήματα ποιεῖν, ὑπὲρ ὧν ἰδίᾳ τινὲς εἰς τοὺς δημάρχους παρενόμησαν, ἐὰν τὰ συγκεχωρημένα τοῖς νόμοις λαμβάνωσιν, οἳ κελεύουσιν ἢ ποι⟨νὴν τίν⟩ειν ἢ τεθνάναι τοὺς ὑβρίσαντας τὰ τῶν δημάρχων σώματα. τοῖς δὲ χαριεστέροις οὐδέτερον τούτων ἐφαίνετο καλῶς ἔχειν, οὔτε τὴν πόλιν ἐκλιπεῖν οὔτε φόνον ἄκριτον ἐπιτελεῖν, καὶ ταῦτα ὑπάτων, οἷς
2084 ἡ μεγίστη ὑπέκειτο ἀρχή, ἀλλ' εἰς τοὺς συναγωνιζο-

8 ἀπεῖναι AB   16 μηδὲ τὰ κοινὰ πάντων A μηδὲ κοινὰ πάντα τὰ B   17 παρ⟨η⟩νόμησαν Bb παρηνόμησαν R sed παρενόμησαν omnibus locis scribendum est; cf. VI 77, 2 Cobet Obs. p. 4 | ἐὰν] ⟨ἐὰν⟩ Bb ἀλλὰ R   18 τοῖς νόμοις om. ABa add. Bb | λαμβάν⟨ω⟩σιν B λαμβάνουσιν R | ὃ A οἳ B | *κελεύουσιν ἢ ποιεῖν ἢ τεθνάναι O κελεύουσι νηποινὶ τεθνάναι Casaubonus κελεύουσιν ἢ ποι⟨νὴν τίν⟩ειν ἢ τεθνάναι ego   19 ὑβρίσαντας εἰς Cobet Obs. p. 196   21 ἐκλιπεῖν O ἐκλείπειν Garrer Obs. p. 57

μένους αὐτοῖς μεταφέρειν τὴν ὀργήν, καὶ τὰς ἐκ τῶν
3 νόμων τιμωρίας παρ' ἐκείνων λαμβάνειν. εἰ μὲν οὖν
ἐκείνην τὴν ἡμέραν θυμῷ φερόμενοι δρᾶσαί τι οἱ δή-
μαρχοι κατὰ τῶν ὑπάτων ἢ τῆς βουλῆς προήχθησαν,
οὐθὲν ἂν ἦν τὸ κωλῦσον αὐτὴν ὑφ' αὑτῆς ἀπολωλέναι
τὴν πόλιν· οὕτως ἕτοιμοι πάντες ἦσαν ἐπὶ τὰ ὅπλα
καὶ τὸν κατ' ἀλλήλων πόλεμον. νῦν δ' ἀναβαλόμενοι
τὰ πράγματα καὶ δόντες ἑαυτοῖς χρόνον εἰς ἀμείνω
λογισμὸν αὐτοί τε μετριώτεροι ἐγένοντο καὶ τὰς τῶν
4 πολλῶν ὀργὰς ἐπράυναν. ἔπειτα ταῖς ἑξῆς ἡμέραις
τὴν τρίτην ἀπ' ἐκείνης ἐσομένην ἀγορὰν προειπόντες,
ἐν ᾗ τὸν δῆμον συνάξουσι καὶ ζημίαν ἐπιβαλοῦσι τοῖς
ὑπάτοις ἀργυρικήν, διέλυσαν τὴν ἐκκλησίαν. ἐπεὶ δὲ
πλησίον ἦν ὁ χρόνος, ἀπέστησαν καὶ ταύτης τῆς ἐπι-
βολῆς τῇ δεήσει τῶν πρεσβυτάτων τε καὶ ἐντιμοτάτων
5 τὴν χάριν ἀνατιθέναι λέγοντες. καὶ μετὰ ταῦτα συν-
αγαγόντες τὸν δῆμον ἔλεγον, ὅτι τὰς μὲν εἰς ἑαυτοὺς
ὕβρεις ἀφείκασι χαρισάμενοι πολλοῖς καὶ ἀγαθοῖς ἀν-
δράσι δεομένοις, οἷς οὐκ ἦν ὅσιον ἀντιλέγειν, ὧν δὲ 2085
ὁ δῆμος ἠδικεῖτο κωλυταί τε καὶ τιμωροὶ ἔσεσθαι.
προθήσειν γὰρ αὖθις τόν τε περὶ τῆς κληρουχίας
νόμον ἔτη τριάκοντα παρειλκυσμένον καὶ τὸν περὶ τῆς
ἰσονομίας, ὃν οἱ πρὸ αὐτῶν δήμαρχοι προθέντες οὐκ
ἐπεψήφισαν.

XXXVI. Ταῦθ' ὑποσχόμενοι καὶ ὀμόσαντες ἀπ-
έδειξαν ἡμέρας, ἐν αἷς ἀγορὰν ποιήσονται τοῦ δήμου

5 κωλύσαν c. Reiske 10 ἐπράυνεν A ἐπράυν⟨αν⟩ B | ταῖς ἑξῆς ἡμέραις O τῇ ἑξῆς ἡμέρᾳ c. Kiessling 14 ἐπιβουλῆς B 15 τε add. B 18 ἀφ⟨ή⟩κασι B 20 ἠδικεῖτο O ἠδίκητο c. Kiessling ἀδικοῖτο Kayser Ann. phil. 1870, 723 26 τὰς ἡμέρας c. Kiessling dubitanter

καὶ τὰς ψήφους ἀναδώσουσι περὶ τῶν νόμων· ἐπιστάν-
τος δὲ τοῦ χρόνου πρῶτον εἰσέφερον τὸν χωρονομικὸν
νόμον καὶ πολλοὺς διελθόντες λόγους ἐκάλουν, εἴ τις
τῷ νόμῳ συναγορεύειν βούλεται τῶν δημοτικῶν. πολ- 2
λῶν δὲ παριόντων καὶ τὰς ἑαυτῶν πράξεις, ἃς ἐν τοῖς
πολέμοις ἀπεδείξαντο, προφερομένων καὶ ἀγανακτούν-
των, ὅτι πολλὴν ἀφελόμενοι γῆν τοὺς πολεμίους αὐτοὶ
μὲν οὐδεμίαν εἰλήφασι μοῖραν, τοὺς δὲ χρήμασι καὶ
φίλοις δυνατοὺς ἐσφετερισμένους ὁρῶσι τὰ κοινὰ καὶ
2086 καρπουμένους ἐκ τοῦ βιαιοτάτου, ἀξιούντων τε μὴ
μόνον τοὺς κινδύνους εἶναι τῷ δήμῳ τοὺς ὑπὲρ τῶν
κοινῶν ἀγαθῶν κοινούς, ἀλλὰ καὶ τὰς ἀπ' αὐτῶν
ἡδονάς τε καὶ ὠφελείας, καὶ τοῦ πλήθους ἀσμένως
ἀκούοντος τοὺς λόγους, ὁ μάλιστα ἐπιρρώσας τὸν
δῆμον καὶ μηδὲ φωνὴν ὑπομένειν τῶν ἀντιλεγόντων
διαπραξάμενος ἦν Λεύκιος Σίκκιος, Δεντάτος ἐπικαλού-
μενος, πολλὰς πάνυ καὶ μεγάλας ἑαυτοῦ πράξεις διεξ-
ελθών. ἦν δ' ὀφθῆναί τε θαυμαστὸς ὁ ἀνὴρ καὶ 3
ἡλικίας ἐν τῷ κρατίστῳ δυεῖν δέοντα ἑξήκοντα γεγονὼς
ἔτη καὶ φρονῆσαι τὰ δέοντα ἱκανὸς εἰπεῖν τε ὡς στρα-
τιώτης οὐκ ἀδύνατος. ἔφη δ' οὖν παρελθών· Ἐγώ,
ὦ δημόται, καθ' ἕκαστον ἔργον τῶν ἐμοὶ πεπραγμένων
εἰ βουλοίμην λέγειν, ἐπιλίποι ἄν με ὁ τῆς ἡμέρας
χρόνος. αὐτὰ δὲ τὰ κεφάλαια δι' ἐλαχίστων ὡς ἐμὴ
2087 δύναμις ἐρῶ. τετταρακοστὸν μὲν ἔτος ἐστί μοι τοῦτο, 4
ἐξ οὗ στρατεύομαι περὶ τῆς πατρίδος, τριακοστὸν δ'

2 χωρονομικὸν] cf. Götzeler Animadversiones II 29 13 ἀσμένου stulte c. Garrer Obs. p. 28 21 ἐγὼ δὲ ὦ A δὲ in mge B 22 καθ' ἓν ἕκαστον Sylburg 24 κεφάλ⟨αι⟩α Bb 25 μὲν add. B 26 περὶ AB ὑπὲρ R cf. Krebs Präpositionsadv. I 34

*ἐξ οὗ στρατιωτικῆς ἀεί τινος ἡγεμονίας τυγχάνω, τοτὲ
μὲν σπείρας ἡγούμενος, τοτὲ δ' ὅλου τάγματος, ἀρξά-
μενος ἀπὸ ⟨τῶν⟩ ὑπάτων Γαίου Ἀκυλλίου καὶ Τίτου
Σικκίου, οἷς ἐψηφίσατο ἡ βουλὴ τὸν κατὰ Οὐολούσκων
πόλεμον. ἤμην γὰρ τότε ἑπτακαιεικοσέτης, ἐταττόμην*
5 *δ' ἔτι ὑπὸ λοχαγῷ. γενομένης δὲ μάχης καρτερᾶς καὶ
τροπῆς, καὶ τοῦ μὲν ἡγεμόνος τῆς σπείρας πεπτωκότος,
τῶν δὲ σημείων κρατουμένων ὑπὸ τῶν ἐχθρῶν, μόνος
ἐγὼ τὸν ὑπὲρ ἁπάντων κίνδυνον ἀράμενος τά τε σημεῖα
διέσωσα τῇ σπείρᾳ καὶ τοὺς πολεμίους ἀνέστειλα καὶ
τοῦ μὴ περιπεσεῖν αἰσχύνῃ τοὺς λοχαγοὺς αἰωνίῳ, δι'* 2088
*ἣν θανάτου κακίων ὁ λοιπὸς ἂν αὐτοῖς βίος ἦν, αἴτιος
ἐγενόμην φανερῶς, ὥς αὐτοί τε ὡμολόγουν χρυσῷ με
ἀναδήσαντες στεφάνῳ, καὶ ὁ ὕπατος Σίκκιος ἐμαρτύ-*
6 *ρησεν ἡγεμόνα τῆς σπείρας ἀποδείξας. ἑτέρου τε πάλιν
ἡμῖν ἀγῶνος ἐνστάντος, ἐν ᾧ τόν τε στρατοπεδάρχην
τοῦ τάγματος ἡμῶν συνέβη πεσεῖν καὶ τὸν ἀετὸν ὑπὸ
τοῖς πολεμίοις γενέσθαι, τὸν αὐτὸν τρόπον ὑπὲρ ὅλου
τοῦ τάγματος ἀγωνισάμενος τόν τ' ἀετὸν ἀνεκομισάμην
καὶ τὸν στρατοπεδάρχην ἔσωσα· ὃς ἐμοὶ τῆς τότε
βοηθείας χάριν ἀποδιδοὺς τῆς ἡγεμονίας τοῦ τάγματος
ἀφίστατό μοι καὶ τὸν ἀετὸν ἐδίδου, ἐγὼ δ' οὐκ ἔλαβον,
οὐκ ἀξιῶν ᾧ τὸν βίον ἐχαρισάμην τούτου παρελέσθαι*

1 *στρατιωτικοῖς καὶ εἴ τινος* A 3 **ἀπὸ ὑπάτων* O *τῶν* addidi 5 *ἤμην*] *ἡμῖν* Ba *ἦν μὲν* c. Hertlein Hermes X 420 cf. Jacoby Aar. Progr. 1874, 35 | *ἑπτακαιεικοσαέτης* O corr. Kiessling 6 *ὑπὸ λοχαγῷ* O *ὑπολοχαγῶν* c. Naber Mnem. 30, 254 7 *τῆ⟨ς σ⟩πείρας* B 10 *ἀνέσωσα* c. Hertlein Hermes X 420 | *τῆ σπείρα* B *τῆς σπείρας* R 11 *περιπεσεῖν ἐν αἰσχύνῃ* O *ἐν* del. Reiske 13 *αὐτοί γε* B *αὐτοὶ* R *αὐτοί τε* Kiessling 14 *ἐμαρτύρησ⟨εν⟩* B 15 *τῆ⟨ς σ⟩πείρας* B 17 *ὑπὸ* O *ἐπὶ* Cobet Obs. p. 196 19 *συντάγματος* O *τάγματος* c. Reiske | *ἀνεκομισάμην* B *ἀνεσωσάμην* R

*τὰς τιμὰς ἃς εἶχε καὶ τὰς ἐπὶ ταύταις εὐφροσύνας. ἐφ' οἷς ἀγασθείς με ὁ ὕπατος τοῦ πρώτου τάγματος ἀπέδωκε τὴν στρατοπεδαρχίαν ἀπολωλεκότος ἐν τῇ μάχῃ τὸν ἡγεμόνα.*

XXXVII. *Ταῦτ' ἐστίν, ὦ δημόται, τὰ φανερώσαντά* 2089 *με καὶ εἰς ἡγεμονίας προαγαγόντα γενναῖα ἔργα. ἐπεὶ δ' ὀνόματος ἤδη λαμπροῦ τυγχάνων φανερὸς ἤμην, ἅπαντας ὑπέμενον τοὺς λοιποὺς ἀγῶνας αἰδούμενος τὰς ἐπὶ τοῖς προτέροις ἔργοις τιμὰς καὶ χάριτας ἀφανίσαι. καὶ διετέλεσα πάντα τὸν μεταξὺ χρόνον στρατευόμενος καὶ ταλαιπωρῶν καὶ οὐδένα κίνδυνον δεδιὼς οὐδὲ ὑπολογιζόμενος· ἐξ ὧν ἁπάντων ἀριστεῖα καὶ σκῦλα καὶ στεφάνους καὶ τὰς ἄλλας τιμὰς παρὰ τῶν ὑπάτων ἔλαβον· ἵνα δὲ συνελὼν εἴπω, μάχας μὲν* 2 *ἐν τοῖς τετταράκοντα ἔτεσιν, ἐν οἷς διατελῶ στρατευόμενος, ἀμφὶ τὰς ἑκατὸν εἴκοσι μεμάχημαι, τραύματα δὲ πέντε καὶ τετταράκοντα εἴληφα καὶ πάντα ἐμπρόσθια, κατὰ νώτου δ' οὐθέν. καὶ τούτων δώδεκά ἐστιν, ἃ συνέβη μοι λαβεῖν ἐν ἡμέρᾳ μιᾷ, ὅτε Σαβῖνος Ἑρδώνιος τὴν ἄκραν καὶ τὸ Καπιτώλιον κατελάβετο. ἀριστεῖα* 3 *δ' ἐκ τῶν ἀγώνων ἐξενήνεγμαι τεσσαρεσκαίδεκα μὲν στεφάνους πολιτικούς, οἷς ἀνέδησάν με οἱ σωθέντες* 2090 *ἐν ταῖς μάχαις ὑπ' ἐμοῦ, τρεῖς δὲ πολιορκητικοὺς πρῶτος ἐπιβὰς πολεμίων τείχεσι καὶ κατασχών, ὀκτὼ δὲ τοὺς ἐκ παρατάξεως, οἷς ὑπὸ τῶν αὐτοκρατόρων ἐτιμήθην· πρὸς δὲ τούτοις ὀγδοήκοντα μὲν καὶ τρεῖς χρυσοῦς στρεπτοὺς περιαυχενίους, ἑξήκοντα δὲ καὶ ἑκατὸν περιβραχιόνια χρύσεα, δόρατα δ' ὀκτωκαίδεκα,*

11 *ταλ⟨αι⟩πωρῶν* Bb 27 *καὶ ἑκατὸν* add. B 28 *χρύσεα*] cf. Jacoby Aar. Progr. p. 36

φάλαρα δ' ἐπίσημα πέντε πρὸς τοῖς εἴκοσιν, † ὧν ἐν-
νέα ἦσαν, οὓς μονομαχῆσαί τινα ἡμῶν προκαλεσαμένους
4 ἑκούσιος ὑποστὰς ἐνίκησα. οὗτος μέντοι Σίκκιος, ὦ
πολῖται, ὁ τοσαῦτα μὲν ἔτη στρατευσάμενος ὑπὲρ ὑμῶν,
τοσαύτας δὲ μάχας ἀγωνισάμενος, τοσούτοις δὲ τετιμη-
μένος ἀριστείοις, ὁ μηδένα κίνδυνον ὀκνήσας πώποτε
μηδ' ἀπειπάμενος ἄλλῃ ἐν παρατάξεσι καὶ ἐν τειχο-
μαχίαις καὶ ἐν πεζοῖς καὶ ἐν ἱππεῦσι καὶ μετὰ πάντων
καὶ σὺν ὀλίγοις καὶ μόνος, καὶ κατατετρωμένος ὅλον
τὸ σῶμα, ὁ συγκατακτησάμενος τῇ πατρίδι πολλὴν καὶ 2091
ἀγαθὴν γῆν, τοῦτο μὲν ἣν Τυρρηνούς τε καὶ Σαβίνους
ἀφείλεσθε, τοῦτο δὲ ἣν Αἰκανῶν καὶ Οὐολούσκων καὶ
Πωμεντίνων κρατήσαντες ἔχετε, οὐδὲ τὴν ἐλαχίστην
ἔχω μοῖραν ἐξ αὐτῆς λαβών, οὐδ' ὑμῶν, ὦ δημόται,
τῶν τὰ ὅμοια ταλαιπωρησάντων οὐδείς· οἱ δὲ βιαιότα-
τοι τῶν ἐν τῇ πόλει καὶ ἀναιδέστατοι τὴν καλλίστην
κατέχουσιν ἐξ αὐτῆς καὶ πολλὰ ἔτη κεκάρπωνται οὔτε
δωρεὰν παρ' ὑμῶν λαβόντες οὔτε χρημάτων πριάμενοι
οὔτε ἄλλην δικαίαν κτῆσιν οὐδεμίαν αὐτῆς ἀποδεῖξαι
5 δυνάμενοι. καὶ εἰ μὲν ἴσα τοῖς ἄλλοις ἡμῖν ταλαιπωρή-
σαντες, ὅτ' αὐτὴν ἐκτώμεθα, πλεῖον ἠξίουν ἡμῶν ἔχειν,
ἣν μὲν οὐδ' οὕτω δίκαιον οὐδὲ πολιτικὸν ὀλίγους σφε-

1 φάλαρα δὲ πέντε A | post εἴκοσι (sic) lacunam esse et verba excidisse: λάφυρα δὲ πολεμίων ἡττηθέντων εἴκοσιν c. Enthoven Mnemosyne t. XXII (1894) p. 389 4 ὁ om. A 7 *ἀλλ' ἣν ἐν παρατάξεσι O μηδὲ ταλαιπωρίαν ἀπειπάμενος ἄλλην, ἀλλὰ προθύμως ἐξετασθεὶς ἐν παρατάξεσι c. Reiske ἀλλὰ ⟨πάντας ὑποστὰς⟩ καὶ ἐν c. Kiessling, ἀλλὰ πάντας ἀράμενος καὶ Smit Obs. p. 45 ἀπειπάμενος ἄλλῃ ἐν παρατάξεσι ego 8 μετὰ πάντων] μετὰ πολλῶν c. Smit Obs. p. 52 9 μόνοις B 13 ἔσχετε A ἔχετε R | post ἔσχετε vel ἔχετε O praeter B praebent verba καὶ ἄλλων τινῶν καὶ | οὐδὲ τὴν ἐλαχίστην μοῖραν ἐξ αὐτῆς ἔχω B οὐδὲ τὴν //// αὐτῆς ἔχω μοῖραν ἐξ αὐτῆς R

τερίσασθαι τὰ κοινά, οὐ μὴν ἀλλ' εἶχέ γέ τινα λόγον
2092 ἡ πλεονεξία τῶν ἀνθρώπων· ὁπότε δ' οὐθὲν ἔχοντες
ἐπιδείξασθαι μέγα καὶ νεανικὸν ἔργον, ἀνθ' οὗ τὰ
ἡμέτερα βίᾳ κατέσχον, ἀναισχυντοῦσι καὶ οὐδ' ἐξελεγχόμενοι μεθίενται αὐτῶν, τίς ἂν ἀνάσχοιτο;

XXXVIII. Ἐπεὶ φέρε πρὸς Διός, εἴ τι τούτων ἐγὼ ψεύδομαι, δειξάτω τις ὑμῖν τῶν σεμνῶν τούτων παρελθών, τίνας ἐπιφανεῖς καὶ καλὰς πράξεις προεχόμενος ἐμοῦ πλέον ἔχειν ἀξιοῖ· πότερον ἔτη πλείω στρατευσάμενος ἢ μάχας πλείους ἀγωνισάμενος ἢ τραύματα πλείω λαβὼν ἢ στεφάνοις καὶ φαλάροις καὶ σκύλοις καὶ τοῖς ἄλλοις ἐπινικίοις κόσμοις ὑπερβαλόμενος, δι' ὃν ἀσθενέστεροι μὲν οἱ πολέμιοι γεγόνασιν ἐπιφανεστέρα δὲ καὶ μείζων ἡ πατρίς; μᾶλλον δὲ τὸ δέκατον ἐπιδειξάτω μέρος, ὧν ὑμῖν ὑπέδειξα ἐγώ.
ἀλλὰ τούτων γ' οἱ πλείους οὐδ' ἂν πολλοστὴν ἔχοιεν 2
προενέγκασθαι μοῖραν τῶν ἐμῶν· ἔνιοι δὲ οὐδ' ἂν τῷ
2093 φαυλοτάτῳ τῶν ἐκ τοῦ δήμου φανεῖεν τὰ ἴσα κακοπαθήσαντες. οὐ γάρ ἐστιν αὐτῶν ἐν τοῖς ὅπλοις ἡ λαμπρότης, ἀλλ' ἐν τοῖς λόγοις, οὐδὲ κατὰ τῶν ἐχθρῶν τὸ δυνάμενον, ἀλλὰ κατὰ τῶν φίλων· οὐδ' ἡγοῦνται κοινὴν οἰκεῖν πόλιν, σφῶν δ' αὐτῶν ἰδίαν, ὥσπερ οὐ συνελευθερωθέντες ἀπὸ τῆς τυραννίδος ὑφ' ἡμῶν, ἀλλὰ κατὰ κληρονομίαν παρὰ τῶν τυράννων παραλαβόντες ἡμᾶς· οἵ γε — τὰ μὲν ἄλλα, ὅσα ὑβρίζοντες ἡμᾶς μικρὰ καὶ μείζω διατελοῦσιν, ὡς ἅπαντες ἐπί-

3 ἀποδείξασθαι c. Garrer Obs. p. 22 4 ὑμέτερα AB 8 προεχόμενος ABa προελόμενος Bb 12 ὑπερβαλλόμενος B 15 ⟨ὑ⟩πέδειξα Bb 17 προσενέγκασθαι A | τῶ⟨ν⟩ φαυλοτάτω⟨ν⟩ Ba 21 κατὰ τῶν φιλίων c. Cobet Obs. p. 196 25 τὰ γὰρ ἄλλα c. Reiske

3 στασθε, σιωπῶ, — ἀλλ' εἰς τοῦτο προεληλύθασιν ὑπερ-
ηφανίας, ὥστ' οὐδὲ φωνὴν ἀξιοῦσί τινα ἡμῶν ἀφιέναι
περὶ τῆς πατρίδος ἐλευθέραν οὐδὲ διᾶραι τὸ στόμα,
ἀλλὰ τὸν μὲν εἰπόντα περὶ τῆς κληρουχίας Σπόριον 2094
Κάσσιον, τρισὶ μὲν ὑπατείαις κεκοσμημένον, δυσὶ δὲ
θριάμβοις λαμπροτάτοις, τοσαύτην δὲ δεινότητα περί
τε τὰς στρατηγικὰς πράξεις καὶ περὶ τὰ πολιτικὰ βου-
λεύματα ἀποδειξάμενον, ὅσην οὐδεὶς τῶν τότε γενο-
μένων, τοῦτον τὸν ἄνδρα αἰτιασάμενοι τυραννίδι ἐπι-
χειρεῖν καὶ ψευδέσι καταγωνισάμενοι μαρτυρίαις δι'
οὐδὲν ἕτερον, ἀλλ' ὅτι φιλόπολις ἦν καὶ φιλόδημος,
4 ὤσαντες ἀπὸ τοῦ κρημνοῦ διέφθειραν. Γναῖον δὲ
Γενύκιον δήμαρχον ὄντα ἡμέτερον, ἐπεὶ τὸ αὐτὸ τοῦτο
πολίτευμα μετὰ 〈τὸ〉 ἔτος ἑνδέκατον ἀνενεοῦτο, καὶ
τοὺς ὑπατεύσαντας ἐν τῷ πρότερον ἐνιαυτῷ κατέστησεν
ὑπὸ δίκην ἀμελήσαντας τῶν ψηφισμάτων τῆς βουλῆς,
ἃ περὶ τῶν γεωμόρων ἐψηφίσατο, ἐπεὶ φανερῶς οὐχ
οἷοί τ' ἦσαν ἀνελεῖν, μιᾷ πρότερον ἡμέρᾳ τῆς δίκης
5 ἀφανῶς ἀνήρπασαν. τοιγάρτοι πολὺς ἐνέπεσε τοῖς
μετὰ ταῦτα φόβος, καὶ οὐδεὶς ἔτι τὸ κινδύνευμα τοῦτο 2095
ὑπέδυ, ἀλλὰ τριακοστὸν ἔτος τοῦτο ἀνεχόμεθα ὥσπερ
ἐν τυραννίδι τὴν ἐξουσίαν ἀπολωλεκότες.

XXXVIIII. Ἐῶ τἄλλα· ἀλλ' οἱ νῦν ἄρχοντες ὑμῶν,
ὅτι τοῖς κατισχυομένοις τῶν δημοτικῶν ἠξίουν βοηθεῖν,
οὓς ὑμεῖς ἱεροὺς καὶ ἀσύλους ἐποιήσατε τῷ νόμῳ, τί

1 παρεληλύθασιν A προσεληλύθασιν Ba προεληλύθασιν Bb
4 μὲν πρῶτον εἰπόντα O praeter AB 6 λαμπρότατον c. Kiessling 12 ἀπὸ] κατὰ Naber Mnem. 30, 254 | Γάιον edit. Parisin.
14 πολίτευμα τοῦτο B | *τὸ om. O addidi Aar. Progr. p. 7
20 τοῦτο] τοδὶ c. Cobet Obs. p. 196 24 ὅτι] ὅτε c. Kiessling | verba ὅτι τοῖς κατισχυομένοις τῶν δημοτικῶν ἠξίουν βοηθεῖν post τῶν δεινῶν transponit Cobet Obs. p. 196

οὐ πεπόνθασι τῶν δεινῶν; οὐχὶ τυπτόμενοι καὶ λακτι-
ζόμενοι καὶ πᾶσαν αἰκίαν ὑπομείναντες ἀπηλάσθησαν
ἐκ τῆς ἀγορᾶς; καὶ ὑμεῖς ταῦτα πάσχοντες ἀνέχεσθε
καὶ οὐ ζητεῖτε, ὅπως παρ' αὐτῶν λήψεσθε δίκας ταῖς
γοῦν ψήφοις, ἐν αἷς μόναις ἔξεστιν ὑμῖν ἀποδείξα-
σθαι τὴν ἐλευθερίαν. ἀλλ' ἔτι καὶ νῦν, ὦ δημόται, 2
φρόνημα λαβόντες ἐλεύθερον [καὶ] τὸν γεωμορικὸν
νόμον εἰσφερόντων τῶν δημάρχων ἐπικυρώσατε μηδὲ
2096 φωνὴν ἀνασχόμενοι τῶν τἀναντία ἀξιούντων. ὑμεῖς 3
δ', ὦ δήμαρχοι, παρακλήσεως μὲν εἰς τοῦτο τὸ ἔργον
οὐ δεῖσθε· καὶ γὰρ ἤρξατε αὐτοῦ καὶ οὐχ ὑποκατα-
κλίνεσθε, καλῶς ποιοῦντες· ἐὰν δ' ἐκ τῶν νέων αὐ-
θάδεια καὶ ἀναίδεια ὑμῖν ἐμποδὼν γένηται τοὺς
καδίσκους ἀνατρεπόντων ἢ τὰς ψήφους ἁρπαζόντων ἢ
ἄλλο τι περὶ τὴν ψηφοφορίαν ἀκοσμούντων, δείξατε
αὐτοῖς ἣν ἔχει τὸ ἀρχεῖον ἰσχύν. καὶ ἐπειδὴ οὐ τοὺς 4
ὑπάτους ἔξεστι παῦσαι τῆς ἐξουσίας, τοὺς ἰδιώτας οἷς
πρὸς τὰ βίαια ὑπηρέταις ἐκεῖνοι χρῶνται καταστήσαν-
τες ὑπὸ δίκην, ἀνάδοτε τῷ δήμῳ τὰς περὶ αὐτῶν
ψήφους, αἰτιασάμενοι παρὰ τοὺς ἱεροὺς νόμους βιάζε-
σθαι καὶ καταλύειν ὑμῶν τὴν ἀρχήν.

2097 XXXX. Τοιαῦτ' εἰπόντος αὐτοῦ τὸ μὲν πλῆθος
οὕτως οἰκείως διετέθη πρὸς τοὺς λόγους καὶ τοσαύ-

1 καὶ λακτιζόμενοι om. A 2 ἀπηλάσθησαν Ba ἀπηλάθησαν ABb 3 καὶ ὑμεῖς ταῦτα πάσχοντας (ὁρῶντες) ἀνέχεσθε καὶ οὐ ζητεῖτε, ὅπως παρὰ τῶν (ταῦτα) τολμώντων λήψεσθε δίκας παρὰ τῶν ταῦτα τολμώντων c. Vassis Ἀθ. VIII p. 263 | post δίκας inserenda esse verba κἂν εἰ μηδενὶ ἄλλῳ Smit Obs. p. 46 cf. verba Grimmi Arch. Rom. Syn. ad hunc locum 7 aut λάβετε scribendum aut καὶ delendum esse c. Kiessling 9 *τὰ ἐναντία O correxi 11 αὐτοῦ] αὐτοὶ c. Cobet Obs. p. 197 14 κα⟨δίσ⟩κους B 15 post ψηφοφορίαν tres litterae erasae sunt B 17 τοὺς] του Ba

τὴν ἀπεδείξατο ἀγανάκτησιν πρὸς τὸ ἀντίπαλον, ὥσθ', ὅπερ ἔφην καὶ κατ' ἀρχάς, μηδὲ λόγον ἔτι βούλεσθαι
2 τῶν ἀντιλεξόντων ὑπομένειν. ὁ μέντοι δήμαρχος Ἰκίλλιος ἀναστὰς τὰ μὲν ἄλλα ἔφη πάντα ὀρθῶς εἰπεῖν Σίκκιον καὶ μακρὸν ἔπαινον τοῦ ἀνδρὸς διεξῆλθε· τὸ δὲ μὴ μεταδιδόναι λόγου τοῖς ἀντιλέξαι βουλομένοις οὔτε δίκαιον ἀπέφαινεν οὔτε πολιτικόν, ἄλλως τε καὶ περὶ νόμου τῆς ζητήσεως γινομένης, ὃς ἔμελλε κρείττονα ποιήσειν τὴν δίκην τῆς βίας. ταύτῃ γὰρ ἀφορμῇ χρήσεσθαι τοὺς μηδὲν ἴσως καὶ δικαίως τοῖς πολλοῖς φρονοῦντας τοῦ ταράττειν πάλιν καὶ διιστάναι τὰ
3 συμφέροντα τῆς πόλεως. ταῦτ' εἰπὼν καὶ τὴν ἐπιοῦσαν ἀποδείξας ἡμέραν τοῖς κατηγόροις τοῦ νόμου διέλυσε τὴν ἐκκλησίαν. οἱ δὲ ὕπατοι συναγαγόντες ἰδιωτικὸν συνέδριον πατρικίων τῶν ἀνδρειοτάτων τε καὶ μάλιστα ἐν τῇ πόλει τότ' ἀνθούντων ἐδίδασκον 2098
αὐτούς, ὡς κωλυτέος εἴη σφίσιν ὁ νόμος, λόγοις μὲν πρῶτον, ἐὰν δὲ μὴ πείθωσι τὸν δῆμον, ἔργοις. ἐκέλευόν τε ἅπασιν ἥκειν ἕωθεν εἰς τὴν ἀγορὰν ἅμα τοῖς ἑταίροις τε καὶ πελάταις, ὅσοις ἂν ἕκαστοι πλεί-
4 στοις δύνωνται. ἔπειτα τοὺς μὲν περὶ αὐτὸ τὸ βῆμα καὶ τὸ ἐκκλησιαστήριον ἑστῶτας ὑπομένειν, τοὺς δὲ κατὰ πολλὰ τῆς ἀγορᾶς μέρη συστρέψαντας ἑαυτοὺς διαστῆναι, ὥστε διειλῆφθαι τὸ δημοτικὸν διεσπασμένον καὶ κωλύεσθαι πρὸς αὐτῶν εἰς ἓν συνελθεῖν. ἐδόκει ταῦτα κράτιστα εἶναι, καὶ πρὶν ἡμέραν λαμπρὰν γενέσθαι τὰ πολλὰ τῆς ἀγορᾶς κατείχετο ὑπὸ τῶν πατρικίων.

10 χρήσασθαι AB χρήσεσθαι Hudson | ἴσον καὶ δίκαιον c. Cobet Obs. p. 197 20 ἑτ⟨αί⟩ροις Bb

XXXXI. Μετὰ ταῦτα οἵ τε δήμαρχοι καὶ οἱ ὕπα-
τοι παρῆσαν, καὶ λέγειν ὁ κῆρυξ ἐκέλευσε τὸν βου-
λόμενον τοῦ νόμου κατηγορεῖν. πολλῶν δὲ καὶ ἀγα-
θῶν ἀνδρῶν παριόντων οὐθενὸς ἐξάκουστος ἦν ὁ
λόγος ὑπὸ τοῦ θορύβου τε καὶ τῆς ἀκοσμίας τῶν ἐκ-
κλησιαζόντων. οἱ μὲν γὰρ ἐπεκέλευόν τε καὶ ἐπεθάρ-
ρυνον τοὺς λέγοντας, οἱ δ' ἐξέβαλλόν τε καὶ κατεβόων.
2099 ἐκράτει δὲ οὔτε ὁ τῶν συλλαμβανόντων ἔπαινος, οὔτε
ὁ τῶν ἀντιπραττόντων θόρυβος. ἀγανακτούντων δὲ 2
τῶν ὑπάτων καὶ μαρτυρομένων, ὅτι τῆς βίας ὁ δῆμος
ἄρχει λόγον οὐκ ἀξιῶν ὑπομένειν, ἀπελογοῦντο οἱ
δήμαρχοι πρὸς ταῦτα, ὅτι ἤδη πέμπτον ἔτος τῶν αὐ-
τῶν ἀκούοντες λόγων οὐθὲν ποιοῦσι θαυμαστόν, εἰ
μὴ ἀξιοῦσιν ὑπομένειν ἑώλους καὶ κατημαξευμένας
ἀντιλογίας. ὡς δὲ τὸ πλεῖον τῆς ἡμέρας εἰς ταῦτα 3
ἐδαπανήθη, καὶ ὁ δῆμος ἀπῄτει τὰς ψήφους, οὐκέτι
ἀνασχετὸν ἡγησάμενοι τὸ πρᾶγμα οἱ νεώτατοι τῶν
πατρικίων διίστασθαι τε βουλομένοις κατὰ φυλὰς τοῖς
δημόταις ἐμποδὼν ἐγίνοντο καὶ τὰ ἀγγεῖα τῶν ψήφων
τοὺς ἔχοντας ἀφῃροῦντο καὶ τῶν ὑπηρετούντων τοὺς
μὴ βουλομένους ταῦτα ἀφιέναι τύπτοντές τε καὶ
ὠθοῦντες ἐξέβαλλον. κεκραγότων δὲ τῶν δημάρχων 4
καὶ εἰς μέσους αὐτοὺς ὠθουμένων ἐκείνοις μὲν ὑπ-
εχώρουν καὶ παρεῖχον ὅποι βούλοιντο χωρεῖν ἀδεῶς,
2100 τοῦ δ' ἄλλου δήμου τὸ ἑπόμενον αὐτοῖς [καὶ τὸ κατ'

5 τῆς add. Bb 12 τῶν αὐτῶν λόγων AB τὸν αὐτὸν λόγον R τῶν αὐτῶν λόγον Kiessling haud dubie mendo typographico 14 κατημαξευμένας O cf. Krüger ad Dion. Hist. p. 491 24 βούλονται B βούλοιντο R 25 τότε ἑπομένου A ⟨τοῦ⟩ ἑπ⟨ο⟩μένου Bb τοὺς ἑπομένους Kiessling τοῦ δὲ ἄλλου δήμου τὸ ἑπόμενον αὐτοῖς — οὐ παρίεσαν Portus | verba inde ab καὶ τὸ κατ' ἄλλα usque ad ἐπ' αὐτοὺς om. AB

*ἄλλα καὶ ἄλλα μέρη τῆς ἀγορᾶς ὑπὸ θορύβου καὶ ἀταξίας κινούμενον ἐπ' αὐτοὺς] οὐ παρίεσαν, ὥστ'*
5 *ἀνωφελὴς ἦν ἡ τῶν ἀρχόντων βοήθεια. τέλος δ' οὖν ἐπεκράτησαν οἱ πατρίκιοι καὶ οὐκ εἴασαν ἐπικυρωθῆναι τὸν νόμον. οἱ δὲ προθυμότατα συλλαβέσθαι δόξαντες τοῖς ὑπάτοις ἐκ τριῶν οἰκιῶν ἦσαν, Ποστόμιοι καὶ Σεμπρώνιοι καὶ τρίτοι Κλοίλιοι, γένους τε ἀξιώσει λαμπρότατοι καὶ ἑταιρίαις μεγάλα δυνάμενοι πλούτῳ τε καὶ δόξῃ καὶ τοῖς κατὰ πόλεμον ἔργοις ἐπιφανεῖς· καὶ τοῦ μὴ κυρωθῆναι τὸν νόμον οὗτοι ὡμολογοῦντο αἰτιώτατοι γενέσθαι.*

XXXXII. *Τῇ δ' ἑξῆς ἡμέρᾳ παραλαβόντες οἱ δήμαρχοι τοὺς ἐπιφανεστάτους τῶν δημοτικῶν ἐσκόπουν, ὅ τι χρήσονται τοῖς πράγμασι, κοινὸν μὲν τοῦτο καὶ παρὰ πάντων ὁμολογούμενον εἰληφότες, τὸ μὴ* 2101
*τοὺς ὑπάτους ἄγειν ὑπὸ τὴν δίκην, ἀλλὰ τοὺς ὑπηρετοῦντας αὐτοῖς ἰδιώτας, ὧν κολαζομένων ἔμελλε τοῖς πολλοῖς τῶν πολιτῶν ἐλάττων ἔσεσθαι λόγος, ὥσπερ ὁ Σίκκιος ὑπετίθετο· περὶ δὲ τοῦ πλήθους τῶν ὑπὸ τὰς αἰτίας ἀχθησομένων ὅσον εἶναι χρή, καὶ περὶ τοῦ ὀνόματος ὃ θήσονται τῇ δίκῃ, καὶ μάλιστα περὶ τοῦ τιμήματος πηλίκον ἔσται τὸ μέγεθος, ἐπιμελῆ*
2 *ποιούμενοι ζήτησιν. οἱ μὲν οὖν χαλεπώτεροι τὰς φύσεις ἐπὶ τὸ μεῖζόν τε καὶ φοβερώτερον ἅπαντα ταῦτα προάγειν παρῄνουν, οἱ δ' ἐπιεικέστεροι τοὐναντίον ἐπὶ τὸ μετριώτερον καὶ φιλανθρωπότερον, ὁ*

2 *περίεσαν* A *παρεῖσαν* ut videtur Ba *παρῄσαν* Bb 8 *μεγάλα* O *μέγα* Cobet Obs. p. 197 14 *χρήσ⟨ο⟩νται* Bb | *καὶ τοῦτο καὶ* AB 16 *ὑπὸ*] *ἐπὶ* A | *τὴν δίκην*] *τὴν* delendum esse c. Garrer Obs. p. 75 | *τοῖς ὑπηρετοῦσιν αὐτοῖς ἰδιώταις* A 24 *φοβερώτατον* AB

δὲ ταύτης ἡγούμενος τῆς γνώμης καὶ πείσας αὐτοὺς
ἦν Σίκκιος, ὁ τοὺς ἐν τῷ δήμῳ περὶ τῆς κληρουχίας
διελθὼν λόγους. ἔδοξε δ' οὖν αὐτοῖς τὸ μὲν ἄλλο 3
πλῆθος τῶν πατρικίων ἐᾶσαι, Κλοιλίους δὲ καὶ Ποστο-
μίους καὶ Σεμπρωνίους ἐπὶ τὸν δῆμον ἄγειν, ὧν ἔπρα-
ξαν ὑφέξοντας δίκας· ἐγκαλεῖν δ' αὐτοῖς, ὅτι τῶν
2102 ἱερῶν νόμων, οὓς περὶ τῶν δημάρχων ἐκύρωσεν ἡ
βουλὴ καὶ ὁ δῆμος, οὐθενὶ δεδωκότων ἐξουσίαν ἀναγ-
κάζειν τοὺς δημάρχους ὑπομένειν τι τῶν ἀβουλήτων
ὥσπερ τοὺς ἄλλους πολίτας, ἐκεῖνοι κατασχόντες αὐ-
τοὺς ἐκώλυσαν ἐπὶ τέλος ἄγειν τὴν περὶ τοῦ νόμου
διάγνωσιν. τίμημα δ' ἐφάνη ταῖς δίκαις ὁρίσαι μήτε 4
θάνατον μήτε φυγὴν μήτ' ἄλλο ἐπίφθονον μηδέν, ἵνα
μὴ τοῦτ' αὐτοῖς γένηται σωτηρίας αἴτιον, ἀλλὰ τὰς
οὐσίας αὐτῶν ἱερὰς εἶναι Δήμητρος, τὸ μετριώτατον
ἐκλεξαμένοις τοῦ νόμου μέρος. ἐγίνετο ταῦτα, καὶ 5
παρῆν ὁ χρόνος, ἐν ᾧ τὰς κατὰ τῶν ἀνδρῶν ἔδει
συντελεῖσθαι δίκας. τοῖς δ' ὑπάτοις καὶ τῶν ἄλλων
πατρικίων τοῖς παραληφθεῖσιν εἰς τὸ συνέδριον —
ἔτυχον δ' οἱ κράτιστοι παρακληθέντες — ἐδόκει συγ-
χωρεῖν τοῖς δημάρχοις ἐπιτελέσαι τὰς δίκας, ἵνα μή
2103 τι μεῖζον κωλυθέντες ἐξεργάσωνται κακόν, καὶ τοῖς
δημόταις ἐπιτρέπειν ἀγριαινομένοις εἰς τὰ χρήματα
τῶν ἀνδρῶν ἐκχέαι τὴν χολήν, ἵνα τιθασώτεροι γέ-
νωνται τὸ λοιπόν, λαβόντες ὁποσηνοῦν παρὰ τῶν

2 *περὶ τῆς κληρουχίας* om. A 4 *κοιλίους* A hoc loco aliisque 6 *δίκην* A *δίκας* B 7 ⟨*οὓς*⟩ Bb | cf. Naber Mnem. 30, 255 12 *ἐφάνη* del. Cobet Obs. p. 197 sed cf. VIII 24, 4 alias et Cobet Obs. p. 159 20 *συγχωρεῖν* om. A 21 *ἐπιτελέσασθαι* B *ἐπιτελέσαι* R cf. X 18, 4 25 *ὁπόσην γοῦν* O *ὁπόσην οὖν* G. Krüger Index gr. gr. 1877 p. 263 | *παρ' ἐχθρῶν* B

ἐχθρῶν δίκην, ἄλλως τε καὶ τῆς εἰς χρήματα ζημίας εὐδιόρθωτον ἐχούσης τοῖς πεπονθόσι τὴν συμφοράν·
6 ὅπερ καὶ συνέβη. ἁλόντων γὰρ τῶν ἀνδρῶν ἐρήμους τὰς δίκας, ὅ τε δῆμος ἀγριαινόμενος ἐπαύσατο, καὶ τοῖς δημάρχοις ἐδόκει τις ἀποδεδόσθαι μετρία καὶ πολιτικὴ βοήθεια, τοῖς τε ἀνδράσι τὰς οὐσίας οἱ πατρίκιοι παρὰ τῶν ὠνησαμένων ἐκ τοῦ δημοσίου τῆς ἴσης λυσάμενοι τιμῆς ἀπέδοσαν. καὶ τὰ μὲν κατεπείγοντα δεινὰ τοῦτον τὸν τρόπον χρησαμένων τοῖς πράγμασιν αὐτῶν διελέλυτο.

XXXXIII. Μετ' οὐ πολὺ δὲ πάλιν τῶν δημάρχων τὸν ὑπὲρ τοῦ νόμου εἰσφερόντων λόγον αἰφνιδίως τις ἀπαγγελεῖσα πολεμίων ἔφοδος ἐπὶ τὴν τῶν Τυσκλάνων πόλιν, αἰτία κωλύσεως ἀποχρῶσα ἐγένετο. τῶν γὰρ 2104
Τυσκλάνων κατὰ πλῆθος εἰς τὴν Ῥώμην ἀφικομένων καὶ λεγόντων, ὅτι δυνάμει πολλῇ πάρεισιν ἐπ' αὐτοὺς Αἰκανοὶ καὶ τὴν μὲν χώραν αὐτῶν ἤδη διηρπάκασι, τὴν δὲ πόλιν, ἐὰν μή τις γένηται ταχεῖα ἐπικουρία, φθάσουσιν ἐντὸς ὀλίγων ἡμερῶν ἀράμενοι, ἡ μὲν βουλὴ τοὺς ὑπάτους αὐτοῖς ἐψηφίσατο βοηθεῖν ἀμφοτέρους, οἱ δ' ὕπατοι στρατολογίαν προθέντες ἐκάλουν τοὺς πο-
2 λίτας ἅπαντας ἐπὶ τὰ ὅπλα. ἐγένετο μὲν οὖν τις καὶ τότε στάσις ἐναντιουμένων τῇ καταγραφῇ τῶν δημάρχων καὶ τὰς ἐκ τῶν νόμων τιμωρίας οὐ συγχωρούντων ποιεῖσθαι κατὰ τῶν ἀπειθούντων· ἔπραξαν δ' οὐθέν.

5 μετρία γοῦν καὶ πολιτικὴ δύναμις καὶ O praeter AB 13 *ἀπαγγε⟨λθ⟩εῖσα Bb ἀγγελία A ἀγγελθεῖσα R ἀπαγγελεῖσα ego cf. Aar. Progr. p. 35 | τῶν om. B 15 κατὰ πλήθη O praeter B 19 αἰράμενοι Ba ⟨ἀ⟩ράμενοι Bb | ἡ μὲν οὖν O praeter A 22 οὖν τις καὶ τότε B οὖν καὶ τότε R 25 ἔπρα-ξ⟨ε⟩ν O ἔπραξαν Reiske

συνελθοῦσα γὰρ ἡ βουλὴ γνώμην ἀπεδείξατο, τοὺς πατρικίους ἐπὶ τὸν πόλεμον ἐξιέναι σὺν τοῖς ἑαυτῶν πελάταις, τῶν δ' ἄλλων πολιτῶν τοῖς μὲν βουλομένοις μετέχειν τῆς στρατείας ἐπὶ σωτηρίᾳ τῆς πατρίδος γινομένης ὅσια εἶναι τὰ πρὸς θεούς, τοῖς δ' ἐγκατα-
2105 λείπουσι τοὺς ὑπάτους τἀναντία. ὡς δ' ἀνεγνώσθη τὸ 3
δόγμα τῆς βουλῆς ἐν ⟨τῇ⟩ ἐκκλησίᾳ, πολλοὶ καὶ τοῦ δήμου τὸν ἀγῶνα ἑκόντες ὑπέμειναν· οἱ μὲν ἐπιεικέστατοι δι' αἰσχύνην, εἰ μηδὲν ἐπικουρήσουσι πόλει συμμάχῳ διὰ τὴν πρὸς αὐτοὺς εὔνοιαν ἀεί τι πρὸς τῶν ἐχθρῶν βλαπτομένῃ· ἐν οἷς ἦν καὶ ὁ Σίκκιος ἐκεῖνος ὁ κατηγορήσας ἐν τῷ δήμῳ τῶν σφετερισαμένων τὴν δημοσίαν γῆν, σπεῖραν ἐπαγόμενος ὀκτακοσίων ἀνδρῶν, οἳ στρατεύεσθαι μὲν. οὐκέτι ὥραν εἶχον, ὥσπερ οὐδ' ἐκεῖνος, οὐδ' ἔπιπτον ὑπὸ τὰς ἀνάγκας τῶν νόμων, τιμῶντες δὲ τὸν ἄνδρα διὰ πολλὰς καὶ μεγάλας εὐεργεσίας, ἐξιόντος ἐπὶ τὸν πόλεμον οὐκ ἐδικαίωσαν ἀπολείπεσθαι. καὶ ἦν τοῦτο τὸ μέρος 4
τῆς ἐξελθούσης τότε δυνάμεως ἐμπειρίᾳ τε ἀγώνων καὶ τῇ παρὰ τὰ δεινὰ εὐτολμίᾳ μακρῷ τοῦ ἄλλου ἄμεινον. οἱ δὲ πολλοὶ χάριτι καὶ παρακλήσει τῶν
2106 πρεσβυτάτων ὑπαχθέντες εἵποντο. ἦν δέ τι μέρος, ὃ τῶν ὠφελειῶν ἕνεκα τῶν ἐν ταῖς στρατείαις γινομένων πάντα κίνδυνον ἕτοιμον ἦν ὑπομένειν. καὶ δι' ὀλίγου χρόνου δύναμις ἐξῆλθε πλήθει τε ἀποχρῶσα καὶ παρασκευαῖς κεχρημένη λαμπροτάταις. οἱ μὲν οὖν 5

7 τῇ add. Reiske 10 συμμάχων B | ἑαυτοὺς Ba
15 ⟨εἶχον⟩ B 22 ἦν δὲ καί τι μέρος Cobet Obs. p. 198
26 κεχρημένη O ἐξηρτυμένη c. Grasberger Philol. 28 (1869) 347, κεκοσμημένη c. Garrer Obs. p. 40, κεχορηγημένη c. Schenkl Bursiani librorum annal. breviarium p. 48, sed mea quidem sententia nihil mutandum est

πολέμιοι προακούσαντες, ὅτι μέλλουσιν ἐπ' αὐτοὺς
ἐξάγειν Ῥωμαῖοι στρατιάν, ἀπῆγον ἐπ' οἴκου τὰς δυ-
νάμεις. οἱ δ' ὕπατοι κατὰ σπουδὴν ἐλαύνοντες κατα-
λαμβάνουσιν ἐστρατοπεδευκότας αὐτοὺς πόλεως Ἀντίου
πλησίον ἐν ὑψηλῷ καὶ ἀποτόμῳ χωρίῳ καὶ τίθενται
6 τὴν παρεμβολὴν τῆς ἐκείνων οὐ πρόσω. τέως μὲν
οὖν ἐν ταῖς ἑαυτῶν ἐπέμενον ἀμφότεροι παρεμβολαῖς,
ἔπειτα καταφρονήσαντες τῶν Ῥωμαίων Αἰκανοὶ τῆς οὐ
προεπιχειρήσεως καὶ πλῆθος οὐχ ἱκανοὺς εἶναι νομί- 2107
σαντες ἀγορᾶς τ' αὐτῶν περιέκοπτον ἐξιόντες καὶ τοὺς
ἐπὶ προνομὴν ἀποστελλομένους ἢ χόρτον ἵπποις ἀν-
εκρούοντο καὶ <τοῖς> πρὸς ὑδρείαν καταβαίνουσιν
αἰφνιδίως ἐπετίθεντο, προὐκαλοῦντό τ' αὐτοὺς πολλά-
κις εἰς μάχην.

XXXXIIII. Ταῦθ' ὁρῶσι τοῖς ὑπάτοις ἐδόκει μηκέτι
διατρίβειν τὸν πόλεμον. ἦν δ' ἐν ἐκείναις ταῖς ἡμέραις
ἡ τοῦ πολεμεῖν ἐξουσία Ῥωμιλίῳ προσήκουσα, καὶ ὁ
τὸ σύνθημα διδοὺς καὶ εἰς τάξιν καθιστὰς ἄρχειν τε
καὶ παύεσθαι μάχης τὸν καιρὸν ταμιεύων ἐκεῖνος ἦν·
ὃς ἐπειδὴ τὰ σημεῖα ἐκέλευσεν ἀρθῆναι ἐκ τῆς μάχης 2108
καὶ προῆγεν ἐκ τοῦ χάρακος τὸν στρατόν, τοὺς μὲν
ἄλλους ἔτασσεν ἱππεῖς τε καὶ τοὺς πεζοὺς κατὰ σπείρας
ἐν τοῖς ἐπιτηδείοις ἑκάστους τόποις, τὸν δὲ Σίκκιον
2 καλέσας λέγει· Ἡμεῖς μέν, ὦ Σίκκιε, μαχούμεθα τοῖς
πολεμίοις ἐνθάδε, σὺ δ' ἐν ὅσῳ μέλλομεν ἔτι καὶ

4 ἀνίου πλησίον ἐν ὑψηλῷ B ἀντίου ἐν ὑψηλῷ πλησίον A 7 ἐπέμενον AB ὑπέμενον R 8 .τῇ οὐ Ba ut videtur τῆς ///Bb 11 προνομὴν B νομὴν R | ἵπποις O ἱππεῖς Vassis Ἀθ. VIII p. 263 12 τοῖς add. Kiessling 16 πόλεμον] χρόνον Reiske 17 ῥωμ<ιλί>ῳ B 18 τοῦ ἄρχειν Reiske 19 ταμ<ιεύ>ων Bb 20 ἐκ del. Sylburg 21 προσῆγεν B προήγαγεν c. Kiessling 25 <σὺ δ' ἐν ὅσῳ> B

παρασκευαζόμεθα τὰ πρὸς τὸν ἀγῶνα ἀμφότεροι, χώρει
τὴν πλαγίαν ἐκείνην ὁδὸν ἐπὶ τὸ ὄρος, ἔνθα ἡ τῶν
πολεμίων ἐστὶ παρεμβολή, καὶ μάχην τίθεσο πρὸς τοὺς
ἐν τῷ χάρακι, ἵν' ᾖ περὶ τῷ φρουρίῳ δείσαντες οἱ
πρὸς ἡμᾶς μαχόμενοι καὶ βοηθεῖν προθυμούμενοι νῶτά
τε δείξωσι καὶ εὐκατέργαστοι γένωνται, καθάπερ εἰκὸς
ἐν ἀναχωρήσει ταχείᾳ, καὶ εἰς μίαν ὁδὸν ἅπαντες βια-
ζόμενοι, ἢ μένοντες αὐτόθι τὸν χάρακα ἀποβάλωσιν.
2109 οὔτε γὰρ ἡ φυλάττουσα αὐτὸν δύναμις ἀξιόμαχός 3
ἐστιν, ὡς εἰκάσειεν ἄν τις, ἐπὶ τῷ ἐρυμνῷ τοῦ τόπου
δοκοῦσα εἶναι πᾶν τὸ ἀσφαλές· ἥ τε ἅμα σοι δύναμις
ἀποχρῶσα γένοιτ' ἄν, ἄνδρες ὀκτακόσιοι πολλῶν ἀθλη-
ταὶ πολέμων, τεταραγμένους σκηνοφύλακας ἀπροσδόκη-
τοι προσπεσόντες τῷ τολμηρῷ ἑλεῖν. καὶ ὁ Σίκκιος 4
ἔφησεν· Ἀλλ' ἔγωγε ἅπαντα μὲν ἕτοιμος ὑπηρετεῖν·
τὸ μέντοι ἔργον οὐ ῥᾴδιον ὥσπερ σοι δοκεῖ. ὑψηλή
τε γὰρ ἡ πέτρα καὶ ἀπότομος, ἐφ' ἧς ὁ χάραξ, ὁδόν
τε οὐδεμίαν ὁρῶ φέρουσαν ἐπ' αὐτοὺς ἔξω τῆς μιᾶς,
ᾗ καταβήσονται οἱ πολέμιοι πρὸς ἡμᾶς, φυλακήν τ'
εἰκὸς ἀξιόμαχον εἶναι ἐν αὐτῇ· κἂν ὀλίγη δὲ πάνυ καὶ
φαύλη τις οὖσα τύχῃ, πρὸς πολλῷ πλείονα ἢ τὴν σὺν
ἐμοὶ δύναμιν ἀντέχειν οἵα τε ἔσται, τό τε χωρίον αὐτὸ
παρέξει τῇ φυλακῇ τοῦ μὴ ἁλώσεσθαι τὸ ἀσφαλές.
ἀλλὰ μάλιστα μὲν ἀνάθου τὴν γνώμην — ἡ πεῖρα γὰρ 5
2110 ἐπισφαλής — εἰ δὲ πάντως ἔγνωσταί σοι δύο τίθεσθαι
μάχας ἐν ἑνὶ καιρῷ, δύναμιν ἀξιόχρεων ἀνδρῶν ἐπι-
λέκτων τάξον ἀκολουθεῖν μοι σὺν τοῖς πρεσβυτέροις.

4 ἵν' Ba ἵνα ABb 5 μαχούμενοι Portus 6 verba εὐκατέργαστοι γένωνται post βιαζόμενοι ponenda esse Sylburg censet 8 τὸν om. Ba 18 ἐπ' αὐτοὺς ABa ἐπ' αὐτὸν Bb ἐπ' αὐτὴν Kiessling 20 ἐν αὐτῷ Reiske 25 ἔγνως ται/// οι Ba

οὐ γὰρ κλέψοντες τὸ χωρίον, ἀλλὰ βίᾳ καὶ φανερῶς ἐξελοῦντες ἄνιμεν.

XXXXV. Ἔτι δ' αὐτοῦ βουλομένου λέγειν τἀκόλουθα ὑπολαβὼν ὁ ὕπατος εἶπεν· Οὐ πολλῶν δεῖ λόγων, ἀλλ' εἰ μὲν ὑπομένεις πράττειν τὰ προσταττόμενα, χώρει διὰ ταχέων καὶ μὴ παραστρατήγει, εἰ δὲ ἀφίστασαι καὶ ἀποδιδράσκεις τὸν κίνδυνον, ἑτέροις
2 εἰς τὸ ἔργον χρήσομαι. σὺ δὲ τὰς ἑκατὸν εἴκοσι μάχας ἀγωνισάμενος καὶ τὰ τετταράκοντα ἔτη στρατευσάμενος καὶ κατατετρωμένος ὅλον τὸ σῶμα, ἐπειδὴ ἑκὼν ἦλθες, ἄπιθι μήτε ὁμιλήσας πολεμίοις μήτ' ἰδὼν καὶ ἀντὶ τῶν ὅπλων ἀκόνα πάλιν τοὺς λόγους, οἷς χρήσῃ κατὰ
3 τοῦ φθόνου τῶν πατρικίων. ποῦ νῦν ἐκεῖνά σου τὰ πολλὰ ἀριστεῖα, ⟨οἱ⟩ στρεπτοὶ καὶ τὰ ψέλλια καὶ τὰ δόρατα καὶ τὰ φάλαρα καὶ οἱ τῶν ὑπάτων στέφανοι 2111
καὶ τὰ ἐκ τῶν μονομαχιῶν λάφυρα καὶ πᾶσα ἡ ἄλλη βαρύτης, ἣν τότ' ἠνεσχόμεθά σου λέγοντος; ἐν ἑνὶ γὰρ δὴ τῷδε τῷ ἔργῳ βασανιζόμενος, ἔνθα κίνδυνος ἦν ἀληθινός, ἐξητάσθης οἷος ἦσθα, ὡς ἀλάζων καὶ δόξῃ
4 τὸ ἀνδρεῖον ἐπιτηδεύων, οὐκ ἀληθείᾳ. καὶ ὁ Σίκκιος δυσανασχετῶν ἐπὶ τοῖς ὀνείδεσιν· Οἶδα, φησίν, ὦ Ῥωμίλιε, ὅτι δυεῖν πρόκειταί σοι θάτερον ἢ ζῶντα

2 ἐξαιροῦντες ἄνιμεν A ἐξελοῦν⟨τες ἄνιμεν⟩ Bb 7 τὸν κίνδυνον om. A 12 κατὰ τοῦ φθόνου AB om. R cf. Cobet Obs. p. 198 14 οἱ add. Reiske ¦ ψέλια AB 16 πᾶσα ἡ ἄλλη B πᾶσα ἄλλη R 19 ἐξ⟨η⟩τάσθης Bb | ὡς ἀλάζων add. B 22 πρόκειταί σοι θάτερον ἢ ζῶντα διεργάσασθαι O πρόκειταί μοι θ. ἢ ζ. διεργάσθαι Kiessling; ἀποδοῦναι Kiesslingio multisque aliis corruptum videtur esse; hic εἰς τὸ μηδὲν ἀποδοθῆναι conicit, τὸ μηδὲν ἀποδεδεῖχθαι Kayser Ann. phil. 1870, 723; τὸ μηδὲν ἔτι εἶναι c. Cobet Obs. p. 198. At verba sana sunt; ἀποδοῦναι idem valet atque 'reddere, efficere'. cf. VI 16, 5; IX 8, 1; de vi vocis τὸ μηδὲν cf. Kühner gr. gr. II² 55, 2. Rectissime de his verbis Reiske iudicat.

διεργάσασθαι καὶ τὸ μηδὲν ἀποδοῦναι δόξαν αἰσχίστην
ἐνεγκάμενον δειλίας, ἢ κακῶς καὶ ἀδήλως κατακοπέντα
ὑπὸ τῶν πολεμίων ἀποθανεῖν, ἐπειδὴ κἀγώ τις ἔδοξα
2112 εἶναι τῶν ἀξιούντων ἐλεύθερα φρονεῖν· οὐ γὰρ εἰς
ἄδηλον, ἀλλ' εἰς ἐγνωσμένον ἀποστέλλεις με θάνατον·
πλὴν ὑπομενῶ καὶ τοῦτο τὸ ἔργον καὶ πειράσομαι 5
φανεὶς ψυχὴν οὐ κακὸς ἢ κρατῆσαι τοῦ χάρακος, ἢ
μὴ τυχὼν τῆς ἐλπίδος εὐγενῶς ἀποθανεῖν. ὑμᾶς δ',
ὦ συστρατιῶται, μάρτυρας ἀξιῶ γενέσθαι μοι πρὸς
τοὺς ἄλλους πολίτας, ἐὰν πύθησθε τὸν ἐμὸν μόρον,
ὅτι με ἀπώλεσεν ἡ ἀρετὴ καὶ ἡ πολλὴ τῶν λόγων
ἐλευθερία. Ταῦτα πρὸς τὸν ὕπατον ἀποκρινάμενος 6
καὶ δακρύσας τούς τε συνήθεις ἅπαντας ἀσπασάμενος
ᾤχετο τοὺς ὀκτακοσίους ἄνδρας ἄγων κατηφεῖς καὶ
δεδακρυμένους ὡς τὴν ἐπὶ θανάτῳ πορευομένους· καὶ
ἡ ἄλλη δὲ πᾶσα στρατιὰ δι' οἴκτου τὸ πρᾶγμα ἔλαβεν
ὡς οὐκέτι ὀψομένη τοὺς ἄνδρας.

XXXXVI. Ὁ δὲ Σίκκιος ἑτέραν ἀποστραφείς, οὐχ
ἣν ὁ Ῥωμίλλιος ὑπελάμβανε, παρὰ τὴν λαγόνα τοῦ
ὄρους ἦγεν. ἔπειτα — ἦν γάρ τις δρυμὸς ὕλην βα-
θεῖαν ἔχων — εἰς τοῦτον ἄγων τοὺς ἄνδρας ἵσταταί
τε καί φησιν· Ὑπὸ μὲν τοῦ ἡγεμόνος ἀπεστάλμεθα,
2113 ὥσπερ ὁρᾶτε, ἀπολούμενοι. ἐδόκει γὰρ ἡμᾶς τὴν
πλαγίαν χωρήσειν ὁδόν, ἣν ἀναβαίνοντας ἀμήχανον
ἦν μὴ οὐ φανεροὺς τοῖς πολεμίοις γενέσθαι. ἐγὼ δ'
ὑμᾶς ἄξω κατ' ἄδηλον τοῖς ἐχθροῖς ὁδὸν καὶ πολλὰς

3 τις O εἷς Cobet Obs. p. 198 5 εἰ<ς ἐ>γνωσμένον B | quinque litterae erasae sunt; in Ba fuisse videtur εἰς κατεγνωσμένον 17 οὐκέτι AB 18 ἀποστραφεὶς] ἀποτραπεὶς c. Cobet Obs. p. 198 21 ἄγων] ἀγαγὼν c. Kiessling 22 τε add. A 26 καὶ ἄδηλον O καὶ aut del. aut in κατ' mutandum esse c. Reiske, ἄξω ἄδηλον καὶ τοῖς c. Cobet Obs. p. 198

ἐλπίδας ἔχω τρίβων ἐπιλήψεσθαί τινων, αἳ κατὰ
κορυφῆς ἄξουσιν ἡμᾶς ἐπὶ τὸν χάρακα· καὶ ἐλπίδας
2 χρηστὰς ἔχετε. Ταῦτ' εἰπὼν ἦγε διὰ τοῦ δρυμοῦ, καὶ
πολὺν ἤδη διεληλυθὼς τόπον εὑρίσκει κατὰ δαίμονα
ἄνδρα ἐξ ἀγροῦ ποθεν ἀπιόντα, ὃν τοῖς νεωτάτοις
συλλαβεῖν κελεύσας ἡγεμόνα ποιεῖται τῆς ὁδοῦ. κἀκεῖ-
νος αὐτοὺς ἄγων περὶ τὸ ὄρος σὺν πολλῷ χρόνῳ
καθίστησιν ἐπὶ τὸν παρακείμενον τῷ χάρακι λόφον,
3 ὅθεν ἦν ταχεῖα καὶ εὐεπίφορος ἐπ' αὐτὸν ὁδός. ἐν
ᾧ δὲ ταῦτ' ἐγίνετο χρόνῳ, συνῆσαν αἵ τε τῶν Ῥω-
μαίων καὶ αἱ τῶν Αἰκανῶν δυνάμεις ὁμόσε καὶ κατα-
στᾶσαι ἐμάχοντο, πλήθει τ' ἀγχώμαλοι οὖσαι καὶ
ὁπλισμοῖς καὶ προθυμίαν παρεχόμεναι τὴν αὐτήν· καὶ
διέμειναν ἐπὶ πολὺν χρόνον ἰσόρροποι, τοτὲ μὲν ἐπι-
βαίνοντες ἀλλήλοις, τοτὲ δ' ὑποχωροῦντες, ἱππεῖς τε
ἱππεῦσι καὶ πεζοὶ πεζοῖς, καὶ ἔπεσον ἐξ ἑκατέρων 2114
4 ἄνδρες ἐπιφανεῖς. ἔπειτα κρίσιν λαμβάνει ὁ πόλεμος
ἐπιτελῆ. ὁ γὰρ Σίκκιος καὶ οἱ σὺν αὐτῷ, ἐπειδὴ
πλησίον ἐγένοντο τῆς παρεμβολῆς τῶν Αἰκανῶν, ἀφύ-
λακτον εὑρόντες ἐκεῖνο τὸ μέρος τοῦ χάρακος — ἐπὶ
γὰρ θάτερα τὰ πρὸς τοὺς μαχομένους ἐστραμμένα μέρη
πᾶσα ἡ φυλάττουσα αὐτὸν δύναμις ἐτράπετο κατὰ θέαν
τοῦ ἀγῶνος — ἐπεισπεσόντες κατὰ πολλὴν εὐπέτειαν
5 κατὰ κορυφῆς γίνονται τῶν φυλάκων. ἔπειτ' ἀλαλά-
ξαντες ἔθεον ἐπ' αὐτούς· οἱ δ' ὑπὸ τοῦ παρ' ἐλπίδα

1 κατὰ κορυφὴν O corr. Reiske 5 ἀπιόντα O ἐπιόντα c. Grasberger Philol. 28 (1869) 347, ἀνιόντα Kayser Ann. phil. 1870, 722 7 ἐπὶ τὸ ὄρος A | σὺν πολλῷ πόνῳ χρόνῳ c. Reiske 8 παρακείμενον O ἐπικείμενον vel ὑπερκείμενον c. Reiske cf. Jacoby Obs. p. 333 10 ἐγ⟨ί⟩νετο Bb 13 παρεχόμενοι AB παρεχόμεναι R 20 ἐκεῖνο add. B 21 τετραμμένα c. Cobet Obs. p. 198

δεινοῦ ἐκταραχθέντες καὶ οὐ τοσούτους εἶναι δόξαντες,
ἀλλὰ τὸν ἕτερον ἥκειν ὕπατον ἄγοντα τὴν σὺν αὐτῷ
δύναμιν, ἐρρίπτουν ἔξω τοῦ χάρακος ἑαυτούς, οὐδὲ τὰ
ὅπλα οἱ πολλοὶ φυλάξαντες. οἱ δὲ περὶ τὸν Σίκκιον
τοὺς καταλαμβανομένους αὐτῶν φονεύοντες καὶ τοῦ
χάρακος κρατήσαντες ἐχώρουν ἐπὶ τοὺς ἐν τῷ πεδίῳ.
οἱ δὲ Αἰκανοὶ τοῦ χάρακος τὴν ἅλωσιν ἀπό τε τῆς 6
φυγῆς καὶ τῆς κραυγῆς τῶν σφετέρων αἰσθόμενοι καὶ
μετ' οὐ πολὺ κατὰ νώτου σφίσι τοὺς πολεμίους ἐπι-
όντας ὁρῶντες, οὐκέτι γενναῖον οὐδὲν ἀπεδείξαντο,
2115 ἀλλὰ διασπάσαντες τὰς τάξεις ἔσῳζον ἑαυτοὺς ἄλλοι
κατ' ἄλλας ὁδούς· ἔνθα ὁ πλεῖστος αὐτῶν ἐγίνετο
φόνος. οὐ γὰρ ἀνίεσαν οἱ Ῥωμαῖοι μέχρι νυκτὸς διώ-
κοντές τε καὶ κτείνοντες ⟨τοὺς⟩ ἁλισκομένους. ὁ δὲ 7
πλείστους τ' αὐτῶν διαφθείρας καὶ λαμπρότατα ἔργα
ἀποδειξάμενος Σίκκιος ἦν, ὅς, ἐπειδὴ τέλος ἑώρα τὰ
τῶν πολεμίων ἔχοντα σκότους ὄντος ἤδη, τὴν σπεῖραν
ἄγων ἐπὶ τὸν κρατηθέντα ὑπὸ σφῶν χάρακα ἀνέστρεφε
μεγάλης χαρᾶς καὶ πολλοῦ μεστὸς ὢν αὐχήματος. οἵ 8
τε περὶ αὐτὸν ἀθρόοι καὶ ἀβλαβεῖς πάντες οὐ μόνον
οὐδὲν παθόντες ὧν προσεδόκησαν, ἀλλὰ καὶ δόξαν
ἐπιφανεστάτην ἐξενεγκάμενοι, πατέρα καὶ σωτῆρα καὶ
θεὸν καὶ πάντα τὰ τιμιώτατα ὀνομάζοντες ἀπλήστως
2116 εἶχον ἀσπασμῶν τε τοῦ ἀνδρὸς καὶ τῶν ἄλλων φιλο-
φρονήσεων [ἡδονάς]. ἐν δὲ τούτῳ καὶ ἡ ἄλλη τῶν

12 ἐγένετο A ἐγ⟨ί⟩νετο B 13 ἀνήεσαν Bb 14 τοὺς om. O add. Sylburg 16 ἐπιδειξάμενος A 20 πάντες O ἅπαντες Kiessling 23 θ⟨εὸν⟩ Bb | πάντ⟨α τὰ⟩ Bb 24 τοὺς ἄνδρας A | καὶ τῶν ἄλλων φιλοφρονήσεων ἡδονὰς O καὶ τῆς ἐκ τῶν ἄλλων φιλοφρονήσεων ἡδονῆς Reiske καὶ τῶν ἄλλων φ. voce ἡδονὰς deleta Cobet Obs. p. 198

Ῥωμαίων φάλαγξ ἅμα τοῖς ὑπάτοις ἀπὸ τῆς διώξεως ἀνέστρεφεν ἐπὶ τὸν ἑαυτῆς χάρακα.

XXXXVII. Μέσαι τ' ἤδη νύκτες ἦσαν, καὶ ὁ Σίκκιος μνησικακῶν τοῖς ὑπάτοις τῆς ἐπὶ τὸν θάνατον ἀποστολῆς εἰς νοῦν βάλλεται τὴν δόξαν ἀφελέσθαι τοῦ κατορθώματος. κοινωσάμενος δὲ τοῖς ἀμφ' αὐτὸν ἣν εἶχε διάνοιαν, ἐπειδὴ πᾶσιν ὀρθῶς ἐφαίνετο, καὶ οὐθεὶς ἦν ὃς οὐκ ἐθαύμαζε τῆς τε φρονήσεως καὶ τῆς τόλμης τὸν ἄνδρα, λαβὼν τὰ ὅπλα καὶ τοὺς ἄλλους κελεύσας ἀναλαβεῖν, πρῶτον μὲν ἀνθρώπους ὅσους ἐν τῷ χάρακι κατέλαβε τῶν Αἰκανῶν καὶ ἵππους καὶ τἄλλα ὑποζύγια κατέκοψεν· ἔπειτα ὑφῆψε τὰς σκηνὰς ὅπλων τε καὶ σίτου καὶ ἐσθῆτος καὶ τῶν εἰς τὸν πόλεμον ἐπιτηδείων γεμούσας τῶν τε ἄλλων χρημάτων, ὧν ἐκ τῆς Τυσκλάνων λείας ἐπήγοντο πολλῶν
2 πάνυ ὄντων. ὡς δ' ἅπαντα ὑπὸ τοῦ πυρὸς ἠφάνιστο,
περὶ τὸν ὄρθρον ἀπῄει φέρων οὐθὲν ὅτι μὴ τὰ ὅπλα, 2117
καὶ διανύσας σπουδῇ τὴν ὁδὸν εἰς Ῥώμην παρῆν. ὡς
δ' ὤφθησαν ἄνθρωποι καθωπλισμένοι παιανίζοντές τε
καὶ σπουδῇ χωροῦντες αἵματι πολλῷ πεφυρμένοι,
δρόμος ἐγίνετο καὶ πολλὴ προθυμία τῶν βουλομένων
3 ἰδεῖν τ' αὐτοὺς καὶ τὰ πραχθέντα ἀκοῦσαι. οἱ δὲ
μέχρις ἀγορᾶς ἐλθόντες ἐδήλωσαν τοῖς δημάρχοις τὰ
γενόμενα, κἀκεῖνοι συναγαγόντες ἐκκλησίαν ἐκέλευον
αὐτοὺς πρὸς ἅπαντας λέγειν. ὄχλου δὲ πολλοῦ συν-

1 ἀπὸ om. AB ἐκ τῆς διώξεως c. Kayser Ann. phil. 1870, 723 3 μέσ⟨αι⟩ Bb 7 ὀρθῶς om. B | ἐφαίνετο βεβουλεῦσθαι Reiske, ὀρθῶς ἔχειν ἐφαίνετο c. Kayser l. l. 10 μὲν om. AB 16 *δὲ ἅπαντα AB δὲ πάντα Kiessling 19 καθοπλισμένοι B 20 χωροῦντες καὶ αἵματι Kiesslingiana editio, sed unde καὶ orta sit nescio 23 μέχρι⟨ς⟩ Bb 24 συναγαγόντες εἰς ἐκκλησίαν B τὸν δῆμον addendum esse c. Kiessling

αχθέντος παρελθὼν ὁ Σίκκιος τήν τε νίκην αὐτοῖς
ἐδήλωσε καὶ τὸν τρόπον τοῦ ἀγῶνος ἐνεφάνισε, καὶ
ὅτι παρὰ τὴν ἰδίαν ἀρετὴν καὶ τῶν σὺν αὐτῷ πρε-
σβυτέρων ἀνδρῶν ὀκτακοσίων, οὓς ἀποθανουμένους
ἀπέστειλαν οἱ ὕπατοι, ὅ τε χάραξ ὁ τῶν Αἰκανῶν
ἐλήφθη καὶ ἡ δύναμις ἡ παραταξαμένη τοῖς ὑπά-
τοις ἠναγκάσθη φυγεῖν· ἠξίου τε αὐτοὺς μηδενὶ τῆς 4
νίκης ἑτέρῳ τὴν χάριν εἰδέναι καὶ τελευτῶν ἔτι προσ-
έθηκεν ἐκεῖνον τὸν λόγον, ὅτι τὰς ψυχὰς καὶ τὰ ὅπλα
2118 σῴζοντες ἥκομεν, ἄλλο δὲ οὐδὲν τῶν κεκρατημένων
οὔτε μεῖζον οὔτ' ἔλαττον ἐξενεγκάμενοι. ὁ δὲ δῆμος 5
ἀκούσας τὸν λόγον εἰς οἶκτόν τε καὶ δάκρυα προὔπεσεν
ὁρῶν μὲν τὰς ἡλικίας τῶν ἀνδρῶν, ἐνθυμούμενος δὲ
τὰς ἀρετάς, ἀγανακτῶν δὲ καὶ νεμεσῶν τοῖς ἐπιβαλο-
μένοις τοιούτων ἀνδρῶν ἐρημῶσαι τὴν πόλιν. ἐγεγόνει
δέ, ὃ προὔλαβεν ὁ Σίκκιος, μῖσος εἰς τοὺς ὑπάτους ἐξ
ἁπάντων τῶν πολιτῶν. οὐδὲ γὰρ ἡ βουλὴ τὸ πρᾶγμα 6
μετρίως ἤνεγκεν, ἣ οὔτ' ἐψηφίσατο αὐτοῖς πομπὴν
θριάμβων οὔτε ἄλλο τι τῶν ἐπὶ καλοῖς ἀγῶσι γινο-
μένων. τὸν μέντοι Σίκκιον ὁ δῆμος, ἐπειδὴ καθῆκεν
ὁ τῶν ἀρχαιρεσίων καιρός, δήμαρχον ἀπέδειξεν, ἧς
κύριος ἦν τιμῆς ἀποδιδούς. καὶ τὰ μὲν ἐπιφανέστατα
τῶν τότε πραχθέντων τοιάδ' ἦν.

XXXXVIII. Ἐν δὲ τῷ μετὰ τούτους τοὺς ὑπάτους
ἔτει Σπόριος Ταρπήιος καὶ Αὖλος Τερμήνιος παρα-
2119 λαμβάνουσι τὴν ἀρχήν· οἵ τά τ' ἄλλα θεραπεύοντες

6 ἡ om. AB   8 τὴν ante χάριν om. B   11 οὔτε μικρὸν οὔτε μεῖζον A οὔτε μεῖζον οὔτε ἔλαττον B   17 οὐδὲ γὰρ οὐδ' ἡ βουλὴ τὸ πρᾶγμα c. Gelenius   20 post δῆμος tres fere litterae erasae sunt   21 ἀπέδειξαν B   24 τοὺς ὑπάτους om. A

τὸν δῆμον διετέλεσαν καὶ τὸ περὶ τῶν δημάρχων δόγμα προεβούλευσαν, ἐπειδὴ πλέον μὲν οὐδὲν ἑώρων τοῖς πατρικίοις γινόμενον ἐκ τοῦ κωλύειν, ἀλλὰ καὶ φθόνον καὶ μῖσος, καὶ βλάβας δὲ ἰδίας καὶ συμφορὰς
2 τοῖς προθυμότατα ὑπὲρ αὐτῶν ἀγωνιζομένοις. μάλιστα δ' αὐτοὺς εἰς δέος ἤγαγεν ἡ τῶν ὑπατευσάντων τὸν παρελθόντα ἐνιαυτὸν συμφορὰ νεωστὶ γενομένη δεινὰ μὲν ὑπὸ τοῦ δήμου παθόντων, οὐδεμίαν δὲ παρὰ τῆς βουλῆς εὑρομένων βοήθειαν. Σίκκιος μὲν γὰρ ὁ τὸν Αἰκανῶν στρατὸν αὐτῷ χάρακι ἀράμενος δήμαρχος τότ' ἀποδειχθείς, ὥσπερ ἔφην, τῇ πρώτῃ τῆς ἀρχῆς ἡμέρᾳ 2120
θύσας εἰσιτήρια κατὰ νόμον, πρὶν ὁτιοῦν ἄλλο διαπράξασθαι τῶν κοινῶν, προεῖπεν ἐν ἐκκλησίᾳ Τίτον Ῥωμίλιον ἥκειν ἀπολογησόμενον ἀδικήματος δημοσίου δίκην ἐπὶ δικαστῇ τῷ δήμῳ, τὸν χρόνον ἀποδείξας
3 τοῦ ἀγῶνος. Λεύκιος δὲ τότ' ἀγορανομῶν, δήμαρχος δὲ τῷ παρελθόντι ἔτει γεγονώς, τὸν ἕτερον τῶν περυσινῶν ὑπάτων Γάιον Οὐετούριον εἰς ὁμοίαν δίκην προσεκαλέσατο. πολλῆς δὲ γενομένης ἐν τῷ μεταξὺ τοῦ ἀγῶνος χρόνῳ σπουδῆς τε καὶ παρακλήσεως ἀμφοτέρων οἱ μὲν ὑπόδικοι πολλὰς ἐλπίδας εἶχον ἐπὶ τῇ βουλῇ καὶ τὸ κινδύνευμα ἐν ἐλαφρῷ ἐποιοῦντο, ὑπισχνουμένων αὐτοῖς πρεσβυτέρων τε καὶ νέων οὐκ
4 ἐάσειν τὸν ἀγῶνα ἐπιτελεσθῆναι. οἱ δὲ δήμαρχοι πάντα ἐκ πολλοῦ φυλαττόμενοι καὶ οὔτε δεήσεις οὔτε

1 περὶ τῶν ἀρχῶν c. Sylburg παρὰ τῶν c. Niebuhr hist. rom. II p. 251 et 497 10 χάρακ⟨ι ἀ⟩ράμενος B 12 σωτήρια O εἰσιτήρια Reiske 14 ῥωμ⟨ίλι⟩ον B 16 Kiesslingius qui Λεύκιος corruptum esse censet Γενύκιος conicit; apud Livium III 31 L. Allienus legitur, quod nomen post δὲ Lapus et Gelenius inseruerunt 17 περισυνῶν Ba 19 προεκαλέσατο O corr. Reiske cf. VII 45, 2 21 ὑπόδικοι ABa ὑπατικοὶ Bb

ἀπειλὰς οὔτε κίνδυνον οὐδένα ὑπολογιζόμενοι, ἐπειδὴ
καθῆκεν ὁ τοῦ ἀγῶνος καιρός, ἐκάλουν τὸν δῆμον·
2121 ἦν δὲ παλαίτερον ἔτι συνερρυηκὼς ἐκ τῶν ἀγρῶν ὁ
χερνήτης καὶ αὐτουργὸς ὄχλος, καὶ προσνεμηθεὶς τῷ
κατὰ πόλιν τήν τε ἀγορὰν ἐνέπλησε καὶ τοὺς φέροντας
εἰς αὐτὴν στενωπούς.

XXXXVIIII. Πρώτη μὲν οὖν εἰσῆλθεν ἡ κατὰ
Ῥωμιλίου δίκη. καὶ παρελθὼν ὁ Σίκκιος τά τε ἄλλα
κατηγόρει τοῦ ἀνδρός, ὅσα ὑπατεύων βίᾳ εἰς τοὺς
δημάρχους ἔδοξε διαπράξασθαι, καὶ τελευτῶν τὴν ἐπι-
βουλὴν διεξῄει τὴν ἐφ' ἑαυτῷ τε καὶ τῇ σπείρᾳ γενο-
μένην ὑπὸ τοῦ στρατηγοῦ· καὶ παρείχετο αὐτῶν μάρ-
τυρας τοὺς ἐπιφανεστάτους τῶν συστρατευσαμένων οὐ
δημοτικούς, ἀλλὰ καὶ πατρικίους· ἐν οἷς ἦν νεανίας
οὐκ ἀφανὴς οὔτε κατὰ γένους ἀξίωσιν οὔτε κατὰ τὴν
ἰδίαν ἀρετὴν καὶ τὰ πολέμια πάνυ ἀγαθός· Σπόριος
Οὐεργίνιος ἦν ὄνομα αὐτῷ. οὗτος ἔφη Μάρκον Ἰκίλ- 2
λιον, ἑνὸς τῶν ἐκ τῆς Σικκίου σπείρας υἱόν, ἡλικιώ-
την αὐτοῦ καὶ φίλον ἀπολυθῆναι τῆς ἐξόδου βουλη-
θείς, ὡς ἐπὶ θάνατον ἐξιόντα μετὰ τοῦ πατρός, Αὖλον
2122 Οὐεργίνιον τὸν ἑαυτοῦ θεῖον, πρεσβευτὴν τότε συ-
στρατευόμενον, παρακαλέσας ἐλθεῖν ἐπὶ τοὺς ὑπάτους,
ἀξιῶν σφίσι ταύτην δοθῆναι τὴν χάριν· ἀντιλεγόντων 3
δὲ τῶν ὑπάτων, ἑαυτῷ μὲν ἐπελθεῖν δάκρυα τὴν
συμφορὰν ⟨τὴν⟩ τοῦ ἑταίρου προανακλαιομένῳ, τὸν
δὲ νεανίαν, ὑπὲρ οὗ τὰς δεήσεις ἐποιεῖτο, πεπυσμένον
ταῦτα ἐλθεῖν καὶ λόγον αἰτησάμενον εἰπεῖν, ὅτι τοῖς

2 καιρὸς A χρόνος B 13 συ. στρατευσαμένων B 14 ἀλλὰ καὶ exstat in A et B 18 σικίου B 20 ἐξιόντα] ἄξοντα A 25 συμφορὰν τοῦ ἑταίρου AB σ. τὴν ἑταίρου R σ. τὴν τοῦ ἑταίρου Krüger Index gr. gr. 263

μὲν δεομένοις πολλὴν οἶδε χάριν, αὐτὸς δ' οὐκ ἂν
ἀγαπήσειεν τυχὼν χάριτος, ἥτις αὐτὸν ἀφελεῖται τὸ
πρὸς τὸ γένος εὐσεβές, οὐδ' ἂν ἀπολειφθείη τοῦ
πατρός, τοσῷδε μᾶλλον, ὅσῳ γ' ἀποθανούμενος ἔρχε-
ται, καὶ πάντες τοῦτο ἴσασιν· ἀλλὰ συνεξιὼν ἐπαμυνεῖ-
τε, ὅσα δύναται, καὶ τῆς αὐτῆς ἐκείνῳ κοινωνὸς ἔσται
4 τύχης. ταῦτα τοῦ μειρακίου μαρτυρήσαντος οὐδεὶς ἦν
ὃς οὐκ ἔπασχέ τι πρὸς τὴν τύχην τῶν ἀνθρώπων. ὡς
δὲ καὶ αὐτοὶ κληθέντες ἐπὶ τὴν μαρτυρίαν παρῆλθον
ὅ τε πατὴρ Ἰκίλλιος καὶ τὸ μειράκιον καὶ τὸ καθ' 2123
ἑαυτοὺς ἔλεξαν, οὐκέτι κατέχειν τὰ δάκρυα οἱ πλείους
5 ἐδύναντο τῶν δημοτικῶν. ἀπολογηθέντος δὲ τοῦ Ῥω-
μιλίου καὶ διελθόντος λόγον οὔτε θεραπευτικὸν οὔτε
ἁρμόττοντα τοῖς καιροῖς, ἀλλ' ὑψηλόν, καὶ ἐπὶ τῷ
ἀνυπευθύνῳ τῆς ἀρχῆς μέγα φρονοῦντα διπλασίως
[ἔτι] ἐπερρώσθησαν εἰς τὴν κατ' αὐτοῦ ὀργὴν οἱ πο-
λῖται. καὶ γενόμενοι τῶν ψήφων κύριοι κατέγνωσαν
ἀδικεῖν οὕτως, ὥστε πάσαις ταῖς ψήφοις τῶν φυλῶν
ἁλῶναι τὸν ἄνδρα. ἦν δὲ τὸ τίμημα τῆς δίκης ἀργυ-
6 ρικόν, ἀσσάρια μυρία. καὶ τοῦτ' οὐκ ἄνευ προνοίας
τινὸς ὁ Σίκκιος ποιῆσαί μοι δοκεῖ, ἀλλ' ἵνα τοῖς τε
πατρικίοις ἐλάττων ἡ περὶ τοῦ ἀνδρὸς σπουδὴ γένηται,
καὶ μηδὲν ἐξαμάρτωσι περὶ τὴν ψηφοφορίαν ἐνθυ-
μηθέντες, ὅτι εἰς ἀργύριον ζημιώσεται ὁ ἁλοὺς καὶ
εἰς οὐδὲν ἕτερον, καὶ τοῖς δημοτικοῖς ἡ πρὸς τὴν

2 ἀγαπήσειν AB corr. Sylburg 4 οἴχεται O ἔρχεται Cobet Obs. p. 199 5 ἐπαμυνεῖται O ἐπαμυνεῖτε Cobet Obs. p. 199 6 αὐτῶν ἐκείνων O corr. Reiske 11 αὐτοὺς B 13 ⟨διε⟩λθόντος Bb 15 μέγα φρονοῦντα O μέγα φρονοῦντος Kiessling 16 ἔτι del. Cobet Obs. p. 199 | ἐπιρρώσθησαν B | οἱ πολῖται] οἱ πολλοὶ c. Kiessling

τιμωρίαν ὁρμῇ προθυμοτέρα μήτε ψυχῆς ἄνδρα ὑπα-
τικὸν μήτε πατρίδος ἀποστεροῦσιν. Ῥωμιλίου δὲ
καταδικασθέντος οὐ πολλαῖς ὕστερον ἡμέραις καὶ
2124 Οὐετούριος ἑάλω· τίμημα δὲ καὶ ἐκείνῳ ἐπεγέγραπτο
ἀργυρικόν, ἡμιόλιον θατέρου.

L. Ταῦτα δὴ λογιζομένοις τοῖς ἐν ἀρχῇ ὑπάτοις
πολὺ παρέστη δέος καὶ τοῦ μὴ ταὐτὰ παθεῖν ὑπὸ τοῦ
δήμου μετὰ τὴν ὑπατείαν πρόνοια, ὥστ' οὐκέτι ἀπο-
κρυπτόμενοι τὰς γνώμας, ἀλλὰ φανερῶς τὰ τοῦ δήμου
πολιτευόμενοι διετέλουν. πρῶτον μὲν οὖν ἐπὶ τῆς
λοχίτιδος ἐκκλησίας νόμον ἐκύρωσαν, ἵνα ταῖς ἀρχαῖς
ἐξῇ πάσαις τοὺς ἀκοσμοῦντας ἢ παρανομοῦντας εἰς
τὴν ἑαυτῶν ἐξουσίαν ζημιοῦν. τέως γὰρ οὐχ ἅπασιν
ἐξῆν, ἀλλὰ τοῖς ὑπάτοις μόνοις. τὸ μέντοι τίμημα 2
οὐκ ἐπὶ τοῖς ζημιοῦσιν, ὁπόσον εἶναι δεῖ, κατέλιπον,
ἀλλ' αὐτοὶ τὴν ἀξίαν ὥρισαν, μέγιστον ἀποδείξαντες
ὅρον ζημίας δύο βοῦς καὶ τριάκοντα πρόβατα. καὶ
2125 οὗτος ὁ νόμος ἄχρι πολλοῦ διέμεινεν ὑπὸ Ῥωμαίων
φυλαττόμενος. ἔπειτα περὶ τῶν νόμων, οὓς ἐσπούδαζον 3
οἱ δήμαρχοι κοινοὺς ἐπὶ πᾶσι Ῥωμαίοις γράφειν καὶ
εἰς ἅπαντα χρόνον φυλαχθησομένους, διάγνωσιν ἀπ-
έδωκαν τῇ βουλῇ. ἐλέχθησαν μὲν οὖν πολλοί τε καὶ
ὑπὸ τῶν κρατίστων ἀνδρῶν εἰς ἀμφότερα καὶ τὸ συγ-
χωρεῖν καὶ τὸ κωλύειν φέροντες λόγοι, ἐνίκα δ' ἡ τὰ
δημοτικώτερα πρὸ τῶν ὀλιγαρχικῶν εἰσάγουσα Τίτου
Ῥωμιλίου γνώμη, παρὰ τὴν ἁπάντων δόξαν τῶν τε

14 μόνοις om. AB 15 ἐπ' αὐτοῖς ζημιοῦσιν AB ἐπ' αὐτοῖς τοῖς ζ. Reiske ἐπὶ τοῖς ζ. Kiessling | εἶναι O θεῖναι c. Reiske 17 *βόας O βόας et πρόβατα locum inter se mutare debere Brissonius censet cf. Gellius XI 1 20 γράφειν AB γραφῆναι R

4 πατρικίων καὶ τῶν δημοτικῶν γενομένη. οἱ μὲν γὰρ
ὑπελάμβανον πάντα τὰ ἐναντία τοῖς δημοτικοῖς φρονήσειν τε καὶ λέξειν τὸν ἄνδρα νεωστὶ τὴν ἐν τῷ δήμῳ δίκην ἑαλωκότα· ὁ δ' ἀναστὰς ἐπειδὴ προσῆκεν αὐτῷ γνώμην ἐρωτηθέντι κατὰ τὴν ἑαυτοῦ τάξιν ἀποκρίνασθαι — ἦν δὲ ἐν τοῖς διὰ μέσου κατά τε ἀξίωσιν καὶ ἡλικίαν — ἔλεξεν·

LI. Ἃ μὲν ὑπὸ τοῦ δήμου πέπονθα, ὦ βουλή, καὶ
ὅτι οὐδὲν ἀδικῶν, ἀλλὰ τῆς πρὸς ὑμᾶς εὐνοίας ἕνεκα, 2126
φορτικὸς ἂν εἴην [ἔγωγε] ἐν εἰδόσιν [ὑμῖν] ἀκριβῶς λέγων· μνήμην δὲ αὐτῶν ποιοῦμαι τοῦ ἀναγκαίου ἕνεκεν, ἵν' εἰδῆτε, ὅτι οὐ κολακείᾳ τοῦ δημοτικοῦ ἐπιτρέψας ἐχθροῦ μοι ὄντος, ἀλλ' ἀπὸ τοῦ βελτίστου τὰ συμφέροντα ἐρῶ. θαυμάσῃ δὲ μηθείς, εἰ πρότερόν τε πολλάκις καὶ ἡνίκα ὕπατος ἦν τῆς ἑτέρας προαιρέσεως γενόμενος νῦν ἐξαίφνης μεταβέβλημαι· μηδὲ ὑπολάβητε δυεῖν θάτερον ἢ τότε βεβουλεῦσθαί με κακῶς ἢ νῦν
2 ἀνατίθεσθαι τὰ δόξαντα οὐκ ὀρθῶς. ἐγὼ γάρ, ὦ
βουλή, ὅσον μὲν χρόνον τὰ ὑμέτερα ἰσχυρὰ ἡγούμην, ὥσπερ ἐχρῆν ἀριστοκρατίαν αὔξων περιεφρόνουν τὸ δημοτικόν, ἐπεὶ δὲ τοῖς ἐμαυτοῦ σωφρονισθεὶς κακοῖς μετὰ μεγάλων μισθῶν ἔμαθον, ὅτι ἔλαττον ὑμῶν ἐστι
τοῦ βουλομένου τὸ δυνάμενον, καὶ πολλοὺς ἤδη τὸν 2127
ὑπὲρ ὑμῶν ἀγῶνα αἱρομένους περιείδετε ἀναρπασθέν-

4 ἑαυτῷ O corr. Sylburg 9 χάριν A ἕνεκα B 10 ἔγωγε om. B | ὑμῖν O del. Hudson; cf. Grasberger Philol. 28 (1869) p. 348 12 ἕνεκ⟨εν ἵν⟩ Bb ἕνεκα ἵν' R 13 verba ἀπὸ τοῦ usque ad προαιρέσεως om. A, leguntur igitur in A tantum haec: ὄντος, ἀλλὰ προαιρέσεως γενόμενος eqs.; eadem praebet cod. Elbing. 18 τὰ τότε καλῶς δόξαντα c. Reiske 24 *αἱρουμένους O ἀραμένους c. Sylburg αἱρομένους ego

τας ὑπὸ τοῦ δήμου τοῖς ἀναγκαίοις εἴξαντες, οὐκέθ'
ὅμοια ἔγνωκα. ἐβουλόμην δ' ἂν μάλιστα μήτ' ἐμαυτῷ 3
συμβῆναι μήτε τῷ συνάρχοντί μου ταῦτα, ἐφ' οἷς
ἅπαντες ἡμῖν συμπαθεῖτε. ἐπειδὴ δὲ τὰ μὲν καθ'
ἡμᾶς τέλος ἔχει, τὰ δὲ λοιπὰ ἔξεστιν ἐπανορθώσασθαι
καὶ τοῦ μὴ παθεῖν ταὐτὰ ἑτέρους προϊδέσθαι, καὶ
κοινῇ καὶ καθ' ἕνα ἕκαστον ἰδίᾳ τὰ παρόντα εὖ τίθε-
σθαι παρακαλῶ. κράτιστα γὰρ οἰκεῖται πόλις ἡ πρὸς
τὰ πράγματα μεθαρμοττομένη, καὶ συμβούλων ἄριστος
ὁ μὴ πρὸς τὴν ἰδίαν ἔχθραν ἢ χάριν, ἀλλὰ πρὸς τὸ
κοινῇ συμφέρον ἀποδεικνύμενος γνώμην· βουλεύονταί
τ' ἄριστα περὶ τῶν μελλόντων οἱ παραδείγματα ποιού-
μενοι τὰ γεγονότα τῶν ἐσομένων. ὑμῖν δ', ὦ βουλή, 4
ὁσάκις ἐνέστη τις ἀμφισβήτησις καὶ φιλονεικία πρὸς
τὸν δῆμον, ἀεί τι μειονεκτεῖν ἐξεγένετο τὸ μὲν ἀκούειν
κακῶς, τὸ δ' εἰς ἀνδρῶν ἐπιφανῶν θανάτους τε καὶ
2128 ὕβρεις καὶ ἐκβολὰς ζημιωθῆναι. καίτοι τί γένοιτ' ἂν
ἀτύχημα πόλει μεῖζον ἢ τοὺς κρατίστους τῶν ἀνδρῶν
περικόπτεσθαι καὶ ταῦτα οὐ σὺν δίκῃ; ὧν ὑμῖν φεί-
δεσθαι παραινῶ καὶ μήτε τοὺς νῦν ἄρχοντας προ-
βαλόντας εἰς κίνδυνον πρόδηλον, ἔπειτα ἐγκαταλιπόν-
τας ἐν τοῖς δεινοῖς μετανοεῖν, μήτε τῶν ἄλλων τινά,
οὗ τι καὶ μικρὸν ὄφελος τῷ κοινῷ. κεφάλαιον δ' 5
ἐστὶν ὧν ὑμῖν παραινῶ, πρέσβεις ἑλέσθαι τοὺς μὲν

1 ταῖς ἀνάγκαις c. Cobet Obs. p. 200  2 μάλιστα μὲν c. Cobet l. l.  4 ἡμῖν] ὑμεῖς A  6 ταῦτα AB ταὐτὰ R eadem Lapus  15 ἐξεγένετο· τὰ μὲν ἀκούειν, τὰ δὲ εἰς ἀνδρῶν A ἐξεγένετο τὸ μὲν ἀκούειν καὶ εἰς B sed verba τὸ μὲν ἀκούειν erasa. Dionysius nisi fallor scripsit: ἀεί τι μειονεκτεῖν ἐξεγένετο, τὸ μὲν ἀκούειν κακῶς, τὸ δὲ εἰς ἀνδρῶν eqs.  19 συνδικῶν ὑμῖν O σὺν δίκῃ; ὧν Reiske  20 προβάλλοντας ABa  21 ἐγκαταλείποντας ABa  23 κεφάλ⟨αι⟩ον B κεφάλαια c. Kiessling

εἰς τὰς Ἑλληνίδας πόλεις τὰς ἐν Ἰταλίᾳ, τοὺς δ' εἰς Ἀθήνας· οἵτινες αἰτησάμενοι παρὰ τῶν Ἑλλήνων τοὺς κρατίστους νόμους καὶ μάλιστα τοῖς ἡμετέροις ἁρμόττοντας βίοις οἴσουσι δεῦρο. ἀφικομένων δ' αὐτῶν τοὺς τότε ὑπάτους προθεῖναι τῇ βουλῇ σκοπεῖν, τίνας ἑλέσθαι δεήσει νομοθέτας καὶ ἥντινα ἕξοντας ἀρχὴν καὶ χρόνον ὅσον καὶ τἆλλα, ὅπως ἂν αὐτῇ φαίνηται 2129 συνοίσειν, στασιάζειν δὲ μηκέτι πρὸς τὸ δημοτικὸν μηδ' ἄλλας ἐπ' ἄλλαις ἀναιρεῖσθαι συμφορὰς ἄλλως τε καὶ περὶ νόμων φιλονεικοῦντας, οἳ κἂν εἰ μηθὲν ἄλλο τήν γέ τοι δόξαν τῆς ἀξιώσεως ἔχουσιν εὐπρεπῆ.

LII. Τοιαῦτα εἰπόντος τοῦ Ῥωμιλίου οἵ τε ὕπατοι συνελαμβάνοντο τῆς γνώμης ἀμφότεροι πολλὰ καὶ ἐκ παρασκευῆς συγκείμενα διεξιόντες, καὶ τῶν ἄλλων βουλευτῶν συχνοί, καὶ ἐγένοντο πλείους οἱ ταύτῃ
2 προστιθέμενοι τῇ γνώμῃ. μέλλοντος δὲ γράφεσθαι τοῦ προβουλεύματος ἀναστὰς ὁ δήμαρχος Σίκκιος ὁ τῷ Ῥωμιλίῳ προσθεὶς τὴν δίκην πολὺν ὑπὲρ τοῦ ἀνδρὸς διῆλθε λόγον ἐπαινῶν τὴν μεταβολὴν τῆς γνώμης καὶ τὸ μὴ τὰ ἴδια ἔχθη κρείττονα γίνεσθαι τῶν κοινῇ χρησίμων, ἀλλ' ἀπ' ὀρθῆς γνώμης τὰ συμφέροντα
3 ἀποδείξασθαι· Ἀνθ' ὧν, ἔφη, ταύτην αὐτῷ ἀποδίδωμι τιμὴν καὶ χάριν· ἀφίημι τῶν ἐκτισμάτων ἐπὶ τῇ δίκῃ 2130 καὶ εἰς τὸ λοιπὸν διαλλάττομαι· νικᾷ γὰρ ἡμᾶς χρηστὸς ὤν. τὸ δ' αὐτὸ καὶ οἱ ἄλλοι δήμαρχοι παριόντες ὡμολόγουν. οὐ μὴν ὅ γε Ῥωμίλιος ὑπέμεινε ταύτην

10 οἳ κἂν εἰ B ὀυκἂν εἰ A οἳ εἰ καὶ stulte Cobet Obs. p. 200 cf. Kühner gram. graec. § 398, 4, 4   18 προσθεὶς AB προθεὶς R 20 γίνεσθαι O ἡγεῖσθαι Sylburg   22 ἀποδείξασθαι A ὑποδείξασθαι B ἐπιδείξασθαι R ἐπιλέξασθαι c. Reiske   24 διαλλάττομ⟨αι⟩ Bb   25 παρόντες Portus

*λαβεῖν τὴν χάριν, ἀλλ' ἐπαινέσας τοὺς δημάρχους τῆς
προθυμίας ἀποδώσειν ἔφη τὴν καταδίκην. ἱερὰν γὰρ
ἤδη τῶν θεῶν εἶναι, καὶ οὔτε δίκαια οὔτε ὅσια ποιεῖν
ἀποστερῶν τοὺς θεούς, ἃ δίδωσιν αὐτοῖς ὁ νόμος·
καὶ ἐποίησεν οὕτως. γραφέντος δὲ τοῦ προβουλεύ-* 4
*ματος, καὶ μετὰ ταῦτ' ἐπικυρώσαντος τοῦ δήμου
πρέσβεις ἀπεδείχθησαν οἱ τοὺς παρὰ τῶν Ἑλλήνων
νόμους ληψόμενοι, Σπόριος Ποστόμιος καὶ Σερούιος
Σολπίκιος καὶ Αὖλος Μάλλιος· οἷς τριήρεις τε παρ-*
2131 *εσκευάσθησαν ἐκ τοῦ δημοσίου καὶ ἄλλος κόσμος εἰς
ἐπίδειξιν τῆς ἡγεμονίας ἀποχρῶν. καὶ τὸ ἔτος ἐτε-
λεύτα.*

LIII. *Ἐπὶ δὲ τῆς ὀγδοηκοστῆς καὶ δευτέρας ὀλυμ-
πιάδος, ἣν ἐνίκα στάδιον Λύκος Θεσσαλὸς ἀπὸ
Λαρίσης, ἄρχοντος Ἀθήνησι Χαιρεφάνους, ἐτῶν τρια-
κοσίων ἐκπεπληρωμένων ἀπὸ τοῦ Ῥώμης συνοικισμοῦ,
Ποπλίου Ὁρατίου καὶ Σέξτου Κοιντιλίου διαδεδεγ-
μένων τὴν ὕπατον ἀρχήν, λοιμικὴ νόσος εἰς τὴν
Ῥώμην κατέσκηψε μεγίστη τῶν ἐκ τοῦ προτέρου
χρόνου μνημονευομένων· ὑφ' ἧς οἱ μὲν θεράποντες
ὀλίγου ἐδέησαν πάντες ἀπολέσθαι, τῶν δ' ἄλλων
πολιτῶν ἀμφὶ τοὺς ἡμίσεις μάλιστα διεφθάρησαν, οὔτε
τῶν ἰατρῶν ἀρκούντων ἔτι βοηθεῖν τοῖς καμάτοις,
οὔτε οἰκείων ἢ φίλων τἀναγκαῖα ὑπηρετούντων. οἱ* 2

3 *ποιεῖν ἂν* c. Hertlein Hermes X 420 *ὅσια ἂν ποιεῖν* Cobet Obs. p. 200 8 *σερουίλιος σολπίκιος* AB 9 *μάλιος* AB 15 *λαρίσης* Ba *λαρίσσης* ABb 17 *δ⟨ε⟩δεγμένων* Bb *διαδεδεγμένων* R 18 *ὕπατον*] *ὑπάτων* A | *λοιμικ⟨ὴ ν⟩όσος* Bb 19 *πρότερον* B *προτέρου* R 20 post *μνημονευομένων* add. *γινομένη* Naber Mnem. 30, 255 | *θεράποντες* O *θεραπεύοντες* c. Naber Mnem. 30, 255 21 **ἅπαντες* O cf. Aar. Progr. 1874 p. 21 23 *ἀρκούντων ἔτι* B *ἀρκ. εἰς τὸ* R

LIIII. Εἰς δὲ τοὐπιὸν ἔτος ὕπατοι μὲν ἀπεδείχ-
θησαν Λεύκιος Μενήνιος καὶ Πόπλιος Σήστιος· ἡ δὲ
νόσος εἰς τέλος ἐλώφησε. καὶ μετὰ τοῦτο θυσίαι τε 2135
χαριστήριοι θεοῖς ἐπετελοῦντο δημοσίᾳ, καὶ ἀγῶνες
ἐπιφανεῖς λαμπραῖς πάνυ χορηγούμενοι δαπάναις, ἐν
εὐπαθείαις τε καὶ θαλίαις ἡ πόλις ἦν ὥσπερ εἰκός·
καὶ πᾶς ὁ χειμέριος χρόνος ἀμφὶ ταῦτα ἐδαπανήθη.
2 ἀρχομένου δ' ἔαρος σῖτός τε πολὺς καὶ ἐκ πολλῶν
ἤχθη χωρίων, ὁ μὲν πλείων δημοσίᾳ συνωνηθείς, ὁ
δέ τις καὶ ὑπ' ἰδιωτῶν ἐμπόρων κομιζόμενος. ἔκαμνε
γὰρ οὐχ ἥκιστα ἐν τῇ σπάνει τῆς τροφῆς ὁ λαὸς χέρσου
τῆς γῆς ἀφειμένης διὰ τὰς νόσους καὶ τὸν ὄλεθρον
3 τῶν γεωργῶν. ἐν δὲ τῷ αὐτῷ καιρῷ παρεγένοντο
ἀπό τ' Ἀθηνῶν καὶ τῶν ἐν Ἰταλοῖς Ἑλληνίδων
πόλεων οἱ πρέσβεις φέροντες τοὺς νόμους. καὶ μετὰ
τοῦτο προσῄεσαν οἱ δήμαρχοι τοῖς ὑπάτοις ἀξιοῦντες
ἀποδεῖξαι κατὰ τὸ ψήφισμα τῆς βουλῆς τοὺς νομοθέτας.
οἱ δ' οὐκ ἔχοντες, ὅτῳ ἂν αὐτοὺς ἀπαλλάξειαν τρόπῳ
προσκαθημένους καὶ λιπαροῦντας, ἀχθόμενοι τῷ πράγ- 2136
ματι καὶ οὐκ ἀξιοῦντες ἐπὶ τῆς αὐτῶν ἀρχῆς καταλῦσαι
τὴν ἀριστοκρατίαν πρόφασιν εὐπρεπῆ προὐβάλοντο
λέγοντες ἐν χερσὶν εἶναι τὸν τῶν ἀρχαιρεσίων καιρόν,
καὶ δέον αὐτοὺς τοὺς ὑπάτους πρῶτον ἀποδεῖξαι,
4 ποιῆσαι δὲ τοῦτ' οὐκ εἰς μακράν, ἀποδειχθέντων δὲ

1 τὸ ἐπιὸν B 2 πόπλιος σίκκιος A π. ⟨σήστ⟩ιος Bb 5 δαπάν⟨αις⟩ Bb 6 θαλίαις ABa θαλείαις Bb 8 καὶ om. O praeter B 9 ἤχθη O κατήχθη c. Kiessling 10 *ὑπὸ O 11 ἐν O ἐπὶ Kiessling 20 ἐπὶ τῆς αὐτῶν ἀρχῆς add. B 23 δέον O δεῖν Kiessling ὡς δέον Naber Mnem. 30, 255 | αὐτοὺς τοὺς ὑπάτους A αὐτοὺς ὑπάτους R 24 ποιήσεται δὲ τοῦτο A ποιῆσαι τε τοῦτο B ποιήσειν δὲ τοῦτο c. Reiske

τῶν ὑπάτων μετ' ἐκείνων [ἔλεγον] ἀνοίσειν τῷ συν-
εδρίῳ τὴν περὶ τῶν νομοθετῶν διάγνωσιν. συγ-
χωρούντων δὲ τῶν δημάρχων προθέντες ἀρχαιρέσια
πολλῷ τάχιον ἢ τοῖς προτέροις ἔθος ἦν ὑπάτους
ἀπέδειξαν Ἄππιον Κλαύδιον καὶ Τίτον Γενύκιον, καὶ
μετὰ τοῦτο πᾶσαν ἀποθέμενοι τὴν περὶ τῶν κοινῶν
φροντίδα, ὡς ἑτέρους ἤδη δέον ὑπὲρ αὐτῶν σκοπεῖν,
οὐδὲν ἔτι τοῖς δημάρχοις προσεῖχον, ἀλλὰ διακλέψαι
τὸν λοιπὸν χρόνον τῆς ὑπατείας διενοοῦντο. ἔτυχε δὲ 5
2137 τὸν ἕτερον αὐτῶν Μενήνιον ἀρρωστία τις καταλαβοῦσα
χρόνιος. ἤδη δέ τινες ἔφασαν ὑπὸ λύπης καὶ ἀθυμίας
ἐμπεσούσης τῷ ἀνδρὶ τηκεδόνα δυσαπάλλακτον ἐργάσα-
σθαι νόσον. ταύτην δὲ προσλαβὼν τὴν πρόφασιν ὁ
Σήστιος ὡς οὐδὲν οἷός τ' ἦν πράττειν μόνος ἀπεωθεῖτο
τὰς τῶν δημάρχων δεήσεις καὶ πρὸς τοὺς νέους ἄρ-
χοντας ἠξίου τρέπεσθαι. οἱ δ' οὐκ ἔχοντες, ὅ τι 6
πράττωσιν, ἕτερον ἐπὶ τοὺς περὶ τὸν Ἄππιον οὔπω
τὴν ἐξουσίαν παρειληφότας ἠναγκάζοντο καταφεύγειν,
τὰ μὲν ἐν ταῖς ἐκκλησίαις δεόμενοι, τὰ δὲ καταμόνας
συντυγχάνοντες· καὶ τέλος ἐξειργάσαντο τοὺς ἄνδρας
μεγάλας ὑποτείνοντες ἐλπίδας αὐτοῖς, εἰ τὰ τοῦ δή-
μου πράγματα ἕλοιντο, τιμῆς καὶ δυναστείας. εἰσῆλθε 7
γάρ τις τὸν Ἄππιον ἐπιθυμία ξένην ἀρχὴν περιβαλέ-
σθαι καὶ νόμους καταστήσασθαι τῇ πατρίδι ὁμονοίας
τε καὶ εἰρήνης καὶ τοῦ μίαν ἅπαντας ἡγεῖσθαι τὴν

1 ἔλεγον delevi secutus Vassis sententiam Ἀθηνᾶ VIII p. 263 | ἀν⟨ο⟩σειν Bb 5 Γενύκιον] Λεύκιον O 6 περὶ AB 12 ἐμπεσούσης O ἐμπεσοῦσαν Sylburg | τηκεδόνος A 14 ἦν AB ὢν Reiske 17 πράττ⟨ου⟩σιν Bb πράττουσιν R πράττωσιν c. Krüger Index gr. gr. p. 263 20 συντυγχάνοντες AB ἐντυγχάνοντες R 22 πράγματα del. Cobet Obs. p. 200 23 ξένην νέαν ἀρχὴν c. Kiessling

πόλιν ἄρξαι τοῖς συμπολιτευομένοις. οὐ μέντοι καὶ
διέμεινέ γε χρηστὸς ἀρχῇ κοσμηθεὶς μεγάλῃ, ἀλλ' 2138
ἐξέπεσε τελευτῶν εἰς φιλαρχίαν ἀπαραχώρητον ὑπὸ μεγέθους ἐξουσίας διαφθαρεὶς καὶ ὀλίγου ἐδέησεν ἐπὶ τυραννίδα ἐλάσαι. περὶ ὧν κατὰ τὸν οἰκεῖον διαλέξομαι καιρόν.

LV. *Τότε* δ' οὖν ἀπὸ τοῦ κρατίστου ταῦτα βουλευσάμενος καὶ τὸν συνάρχοντα πείσας, ἐπειδὴ πολλάκις αὐτὸν ἐπὶ τὴν ἐκκλησίαν ἐκάλεσαν οἱ δήμαρχοι, παρελθὼν πολλοὺς καὶ φιλανθρώπους διεξῆλθε λόγους· κεφάλαια δ' αὐτοῦ τῆς δημηγορίας τοιάδε ἦν, ὅτι τὸ μὲν ἀποδειχθῆναι τοὺς νόμους καὶ παύσασθαι στασιάζοντας τοὺς πολίτας ὑπὲρ τῶν ἴσων αὐτῷ τε καὶ τῷ συνάρχοντι παντὸς μάλιστα δοκεῖ, καὶ ἀποφαίνονται γνώμην φανεράν· τοῦ δ' ἀποδεῖξαι τοὺς νομοθέτας αὐτοὶ μὲν οὐδεμίαν ἔχουσιν ἐξουσίαν οὔπω παρειληφότες τὴν ἀρχήν, τοῖς δὲ περὶ Μενήνιον ὑπάτοις οὐχ ὅπως ἐναντιώσονται πράσσουσι τὰ δόξαντα τῇ βουλῇ, ἀλλὰ καὶ συνεργήσουσι καὶ πολλὴν εἴσονται χάριν.
2 ἐὰν δ' ἀναδύωνται σκῆψιν προβαλλόμενοι τὴν νέαν 2139
ἀρχήν, ὡς οὐκ ἐξὸν αὐτοῖς ἑτέρους ἄρχοντας ὑπατικὴν ἐξουσίαν παραληψομένους ἀποδεικνύειν ἡμῶν ἤδη κεκυρωμένων ὑπάτων, οὐδὲν ἐμποδὼν αὐτοῖς τὸ καθ' ἑαυτοὺς ἔσεσθαι. ἑκόντες γὰρ ἀποστήσεσθαι τῆς ὑπατείας τοῖς ἀνθ' αὐτῶν αἱρεθησομένοις, ἐὰν καὶ τῇ
3 βουλῇ ταῦτα δοκῇ. ἐπαινοῦντος δὲ τοῦ δήμου καὶ

7 πάντα βουλευσάμενος c. Kiessling 12 τοὺς νόμους] τοὺς νομοθέτας c. Sylburg 14 παντὸς om. B | ἀποφαίνονται ταύτην τὴν γνώμην φανερῶς c. Kiessling 20 νέαν add. B 22 ἡμῶν] νέων c. Kiessling, ἡμῶν del. Kayser Ann. phil. 1870 p. 724 24 τῆς ὑπατείας om. O praeter B 26 δήμου καὶ τὴν B καὶ om. R

τὴν προθυμίαν τῶν ἀνδρῶν καὶ πάντων κατὰ πλῆθος
ἐπὶ τὸ συνέδριον ὠσαμένων, ἀναγκασθεὶς ὁ Σήστιος
τὴν βουλὴν συναγαγεῖν μόνος, ἐπειδὴ ὁ Μενήνιος
ἀδύνατος ἦν παρεῖναι διὰ τὴν νόσον, προὔθηκεν ὑπὲρ
τῶν νόμων λέγειν. ἐλέχθησαν μὲν οὖν καὶ τότε
πολλοὶ ὑπ' ἀμφοτέρων λόγοι τῶν τε παραινούντων
κατὰ νόμους πολιτεύεσθαι, καὶ τῶν ἀξιούντων τοὺς
πατρίους φυλάττειν ἐθισμούς. ἐνίκα δὲ ἡ τῶν εἰς 4
νέωτα μελλόντων ὑπατεύειν γνώμη, ἣν Ἄππιος Κλαύ-
2140 διος πρῶτος ἐρωτηθεὶς ἀπεφήνατο, ἄνδρας αἱρεθῆναι
δέκα τοὺς ἐπιφανεστάτους ἐκ τῆς βουλῆς. τούτους δ'
ἄρχειν εἰς ἐνιαυτὸν ἀφ' ἧς ἂν ἀποδειχθῶσιν ἡμέρας,
ἐξουσίαν ἔχοντας ὑπὲρ ἁπάντων τῶν κατὰ τὴν πόλιν
ἣν εἶχον οἵ τε ὕπατοι καὶ ἔτι πρότερον οἱ βασιλεῖς,
τάς τ' ἄλλας ἀρχὰς πάσας καταλελύσθαι, τέως ἂν οἱ
δέκα τύχωσι τῆς ἀρχῆς. τούτους δὲ τοὺς ἄνδρας ἔκ 5
τε τῶν πατρίων ἐθῶν καὶ ἐκ τῶν Ἑλληνικῶν νόμων,
οὓς ἐκόμισαν οἱ πρέσβεις, ἐκλεξαμένους τὰ κράτιστα
καὶ τῇ Ῥωμαίων πόλει πρόσφορα νομοθετήσεσθαι. τὰ
δὲ γραφέντα ὑπὸ τῶν δέκα ἀνδρῶν, ἐάν ἥ τε βουλὴ
δοκιμάσῃ καὶ ὁ δῆμος ἐπιψηφίσῃ, κύρια εἰς τὸν
ἅπαντα εἶναι χρόνον, καὶ τὰς ἀρχάς, ὅσαι ἂν ὕστερον
ἀποδειχθῶσι, κατὰ ⟨τούτους⟩ τοὺς νόμους τά τε ἰδιω-
τικὰ συμβόλαια διαιρεῖν καὶ τὰ δημόσια ἐπιτροπεύειν.
2141 LVI. Τοῦτο τὸ δόγμα λαβόντες οἱ δήμαρχοι
προῆλθον εἰς τὴν ἐκκλησίαν καὶ ἀναγνόντες ἐν τῷ

2 σή⟨σ⟩τιος Bb 12 ὑποδειχθῶσιν A 14 πρῶτον O πρότερον Sylburg 15 πάσας O ἁπάσας Kiessling | *ἕως O ante ἕως in B una littera erasa 17 πατρι in ras. 3—4 litterae B 19 νομοθετήσασθαι B 20 γράφοντα Ba 23 τούτους add. Kiessling 24 διαιρεῖν] διαιτᾶν c. Portus

δήμῳ πολλοὺς ἐπαίνους τῆς βουλῆς καὶ τοῦ ⟨προ⟩θέντος τὴν γνώμην Ἀππίου διεξῆλθον. ἐπεὶ δὲ κατέλαβεν ὁ τῶν ἀρχαιρεσίων καιρός, ἐκκλησίαν συναγαγόντες οἱ δήμαρχοι τούς τ' ἀποδειχθέντας ὑπάτους ἥκειν ἠξίουν ἐμπεδώσοντας τῷ δήμῳ τὰς ὑποσχέσεις, κἀ-
2 κεῖνοι παρελθόντες ἐξωμόσαντο τὰς ὑπατείας. τούτους ὁ δῆμος ἐπαινῶν τε καὶ θαυμάζων διετέλει, καὶ ἐπειδὴ τοὺς νομοθέτας ψηφοφορεῖν ἔδει πρώτους εἵλετο τῶν ἄλλων· καὶ ἀπεδείχθησαν ἐν ἀρχαιρεσίαις ὑπὸ τῆς λοχίτιδος ἐκκλησίας Ἄππιος μὲν Κλαύδιος καὶ Τίτος Γενύκιος, οὓς ἔδει ⟨εἰς⟩ τοὐπιὸν ἄρχειν ἔτος, Πόπλιος δὲ Σήστιος ὁ τὸν ἐνιαυτὸν ἐκεῖνον ὑπατεύων, τρεῖς δὲ οἱ κομίσαντες παρὰ τῶν Ἑλλήνων τοὺς νόμους, Σπόριος Ποστόμιος καὶ Σερούιος Σολπίκιος καὶ Αὖλος Μάλλιος, εἷς δὲ τῶν ὑπατευσάντων τὸν παρελθόντα 2142
ἐνιαυτὸν Τίτος Ῥωμίλιος, ὁ τὴν ἐν τῷ δήμῳ δίκην Σικκίου κατηγορήσαντος ἁλούς, ἐπειδὴ γνώμης ἐδόκει ἄρξαι δημοτικῆς· ἐκ δὲ τῶν ἄλλων βουλευτῶν Γάιος Ἰούλιος καὶ Τίτος Οὐετούριος καὶ Πόπλιος Ὁράτιος, ἅπαντες ὑπατικοί· αἱ δὲ τῶν δημάρχων τε καὶ ἀγορανόμων καὶ ταμιῶν καὶ εἴ τινες ἦσαν ἄλλαι πάτριοι Ῥωμαίοις ἀρχαὶ κατελύθησαν.

LVII. Τῷ δ' ἑξῆς ἔτει παραλαβόντες οἱ νομοθέται τὰ πράγματα πολιτείας κόσμον τοιόνδε τινὰ καθίσταται· εἷς μὲν αὐτῶν τάς τε ῥάβδους καὶ τὰ λοιπὰ παράσημα τῆς ὑπατικῆς εἶχεν ἐξουσίας, ὃς βουλήν τε

1 θέντος O προθέντος Kiessling 2 κα⟨τέλαβεν ὁ⟩ Bb in ras. 10 τίτος λεύκιος γενύκιος AB 11 εἰς add. Cobet Obs. p. 200 | τὸ ἐπιὸν B 12 τρεῖς τε O corr. Kiessling 14 πόπλιος ποστόμιος AB cf. c. 52, 3 | σερουίλιος AB corr. Sylburg 20 αἱ A ἡ B

συνεκάλει καὶ δόγματα ἐπεκύρου καὶ τἄλλα ἔπραττεν,
2143 ὅσα ἡγεμόνι προσῆκεν· οἱ δ' ἄλλοι συστέλλοντες ἐπὶ
τὸ δημοτικώτερον τὸ τῆς ἐξουσίας ἐπίφθονον ὀλίγῳ
τινὶ διήλλαττον ὀφθῆναι τῶν πολλῶν· εἶτ' αὖθις ἕτερος
αὐτῶν ἐπὶ τὴν ἐξουσίαν καθίστατο, καὶ τοῦτ' ἐκ περι-
τροπῆς ἐγίνετο παραλλὰξ ἐπ' ἐνιαυτὸν <ἑκάστου> τὴν
ἡγεμονίαν παραλαμβάνοντος εἰς συγκείμενόν τινα
ἡμερῶν ἀριθμόν. ἅπαντες δ' ἐξ ἑωθινοῦ καθεζόμενοι 2
διῄτων τὰ ἰδιωτικὰ συμβόλαια καὶ τὰ δημόσια, ὁπόσα
πρός τε ὑπηκόους καὶ συμμάχους καὶ τοὺς ἐνδοιαστῶς
ἀκροωμένους τῆς πόλεως ἐγκλήματα τυγχάνοι γινόμενα,
μετὰ πάσης ἀνασκοποῦντες ἕκαστα ἐπιεικείας τε καὶ
δικαιοσύνης. ἐδόκει δὲ ἄριστα τὸν ἐνιαυτὸν ἐκεῖνον 3
ἡ Ῥωμαίων πόλις ὑπὸ τῆς δεκαδαρχίας ἐπιτροπευθῆναι.
2144 μάλιστα δ' αὐτῶν ἐπῃνεῖτο ἡ τοῦ δημοτικοῦ πρόνοια
καὶ πρὸς ἅπαν τὸ βίαιον ὑπὲρ τῶν ἀσθενεστέρων
ἀντίταξις· ἐλέχθη τε ὑπὸ πολλῶν, ὡς οὐδὲν ἔτι δέησοι
δήμου προστατῶν οὐδὲ τῶν ἄλλων ἀρχείων τῇ πόλει
μιᾶς διοικούσης ἅπαντα ἡγεμονίας σώφρονος, ἧς
ἀρχηγὸς Ἄππιος εἶναι ἐδόκει. καὶ τὸν ὑπὲρ ὅλης τῆς 4
δεκαδαρχίας ἔπαινον ἐκεῖνος ἐφέρετο παρὰ τοῦ δήμου.
οὐ γὰρ μόνον ἃ μετὰ τῶν ἄλλων ἔπραττεν ἀπὸ τοῦ
κρατίστου χρηστότητος ἔφερεν αὐτῷ δόκησιν, ἀλλὰ

5 ἐκ περινομῆς O ἐκ περιτροπῆς Cobet Obs. p. 201 quae vox V 2, 1 exstat; idem παραλλὰξ delet Schnellium Exerc. crit. p. 21 illo loco secutus παραλλὰξ ἐπ' ἐνιαυτοῦ A ἐπ' αὐτοῦ B ἑκάστου add. Reiske ἐπ' ἐνιαυτὸν correxi cf. v. 13 7 παραλαμβάνοντες B 9 τά τ' ἰδιωτικὰ c. Kiessling | ἰδιωτικὰ B δημοτικὰ R 14 δεκαρχίας O corr. Kiessling 17 ὑπ' αὐτῶν καὶ ὑπὸ πολλῶν A ὑπὸ πολλῶν B 18 δήμου προστατῶν τῆς πολεμίας διοικούσης A 19 σώφρονος O σωφρόνως c. Reiske 22 ἀπὸ τοῦ κρατίστου add. B

πολὺ μᾶλλον ἃ κατ' ἰδίαν ἐπιτηδεύων διετέλει, κατά τ' ἀσπασμοὺς καὶ προσαγορεύσεις φιλανθρώπους καὶ
5 τὰς ἄλλας τῶν πενήτων φιλοφρονήσεις. οὗτοι οἱ δέκα ἄνδρες συγγράψαντες νόμους ἔκ τε τῶν Ἑλληνικῶν νόμων καὶ τῶν παρὰ σφίσιν αὐτοῖς ἀγράφων ἐθισμῶν προὔθηκαν ἐν δέκα δέλτοις τῷ βουλομένῳ σκοπεῖν, δεχόμενοι πᾶσαν ἐπανόρθωσιν ἰδιωτῶν καὶ πρὸς τὴν κοινὴν εὐαρέστησιν ἀπευθύνοντες τὰ γραφέντα. καὶ 2145
μέχρι πολλοῦ διετέλεσαν ἐν κοινῷ μετὰ τῶν ἀρίστων ἀνδρῶν συνεδρεύοντες καὶ τὴν ἀκριβεστάτην ποιού-
6 μενοι τῆς νομοθεσίας ἐξέτασιν. ἐπειδὴ δ' ἀποχρώντως ἐφαίνετο αὐτοῖς τὰ γραφέντα ἔχειν, πρῶτον μὲν τὴν βουλὴν συναγαγόντες οὐθενὸς ἔτι μεμφομένου τοῖς νόμοις προβούλευμα περὶ αὐτῶν ἐκύρωσαν. ἔπειτα τὸν δῆμον καλέσαντες εἰς τὴν λοχῖτιν ἐκκλησίαν ἱερομνημόνων τε καὶ οἰωνιστῶν καὶ τῶν ἄλλων ἱερέων παρόντων καὶ τὰ θεῖα ὡς νόμος ἐξηγησαμένων ἀν-
7 έδωκαν τοῖς λόχοις τὰς ψήφους. ἐπικυρώσαντος δὲ καὶ τοῦ δήμου τοὺς νόμους, στήλαις χαλκαῖς ἐγχαράξαντες αὐτοὺς ἐφεξῆς ἔθεσαν ἐν ἀγορᾷ τὸν ἐπιφανέστατον ἐκλεξάμενοι τόπον. καὶ ἐπειδὴ βραχὺς ὁ τῆς ἀρχῆς αὐτοῖς χρόνος ὁ λειπόμενος ἦν, συναγαγόντες τοὺς βουλευτὰς προὔθεσαν ὑπὲρ ἀρχαιρεσίων οἷα χρὴ γενέσθαι σκοπεῖν.

LVIII. *Πολλῶν* δὲ λεχθέντων ἐνίκησεν ἡ γνώμη 2146
τῶν παραινούντων δεκαδαρχίαν αὖθις ἀποδεῖξαι τῶν κοινῶν κυρίαν. ἀτελής τε γὰρ ἡ νομοθεσία ἐφαίνετο,

1 ἃ om. Ba 5 ἐ⟨θισ⟩μῶν Bb 15 ἐκάλεσαν O καλέσαντες c. Kiessling | ἐκκλησίαν om. Ba 27 ἀτελής τε γὰρ B ἀτελὴς γὰρ R

ὡς ἂν ἐξ ὀλίγου συντεθεῖσα χρόνου, καὶ ἐπὶ τοῖς ἤδη
κεκυρωμένοις, ἵνα ἑκόντες τε καὶ ἄκοντες ἐν αὐτοῖς
μένοιεν, ἐδόκει [δέ] τινος ἀρχῆς αὐτοκράτορος δεῖν.
τὸ δὲ μάλιστα πεῖσαν αὐτοὺς προελέσθαι τὴν δεκαδαρ-
χίαν ἦν ἡ τῶν δημάρχων κατάλυσις, ὃ παντὸς μάλιστα
ἐβούλοντο. ταῦτα μὲν ἐν κοινῷ σκοπουμένοις αὐτοῖς 2
ἐδόκει, ἰδίᾳ δὲ οἱ πρωτεύοντες τοῦ συνεδρίου γνώμην
ἐποιοῦντο μεταπορεύεσθαι τὴν ἀρχὴν δεδιότες, μὴ
ταραχώδεις τινὲς ἄνθρωποι τηλικαύτης ἐξουσίας λαβό-
μενοι κακόν τι μέγα ἐργάσωνται. ἀγαπητῶς δὲ τοῦ
δήμου τὰ δόξαντα τῇ βουλῇ δεξαμένου καὶ μετὰ πλεί-
στης προθυμίας ἐπιψηφίσαντος αὐτοὶ μὲν οἱ δέκα
ἄνδρες προεῖπον τὸν τῶν ἀρχαιρεσίων καιρόν, μετῄεσαν
δὲ τὴν ἀρχὴν οἱ ἐντιμότατοί τε καὶ πρεσβύτατοι τῶν
2147 πατρικίων. ἔνθα δὴ πολὺς ὑπὸ πάντων ἐπαινούμενος 3
ἦν ὁ τῆς τότε δεκαδαρχίας ἡγεμὼν Ἄππιος, καὶ πᾶς ὁ
δημοτικὸς ὄχλος ἐκεῖνον ἐπὶ τῆς ἀρχῆς ἠξίου κατέχειν
ὡς οὐκ ἄλλου τινὸς ἄμεινον ἡγησομένου. ὁ δ' ἀναίνε-
σθαι μὲν προσεποιεῖτο κατ' ἀρχὰς καὶ ἀπολύειν αὐτὸν
ἠξίου λειτουργίας καὶ ὀχληρᾶς καὶ ἐπιφθόνου. τελευ-
τῶν δ' ὡς ἐλιπάρουν αὐτὸν ἅπαντες αὐτός τε ὑπέμενε
μετιέναι τὴν ἀρχήν, καὶ τῶν συμπαραγγελλόντων τοὺς
ἀρίστους αἰτιασάμενος οὐχ ἡδέως πρὸς ἑαυτὸν ἔχειν
διὰ τὸν φθόνον τοῖς ἑαυτοῦ φίλοις συνηγωνίζετο
φανερῶς. ἀποδείκνυταί τε πάλιν ἐν ἀρχαιρεσίαις 4
λοχίτισι νομοθέτης τὸ δεύτερον· σὺν δ' αὐτῷ Κόιντος

3 *ἐδόκει δέ O ἐδόκει δὴ c. Reiske, δέ delevi; ἐδόκει δεῖν c. Kiessling 6 ἐν κοινῷ om. A 8 δεδι⟨ό⟩τες Bb 19 πρ⟨οσε⟩ποιεῖτο Bb | αὐτὸν non αὐτὸν add. B 20 καὶ ante ὀχληρᾶς om. O praeter B 22 μετεῖναι AB 25 ἀποδείκνυται μὲν οὖν πάλιν c. Reiske ἀποδείκνυτ⟨αι τε⟩ Bb

μὲν Φάβιος ὁ καλούμενος Οὐιβολανὸς ὁ τρὶς ὑπατεύ-
σας, ἀνὴρ ἀνεπίληπτος εἰς τόδε χρόνου γενόμενος
περὶ πᾶσαν ἀρετήν· ἐκ δὲ τῶν ἄλλων πατρικίων, οὓς
ἐκεῖνος ἠσπάζετο, ⟨Μάρκος Κορνήλιος καὶ⟩ Μάρκος 2148
Σέργιος καὶ Λεύκιος Μηνύκιος καὶ Τίτος Ἀντώνιος
καὶ Μάνιος Ῥαβολήιος, ἄνδρες οὐ πάνυ ἐπιφανεῖς·
ἐκ δὲ τῶν δημοτικῶν Κόιντος Ποιτέλλιος καὶ Καίσων
Δουέλλιος καὶ Σπόριος Ὄππιος· προσελήφθησαν γὰρ
καὶ οὗτοι πρὸς τοῦ Ἀππίου κολακείας ἕνεκα τῶν δη-
μοτικῶν, διδάσκοντος ὅτι δίκαιόν ἐστι μιᾶς ἀρχῆς κατὰ
πάντων ἀποδεικνυμένης εἶναί τι καὶ τοῦ δήμου μέρος
5 ἐν αὐτῇ. εὐδοκιμῶν δ' ἐφ' ἅπασι τούτοις καὶ δοκῶν
κράτιστος εἶναι βασιλέων τε καὶ τῶν κατ' ἐνιαυτὸν 2149
ἡγησαμένων τῆς πόλεως παραλαμβάνει πάλιν τὴν
ἀρχὴν εἰς τὸν ἐπιόντα ἐνιαυτόν. ταῦτα κατ' ἐκείνην
ἐπράχθη τὴν δεκαδαρχίαν ὑπὸ Ῥωμαίων, ἄλλο δ' οὐθὲν
ὅ τι καὶ λόγου ἄξιον.

LVIIII. Ἐν δὲ τῷ κατόπιν ἔτει παραλαβόντες τὴν
ὑπατικὴν ἐξουσίαν οἱ σὺν Ἀππίῳ Κλαυδίῳ δέκα
ἄνδρες εἰδοῖς μαΐαις, ἦγον δὲ τοὺς μῆνας κατὰ σε-
λήνην, καὶ συνέπιπτεν εἰς τὰς εἰδοὺς ἡ πανσέληνος·
2 πρῶτα μὲν ὅρκια τεμόντες ἀπόρρητα τῷ πλήθει συν-
θήκας σφίσιν αὐτοῖς ἔθεντο περὶ μηδενὸς ἀλλήλοις
ἐναντιοῦσθαι, ὅ τι δ' ἂν εἷς ἐξ αὐτῶν δικαιώσῃ, τοῦθ'
ἅπαντες ἡγεῖσθαι κύριον τήν τ' ἀρχὴν καθέξειν διὰ
βίου καὶ μηδένα παρήσειν ἕτερον ἐπὶ τὰ πράγματα

4 μάρκος κορνήλιος καὶ om. AB add. Sylburg | μάρκος σερουίλιος καὶ λεύκιος AB 5 σερουίλιος AB corr. σέργιος Sylburg 6 ῥαβόλιος O 7 ποντέλλιος Bb 8 δοιάλιος ABb | ἄππιος ABb 16 ὑπὸ add. B 20 ⟨εἰ⟩δοῖς μέαις Bb | μέσαις A 25 ἅπαντας (ε supra α) A

ἰσότιμοί τε πάντες ἔσεσθαι καὶ τὴν αὐτὴν ἕξειν δυνα-
στείαν, βουλῆς μὲν ἢ δήμου ψηφίσμασι σπανίως καὶ
2150 εἰς αὐτὰ τἀναγκαῖα χρώμενοι, τὰ δὲ πλεῖστα ἐπὶ τῆς
ἑαυτῶν ἐξουσίας ποιοῦντες. ἐνστάσης δὲ τῆς ἡμέρας, 3
ἐν ᾗ παραλαβεῖν αὐτοὺς ἔδει τὴν ἀρχήν, τοῖς θεοῖς
προθύσαντες ἃ νόμος — ἱερὰν δὲ ταύτην ἄγουσι Ῥωμαῖοι
τὴν ἡμέραν καὶ παντὸς μάλιστα ὀττεύονται μήτ' ἀκοῦ-
σαι μηδὲν ἀηδὲς ἐν αὐτῇ μήτ' ἰδεῖν — ἕωθεν εὐθὺς
ἐξῄεσαν οἱ δέκα τὰ παράσημα τῆς βασιλικῆς ἐξουσίας
ἅπαντες ἐπαγόμενοι. ὁ δὲ δῆμος ὡς ἔμαθεν αὐτοὺς 4
οὐκέτι φυλάττοντας τὸ δημοτικὸν ἐκεῖνο καὶ μέτριον
σχῆμα τῆς ἡγεμονίας οὐδὲ διαμειβομένους τὰ παράσημα
τῆς βασιλικῆς ἀρχῆς ὡς πρότερον, εἰς πολλὴν ἦλθε
δυσθυμίαν καὶ κατήφειαν. ἐφόβουν θ' οἱ προσηρτη- 5
μένοι ταῖς δέσμαις τῶν ῥάβδων πελέκεις, οὓς ἔφερον
οἱ προηγούμενοι τῶν ἀνδρῶν ἑκάστου δώδεκα ὄντες
2151 ἀναστέλλοντες ἐκ τῶν στενωπῶν πληγαῖς τὸν ὄχλον,
ὃ καὶ ἐπὶ τῶν βασιλέων ἐγένετο πρότερον. κατελύθη
γὰρ εὐθὺς τὸ ἔθος τοῦτο μετὰ τὴν ἐκβολὴν τῶν μονάρ-
χων ὑπ' ἀνδρὸς δημοτικοῦ Ποπλίου Οὐαλερίου τὴν
ἐκείνων ἐξουσίαν μεταλαβόντος, ᾧ πάντες οἱ μετ'
ἐκεῖνον ὕπατοι καλοῦ πράγματος δόξαντι ἄρξαι τὰ
ὅμοια πράττοντες οὐκέτι ταῖς δέσμαις τῶν ῥάβδων
προσήρτων τοὺς πελέκεις, ὅτι μὴ κατὰ τὰς στρατείας
καὶ τὰς ἄλλας ἐξόδους τὰς ἐκ τῆς πόλεως. πόλεμον 6
δ' ἐξάγοντες ὑπερόριον ἢ τῶν ὑπηκόων πράγματα ἐπι-
σκεψόμενοι, τότε καὶ τοὺς πελέκεις ταῖς ῥάβδοις προσ-

1 ἰσοτίμους τε ἅπαντας Bb ἰσότιμοι τε ἅπαντες R correxi
7 πάντες Ba 18 καὶ om. B | ἐγ⟨ί⟩νετο Bb 26 ἐπισκεπτό-
μενοι O praeter B

ελάμβανον, ἵνα τὸ τῆς ὄψεως φοβερόν, ὡς κατ' ἐχθρῶν ἢ δούλων γινόμενον, ἥκιστα φαίνηται τοῖς πολίταις ἐπαχθές.

LX. Τοῦτο δὴ θεασαμένοις ἅπασιν, ὃ τῆς βασιλικῆς ἐξουσίας σημεῖον ἐνομίζετο εἶναι, πολὺ παρειστήκει δέος, ὥσπερ ἔφην, ἀπολωλεκέναι νομίζουσι τὴν ἐλευθερίαν καὶ δέκα βασιλεῖς ἑλομένοις ἀνθ' ἑνός. τοῦτον δὲ τὸν τρόπον καταπληξάμενοι τοὺς ὄχλους οἱ δέκα 2152 ἄνδρες καὶ γνόντες, ὅτι δεῖ φόβῳ τὸ λοιπὸν αὐτῶν ἄρχειν, ἑταιρίαν ἕκαστοι συνῆγον ἐπιλεγόμενοι τοὺς θρασυτάτους τῶν νέων καὶ σφίσιν αὐτοῖς ἐπιτηδειοτάτους. 2 τὸ μὲν οὖν ἐκ τῶν ἀπόρων καὶ τῶν ταπεινῶν ταῖς τύχαις τοὺς πλείους φανῆναι τυραννικῆς κόλακας ἐξουσίας, τοῦ κοινοῦ συμφέροντος ἀλλαξαμένους τὰς αὐτῶν ὠφελείας, οὔτε παράδοξον οὔτ' ἀνέλπιστον ἦν· τὸ δὲ καὶ ἐκ τῶν πατρικίων εὑρεθῆναι συχνοὺς ἔχοντάς τι καὶ ἐπὶ πλούτῳ καὶ ἐπ' εὐγενείᾳ μέγα φρονεῖν τοὺς ὑπομένοντας συγκαταλύειν τοῖς δεκαδάρχοις τὴν τῆς πατρίδος ἐλευθερίαν, τοῦτο θαυμαστὸν ἅπασιν εἶναι ἐδόκει· οἱ ⟨δὲ⟩ πάσαις κολακεύοντες ἡδοναῖς, ὁπόσαι πεφύκασιν ἀνθρώπων κρατεῖν, κατὰ πολλὴν ἄδειαν ἦρχον τῆς πόλεως, βουλὴν μὲν ἢ δῆμον ἐν οὐδεμιᾷ μερίδι τιθέμενοι, πάντων δὲ αὐτοὶ νομοθέται τε καὶ δικασταὶ γινόμενοι, καὶ πολλοὺς μὲν ἀποκτιν- 2153

2 γινόμενον] φαινόμενον c. Reiske | φαίνηται] γένηται c. Kiessling 6 δέ⟨ος ὥ⟩σπερ Bb 7 ἑλομένοις O δεχομένοις Naber Mnem. 30, 255 9 αὐτῶν om. B 18 δεκάρχοις O praeter B cf. Ambrosch ad D. H. II 14, 4 Vratisl. 1840 p. 20 19 *ἅπασιν εἶναι δοκεῖ οἳ πάσαις κολακεύοντες A ἅ. εἶναι δοκεῖ οἳ (ὃ Ba) πάσαις κολακεύοντες B ἐδόκει οὓς ἐκεῖνοι πάσαις κ. Kiessling οἱ δὲ scripsi 23 αὐτ⟨οὶ⟩ Bb 24 καὶ del. Reiske | ἀποκ⟨τι⟩ννύντες Bb

νύντες τῶν πολιτῶν, πολλοὺς δ' ἀφαιρούμενοι τὰς
οὐσίας ἀδίκως. ἵνα δ' αὐτοῖς εὐπρεπῶς τὰ γινόμενα 3
ἔχῃ παράνομα καὶ δεινὰ ὄντα ὡς δὴ σὺν τῷ δικαίῳ
πραττόμενα, δικαστήρια ἐφ' ἑκάστῳ χρήματι ἀπεδί-
δοσαν· ἦσαν δὲ οἵ τε κατήγοροι ὑπ' αὐτῶν ἐκείνων
ἐκ τῶν συγκατασκευαζόντων τὴν τυραννίδα ὑποπεμ-
πόμενοι, καὶ ⟨τὰ⟩ δικαστήρια ἐκ τῶν ἑταίρων ἀποδεικ-
νύμενα, οἳ διημείβοντο ἀλλήλοις καταχαριζόμενοι τὰς
δίκας. πολλὰ δὲ τῶν ἐγκλημάτων καὶ οὐ τὰ ἐλαχίστου 4
ἄξια ἐφ' ἑαυτῶν οἱ δέκα ἔκρινον, ὥστ' ἠναγκάζοντο οἱ
μειονεκτοῦντες τῷ δικαίῳ προσνέμειν ἑαυτοὺς ταῖς
ἑταιρίαις, ἐπειδὴ τὸ ἀσφαλὲς οὐκ ἐνῆν ἄλλως αὐτοῖς
ἔχειν, καὶ ἐγένετο σὺν χρόνῳ πλεῖον τοῦ ὑγιαίνοντος
ἐν τῇ πόλει τὸ διεφθαρμένον καὶ νοσοῦν. οὐδὲ γὰρ
ἠξίουν ἔτι μένειν ἐντὸς τείχους, οἷς τὰ πραττόμενα
2154 ὑπὸ τῶν δεκαδάρχων ἀνιαρὰ ἦν, ἀλλ' ἀνεχώρουν εἰς
τοὺς ἀγροὺς τὸν τῶν ἀρχαιρεσίων σκοποῦντες χρόνον
ὡς ἀποθησομένων τῶν δέκα ἀνδρῶν τὰς δυναστείας,
ὅταν τὸν ἐνιαύσιον ἐκτελέσωσι χρόνον, καὶ ἀποδειξόν-
των ἑτέρας ἀρχάς. οἱ δὲ περὶ τὸν Ἄππιον τοὺς 5
λοιποὺς συγγράψαντες νόμους ἐν δέλτοις δυσὶ καὶ
ταύτας ταῖς πρότερον ἐξενεχθείσαις προσέθηκαν· ἐν
αἷς καὶ ὅδε ὁ νόμος ἦν, μὴ ἐξεῖναι τοῖς πατρικίοις
πρὸς τοὺς δημοτικοὺς ἐπιγαμίας συνάψαι· δι' οὐδὲν
ὡς ἐμοὶ δοκεῖν ἕτερον ἢ τὸ μὴ συνελθεῖν εἰς ὁμόνοιαν
τὰ ἔθνη γάμων ἐπαλλαγαῖς καὶ οἰκειοτήτων κοινωνίαις
συγκερασθέντα. ὡς δὲ καὶ ὁ τῶν ἀρχαιρεσίων ἐπέστη 6

1 ἀφ⟨αι⟩ρούμενοι Bb 7 καὶ τὰ δικαστήρια Kiessling τὰ om. O | ἑτ⟨αί⟩ρων Bb 23 ὅδε νόμος O praeter Bb | ἦν om. A 25 ὡς del. Cobet Obs. p. 201

χρόνος, πολλὰ χαίρειν φράσαντες τοῖς τε πατρίοις ἐθισμοῖς καὶ τοῖς νεωστὶ γραφεῖσι νόμοις, οὔτε βουλῆς ψήφισμα ποιήσαντες οὔτε δήμου διέμειναν ἐπὶ τῆς αὐτῆς ἀρχῆς.

[LXI. *Μετὰ δὲ τοῦτον τὸν ἐνιαυτὸν ὀλυμπιὰς μὲν ἦν ὀγδοηκοστὴ καὶ τρίτη, ἣν ἐνίκα στάδιον Κρί-* 2155
*σων Ἱμεραῖος, ἄρχοντος Ἀθήνησι Φιλίσκου, τὴν δὲ ὑπατικὴν ἐξουσίαν ἐν Ῥώμῃ κατεῖχεν Ἄππιος μὲν Κλαύδιος τρίτον ἔτος ἡγούμενος τῆς δεκαδαρχίας κατὰ τὸ ἑξῆς, οἱ δὲ σὺν αὐτῷ τὸν παρελθόντα ἐνιαυτὸν ἄρξαντες δεύτερον ἐπὶ τῆς αὐτῆς ἐξουσίας μένοντες.*]

1 πατρικοῖς A   5—12 ex initio libri XI male repetita in libris hoc loco Kiesslingius delevit   9 δεκαρχίας O praeter B in fine libri A exstant haec verba: τέλος σὺν θεῷ τοῦ δευτέρου βιβλίου.

XI

# ΔΙΟΝΥΣΙΟΥ

## ΑΛΙΚΑΡΝΑΣΕΩΣ

# ΡΩΜΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

## ΛΟΓΟΣ ΕΝΔΕΚΑΤΟΣ.

---

2156 *Ἐπὶ δὲ τῆς ὀγδοηκοστῆς καὶ τρίτης ὀλυμπιάδος,
ἣν ἐνίκα ⟨στάδιον⟩ Κρίσων Ἱμεραῖος, ἄρχοντος Ἀθή-
νησι Φιλίσκου καταλύουσι Ῥωμαῖοι τὴν τῶν δέκα
ἀρχὴν ἔτη τρία τῶν κοινῶν ἐπιμεληθεῖσαν. ὃν δὲ
τρόπον ἐπεχείρησαν ἐρριζωμένην ἤδη τὴν δυναστείαν
ἐξελεῖν, καὶ τίνων ἀνδρῶν ἡγησαμένων τῆς ἐλευθερίας,
καὶ διὰ ποίας αἰτίας καὶ προφάσεις, ἐξ ἀρχῆς ἀναλα-
βὼν πειράσομαι διελθεῖν ἀναγκαίας ὑπολαμβάνων
εἶναι καὶ καλὰς τὰς τοιαύτας μαθήσεις ἅπασι μὲν ὡς
εἰπεῖν ἀνθρώποις, μάλιστα δ' ὅσοι περὶ τὴν φιλόσοφον
θεωρίαν καὶ περὶ τὰς πολιτικὰς διατρίβουσι πράξεις.
τοῖς τε γὰρ πολλοῖς οὐκ ἀπαρκεῖ τοῦτο μόνον ἐκ τῆς 2
2157 ἱστορίας παραλαβεῖν, ὅτι τὸν Περσικὸν πόλεμον — ἵν'
ἐπὶ τούτου ποιήσωμαι τὸν λόγον — ἐνίκησαν Ἀθηναῖοί
τε καὶ Λακεδαιμόνιοι δυσὶ ναυμαχίαις καὶ πεζομαχίᾳ*

Titulus libri XI deest in LV    6 *στάδιον* om. LV    9 *ἤδη*] *ἔτι* M    14 *μάλιστα δὲ οἷς οἱ* (sic) Prou. in edit. Paris.    18 *ἐπὶ*] *περὶ* Sylburg; cf. Plato de re publ. 475 a ed. Stallb., Kühner gram. graec. II² p. 431

μιᾷ καταγωνισάμενοι τὸν βάρβαρον τριακοσίας ἄγοντα
μυριάδας αὐτοὶ σὺν τοῖς συμμάχοις οὐ πλείους ὄντες
ἕνδεκα μυριάδων, ἀλλὰ καὶ τοὺς τόπους, ἐν οἷς αἱ
πράξεις ἐγένοντο, βούλονται παρὰ τῆς ἱστορίας μαθεῖν,
καὶ τὰς αἰτίας ἀκοῦσαι, δι' ἃς τὰ θαυμαστὰ καὶ παρά-
δοξα ἔργα ἐπετέλεσαν, καὶ τίνες ἦσαν οἱ τῶν στρατο-
πέδων ἡγεμόνες τῶν τε βαρβαρικῶν καὶ τῶν Ἑλληνι-
κῶν ἱστορῆσαι, καὶ μηδενὸς ὡς εἰπεῖν ἀνήκοοι γενέ-
3 σθαι τῶν συντελεσθέντων περὶ τοὺς ἀγῶνας. ἥδεται
γὰρ ἡ διάνοια παντὸς ἀνθρώπου χειραγωγουμένη διὰ
τῶν λόγων ἐπὶ τὰ ἔργα καὶ μὴ μόνον ἀκούουσα τῶν
λεγομένων, ἀλλὰ καὶ τὰ πραττόμενα ὁρῶσα. οὐδέ γ'
ὅταν πολιτικὰς ἀκούσωσι πράξεις, ἀρκοῦνται τὸ κε-
φάλαιον αὐτὸ καὶ τὸ πέρας τῶν πραγμάτων μαθόντες,
ὅτι συνεχώρησαν Ἀθηναῖοι Λακεδαιμονίοις τείχη τε 2158
καθελεῖν τῆς πόλεως αὐτῶν καὶ ναῦς διατεμεῖν καὶ
φρουρὰν εἰς τὴν ἀκρόπολιν εἰσαγαγεῖν καὶ ἀντὶ τῆς
πατρίου δημοκρατίας ὀλιγαρχίαν τῶν κοινῶν ἀποδεῖξαι
κυρίαν οὐδὲ πρὸς αὐτοὺς ἀγῶνα ἀράμενοι, ἀλλ' εὐθὺς
ἀξιοῦσι καὶ τίνες ἦσαν αἱ κατασχοῦσαι τὴν πόλιν
ἀνάγκαι, δι' ἃς ταῦτα τὰ δεινὰ καὶ σχέτλια ὑπέμεινε,
καὶ τίνες οἱ πείσαντες αὐτοὺς λόγοι καὶ ὑπὸ τίνων
ῥηθέντες ἀνδρῶν καὶ πάντα, ὅσα παρακολουθεῖ τοῖς
4 πράγμασι, διδαχθῆναι. τοῖς δὲ πολιτικοῖς ἀνδράσιν,
ἐν οἷς ἔγωγε τίθεμαι καὶ τοὺς φιλοσόφους, ὅσοι μὴ
λόγων, ἀλλ' ἔργων καλῶν ἄσκησιν ἡγοῦνται τὴν φιλο-

2 αὐτοὶ σὺν] αὐτοῖς Reiske 6 ἐπετέλεσα V 12 οἷον ὁρῶσα c. Naber Mnem. 30, 256 16 διατεμεῖν] ἐπιτεμεῖν Naber l. l. 19 post κυρίαν Reiskio verba οὔτ' ἀντιλέξαντες οὐδὲν deesse videntur | οὔτε] οὐδὲ L quod recepi, cum idem valeat atque apud nos: nicht einmal 25 ἐν om. LM

*σοφίαν, τὸ μὲν ἥδεσθαι τῇ παντελεῖ θεωρίᾳ τῶν παρακολουθούντων τοῖς πράγμασι κοινὸν ὥσπερ καὶ τοῖς ἄλλοις ἀνθρώποις ὑπάρχει· χωρὶς δὲ τῆς ἡδονῆς περιγίγνεται τὸ περὶ τοὺς ἀναγκαίους καιροὺς μεγάλα τὰς πόλεις ἐκ τῆς τοιαύτης ἐμπειρίας ὠφελεῖν, καὶ*
2159 *ἄγειν αὐτὰς ἑκούσας ἐπὶ τὰ συμφέροντα διὰ τοῦ λόγου.*
*ῥᾷστα γὰρ οἱ ἄνθρωποι τά τε ὠφελοῦντα καὶ βλάπ-* 5
*τοντα καταμανθάνουσιν, ὅταν ἐπὶ παραδειγμάτων ταῦτα πολλῶν ὁρῶσι, καὶ τοῖς ἐπὶ ταῦτα παρακαλοῦσιν αὐτοὺς φρόνησιν μαρτυροῦσι καὶ πολλὴν σοφίαν. διὰ ταύτας δή μοι τὰς αἰτίας ἔδοξεν ἅπαντα ἀκριβῶς διελθεῖν τὰ γενόμενα περὶ τὴν κατάλυσιν τῆς ὀλιγαρχίας, ὅσα δὴ καὶ λόγου τυχεῖν ἄξια ἡγοῦμαι. ποιήσο-* 6
*μαι δὲ τὸν περὶ αὐτῶν λόγον οὐκ ἀπὸ τῶν τελευταίων ἀρξάμενος, ἃ δοκεῖ τοῖς πολλοῖς αἴτια γενέσθαι μόνα τῆς ἐλευθερίας, λέγω δὲ τῶν περὶ τὴν παρθένον ἁμαρτηθέντων Ἀππίῳ διὰ τὸν ἔρωτα· προσθήκη γὰρ αὕτη γε καὶ τελευταία τῆς ὀργῆς τῶν δημοτῶν αἰτία μυρίων ἄλλων προηγησαμένων, ἀλλ' ἀφ' ὧν ἤρξατο πρῶτον ἡ πόλις ὑπὸ τῆς δεκαδαρχίας ὑβρίζεσθαι, ταῦτα πρῶτον ἐρῶ καὶ διέξειμι πάσας ἐφεξῆς τὰς ἐν τῇ τότε καταστάσει γενηθείσας παρανομίας.*

2160 II. *Πρώτη μὲν οὖν ἦν ⟨ἡ⟩ δόξασα γενέσθαι τοῦ*
*κατὰ τῆς ὀλιγαρχίας μίσους πρόφασις, ὅτι συνύφηναν*

4 *περιγίνεται* V | *περὶ*] *παρὰ* c. falso Kiessling cf. Isocr. IV 73 *περὶ τοὺς καιροὺς τούτους* 8 *παραδειγμάτων ταῦτα* LV *παραδείγματα τοιαῦτα* M (in mge *ταυτὰ* potius); *ὅταν ταῦτα ἐπὶ παραδείγματι* (vel *παραδείγμασι*) *πολλῶν ὁρῶσι* c. Portus *ὅταν ἐπὶ παραδείγμασι ταῦτα πολλοῖς* c. Casaubonus 16 *λέγω δὲ* LV *λέγω δὴ* M cf. Krüger ad Dion. Hist. p. 89 20 *δεκαρχίας* O *δεκαδαρχίας* Kiessling 22 *γεννηθείσας* LV 23 *οὖν ἦν δόξασα* Heylbutio auctore V *οὖν δόξασα* R *οὖν ἦν ἡ δόξασα* Reiske *ἔδοξε* c. Ambrosch 24 *συνύφηναν*] *συνηύφηναν* sic ut *ύ* (alte-

τὴν δευτέραν ἀρχὴν τῇ προτέρᾳ δήμου τε ὑπεριδόντες
καὶ βουλῆς καταφρονήσαντες· ἔπειθ' ὅτι τοὺς χαριε-
στάτους Ῥωμαίων, οἷς οὐ κατὰ γνώμην τὰ πραττόμενα
ὑπ' αὐτῶν ἦν, οὓς μὲν ἐξήλαυνον ἐκ τῆς πόλεως αἰτίας
ἐπιφέροντες ψευδεῖς καὶ δεινάς, οὓς δὲ ἀπεκτίννυσαν,
κατηγόρους τε αὐτοῖς ὑποπέμποντες ἐκ τῶν ἰδίων ἑταί-
ρων καὶ τὰς δίκας ταύτας αὐτοὶ δικάζοντες· μάλιστα
δ' ὅτι τοῖς θρασυτάτοις τῶν νέων, οὓς εἶχον ἕκαστοι
περὶ αὐτούς, ἐφῆκαν ἄγειν καὶ φέρειν τὰ τῶν ἐναν-
2 τιουμένων τῇ πολιτείᾳ. οἱ δ' ὥσπερ ἁλούσης πολέμῳ
κατὰ κράτος τῆς πατρίδος οὐ τὰ χρήματα μόνον
ἀφῃροῦντο τοὺς νόμῳ κτησαμένους, ἀλλὰ καὶ εἰς τὰς
γαμετὰς αὐτῶν τὰς εὐμόρφους παρενόμουν καὶ εἰς
θυγατέρας ἐπιγάμους καθύβριζον καὶ πληγὰς τοῖς 2161
ἀγανακτοῦσιν ὥσπερ ἀνδραπόδοις ἐδίδοσαν· καὶ παρ-
εσκεύασαν, ὅσοις ἀφόρητα εἶναι τὰ γινόμενα ἐδόκει,
καταλιπόντας τὴν πατρίδα γυναιξὶν ὁμοῦ καὶ τέκνοις
εἰς τὰς πλησίον ἐξοικίζεσθαι πόλεις, ὑποδεχομένων
αὐτοὺς Λατίνων μὲν διὰ τὸ † ἀσθενές, Ἑρνίκων δὲ διὰ
τὴν ἔναγχος γενομένην αὐτοῖς ὑπὸ Ῥωμαίων ἰσοπολι-
τείαν. ὥσθ', ὅπερ εἰκὸς ἦν, τελευτῶντες αὐτοὶ κατ-
ελείφθησαν οἱ φιλοτύραννοι, καὶ οἷς μηδεμία τῶν
3 κοινῶν φροντὶς ἦν. οὔτε γὰρ οἵ γε πατρίκιοι διέμενον
ἐν τῇ πόλει θωπεύειν μὲν οὐκ ἀξιοῦντες τοὺς ἡγε-

rum) ex η corr. videatur esse V 1 τὴν τρίτην ἀρχὴν τῇ δευτέρᾳ Reiske 6 κατηγόρους τε αὐτοῖς LV 9 αὐτοὺς L 10 ἐν τῇ πολιτείᾳ Sylburg 13 παρηνόμουν O corr. Cobet Obs. crit. p. 202 cf. Jacoby Aar. Progr. p. 31 | εἰς del. idem l. l. 19 εὐσθενὲς vel ἀσθενὲς L ἀσθενὲς R συγγενὲς Sylburg quod quamquam ab omnibus receptum certe a Dionysio scriptum non est | ἐρνίχων O 20 τὴν ἔναγχος δεδομένην c. Sylburg cf. Cobet Obs. p. 202 23 οἵ τε πατρίκιοι O οἵ γε πατρίκιοι Kiessling

μόνας, ἐναντιοῦσθαι δὲ τοῖς πραττομένοις ἀδυνατοῦντες, οὔθ' οἱ καταγραφέντες εἰς τὸ βουλευτικὸν συνέδριον, οὓς ἐπάναγκες ἔδει παρεῖναι ταῖς ἀρχαῖς, ἀλλὰ καὶ τούτων οἱ πλείους ἀνασκευασάμενοι πανοικεσίᾳ καὶ τὰς οἰκίας ἐρήμους ἀφέντες ἐν τοῖς ἀγροῖς διέτρι-
βον. τοῖς δὲ ὀλιγαρχικοῖς καθ' ἡδονὴν αἱ τῶν ἐπι- 4
2162 φανεστάτων ἀνδρῶν ἐγίνοντο φυγαὶ πολλῶν μὲν καὶ ἄλλων ἕνεκα, μάλιστα δὲ ὅτι τοῖς ἀκολάστοις τῶν νέων πολὺ τὸ αὔθαδες προσεγίνετο μηδ' ὄψει δυναμένοις ἰδεῖν, οὓς ἔμελλον ἀσελγές τι πράττοντες αἰσχύνεσθαι.

III. Ἐρημουμένης δὲ τοῦ κρείττονος ἔθνους τῆς πόλεως καὶ τὸ ἐλεύθερον ἅπαν ἀπολωλεκυίας ἀφορμὴν κρατίστην ὑπολαβόντες ἐκεῖνοι οἱ πολέμῳ κρατηθέντες ὑπ' αὐτῆς τάς τε ὕβρεις ἃς ὑβρίσθησαν ἀποτίσασθαι καὶ τὰ ἀπολωλότα ἀναλαβεῖν, ὡς νοσούσης διὰ τὴν ὀλιγαρχίαν τῆς πόλεως καὶ οὔτε συστῆναι οὔθ' ὁμονοῆσαι οὔτ' ἀντιλαβέσθαι τῶν κοινῶν ἔτι δυνησομένης, παρασκευασάμενοι τὰ πρὸς τὸν πόλεμον ἐλαύνουσιν
ἐπ' αὐτὴν στρατεύμασι μεγάλοις. καὶ κατὰ τὸν αὐτὸν 2
χρόνον Σαβῖνοι ἐμβαλόντες εἰς τὴν ὁμοτέρμονα καὶ πολλῆς γενόμενοι λείας ἐγκρατεῖς φόνον τε πολὺν ἐργασάμενοι τοῦ γεωργικοῦ πλήθους ἐν Ἠρήτῳ κατ-
2163 εστρατοπέδευσαν· διέστηκε δ' ἀπὸ τῆς Ῥώμης ἡ πόλις αὕτη τετταράκοντα καὶ ἑκατὸν σταδίους πλησίον οὖσα

2 οὐδ' οἱ O οὔθ' οἱ Reiske 9 δυναμένους LV 10 ἀσελγέσι LV ἀσελγές τι Kiessling 11 ἔθνους LV μέρους M 13 ἐκεῖνοι οἱ O Αἰκανοὶ Casaubonus ἔχειν οἱ Kiessling quod probat Cobet Obs. p. 202 ἔξειν οἱ Prou; mea quidem sententia nihil mutandum est; de vi vocis ἐκεῖνος cf. Kühner gr. gr. II$^{2}$ 560 A 2, Schmid Attic. I 118 20 Σαβῖνοι μὲν Cobet Obs. p. 202 22 ῥηγῷ MV ῥητῷ L Ἠρήτῳ Sylburg

3 *Τιβέρεως ποταμοῦ. Αἰκανοὶ δ' εἰς τὴν Τυσκλάνων*
*γῆν ἐμβαλόντες ὅμορον οὖσαν σφίσι καὶ πολλὰ δῃώ-*
*σαντες αὐτῆς ἐν Ἀλγιδῷ πόλει τίθενται τὸν χάρακα.*
*ὡς δ' ἤκουσαν οἱ δέκα τὴν τῶν πολεμίων ἔφοδον,*
*τεταραγμένοι συνεκάλουν τὰς ἑταιρείας, καὶ μετὰ τού-*
4 *των ὅ τι χρὴ πράττειν ἐσκόπουν. τὸ μὲν οὖν ὑπερ-*
*όριον ἀποστέλλειν στρατιὰν καὶ μὴ περιμένειν, ἕως*
*ἐπ' αὐτὴν ἔλθωσι τὴν πόλιν αἱ τῶν πολεμίων δυνά-*
*μεις, ἅπασιν ἐδόκει· παρεῖχε δ' αὐτοῖς πολλὴν ἀπορίαν,*
*πρῶτον μὲν εἰ πάντας Ῥωμαίους ἐπὶ τὰ ὅπλα κλητέον*
*καὶ τοὺς ἀπεχθομένους τῇ πολιτείᾳ· ἔπειθ' ὁποίαν*
*τινὰ δεήσει τὴν καταγραφὴν τῶν στρατιωτῶν ποιήσα-*
*σθαι, πότερον αὐθάδη καὶ μισοπόνηρον οἵας ἔθος ἦν* 2164
*ποιεῖσθαι τοῖς τε βασιλεῦσι καὶ τοῖς ὑπάτοις, ἢ φιλάν-*
5 *θρωπον καὶ μέτριον. ἐδόκει τ' αὐτοῖς οὐδ' ἐκεῖνο*
*μικρᾶς εἶναι ζητήσεως ἄξιον, τί τὸ κυρῶσον ἔσται*
*τὴν περὶ τοῦ πολέμου γνώμην καὶ τὴν στρατολογίαν*
*ψηφιούμενον, πότερα τὸ συνέδριον τῆς βουλῆς ἢ τὸ*
*δημοτικὸν πλῆθος ἢ τούτων μὲν οὐδέτερον, ἐπεὶ δι'*
*ὑποψίας ἦν αὐτοῖς ἑκάτερον, αὐτοὶ δὲ σφίσιν αὐτοῖς*
*οἱ δέκα. τέλος δ' οὖν πολλὰ βουλευσάμενοι τὴν βου-*
*λὴν ἔγνωσαν συγκαλεῖν καὶ ποιεῖν, ὅπως τόν τε πόλε-*
*μον αὐτοῖς ἐκείνη ψηφιεῖται καὶ τὴν τοῦ στρατοῦ*
6 *καταγραφὴν ἐπιτρέψει ποιήσασθαι. εἰ γὰρ ὑπὸ τοῦ*

1 *Τιβέρεως* O cf. Jacoby Jahresb. p. 157; Krebs, Präpositionsadv. II 54 A; idem Wochenschr. f. kl. Ph. 1892, 433
2 *ἐμβαλόντες*] *ἐκβαλόντες* L 3 *ἀλγηδο* L *ἀλγειδο* V *ἀργηδο* (λ superscr.) M cf. X 21, 1 | *πόλει* del. Cobet Obs. p. 202 10 *ἀκτέον* O *κλητέον* Cobet Obs. p. 202 11 *ἀπεχθομένους* O *ἀχθομένους* Cobet l. l. 15 *οὔτ'* O *οὐδ'* Reiske ¦ *μετρίαν* L 18 *τῆς βουλῆς* del. Reudler Tiroc. p. 65 24 *ἐπιτρέψῃ* O

συνεδρίου κυρωθείη τούτων ἑκάτερον, πρῶτον μὲν εὐ-
πειθεῖς ἔσεσθαι πάντας ὑπελάμβανον ἄλλως τε καὶ
τῆς δημαρχικῆς ἐξουσίας καταλελυμένης, ἣ μόνη κατὰ
νόμους ἐξῆν ἐναντιοῦσθαι τοῖς ὑπὸ τῶν δυνατῶν ἐπι-
ταττομένοις· ἔπειτ' αὐτοὶ [εἴ τι] δόξειν ὑπηρετοῦντες
τῇ βουλῇ καὶ τὰ κυρωθέντα ὑπ' ἐκείνης πράττοντες
κατὰ νόμους ἀνειληφέναι τὴν ἐξουσίαν τοῦ πολέμου.
2165 IIII. Ταῦτα βουλευσάμενοι καὶ παρασκευάσαντες
ἐκ τῶν ἰδίων ἑταίρων καὶ συγγενῶν τοὺς ἀγορεύσον-
τας ἐν τῷ συνεδρίῳ τὰς συμφερούσας αὐτοῖς γνώμας
καὶ τοῖς μὴ ταὐτὰ προαιρουμένοις ἐναντιωσομένους
προῆλθον εἰς τὴν ἀγορὰν καὶ παραστησάμενοι τὸν
κήρυκα τοὺς βουλεύοντας ἐξ ὀνόματος καλεῖν ἐκέλευον.
ὑπήκουε δ' αὐτοῖς τῶν μετρίων οὐδείς. πολλάκις δὲ 2
τοῦ κήρυκος βοῶντος καὶ παριόντος οὐδενὸς εἰ μὴ
τῶν κολακευόντων τὴν ὀλιγαρχίαν, ἐν οἷς ἦν τὸ κά-
κιστον τῆς ὀλιγαρχίας μέρος, οἱ μὲν τότ' ὄντες κατὰ
τὴν ἀγορὰν ἐθαύμαζον, εἰ περὶ μηδενὸς πώποτε συγ-
καλέσαντες τὴν βουλήν, τότε πρῶτον ἔγνωσαν, ὅτι καὶ
συνέδριον ἦν τι παρὰ Ῥωμαίοις ἀγαθῶν ἀνδρῶν, οὓς
ἔδει περὶ τῶν κοινῶν σκοπεῖν. οἱ δέκα δὲ ταῦθ' 3
ὁρῶντες ἐπεχείρησαν μὲν ἐκ τῶν οἰκιῶν τοὺς βουλευ-
τὰς ἄγειν· πυθόμενοι δὲ τὰς πλείους ἐρήμους ἀφει-
μένας εἰς τὴν ὑστεραίαν ἀνεβάλοντο. ἐν δὲ τῷ μεταξὺ

3 καταλελυμένης L καταλυομένης MV 4 δυναστῶν O δυνατῶν Cobet Obs. p. 203 5 εἴ τι δόξειν L εἴ τι δόξειεν R εἴ τι del. Kiessling [εἴ τι] δόξειαν Prou cf. Vassis Ἀθηνᾶ VIII 264 9 ἑταίρων LV γονέων M 11 ταῦτα LV 13 βουλεύσοντας O βουλεύοντας Reiske 17 τῆς ὀλιγαρχίας] τῆς πόλεως Reiske 18 καλέσαντες M 21 οἱ δὲ καὶ ταῦτ' O corr. Reiske 24 ἀνεβάλλοντο O corr. Casaubonus

χρόνῳ πέμποντες ἐπὶ τοὺς ἀγροὺς ἐκεῖθεν αὐτοὺς 2166
ἐκάλουν. πληρωθέντος δὲ τοῦ συνεδρίου προελθὼν
Ἄππιος, ὁ τῆς δεκαδαρχίας ἡγεμών, ἀπήγγειλεν ὅτι
διχόθεν ἀπό τε Αἰκανῶν καὶ Σαβίνων ἐπάγεται τῇ
Ῥώμῃ πόλεμος· καὶ διεξῆλθε λόγον ἐκ πολλῆς συγκεί-
μενον ἐπιμελείας, οὗ τέλος ἦν ψηφίσασθαι στρατοῦ
καταγραφὴν καὶ διὰ τάχους ποιῆσαι τὴν ἔξοδον, ὡς
4 οὐ διδόντος ἀναστροφὴν τοῦ καιροῦ. ταῦτα δὲ αὐτοῦ
λέγοντος ἀνίσταται Λεύκιος Οὐαλέριος ἐπωνυμίαν Πο-
τῖτος, ἀνὴρ μέγα φρονῶν ἐπὶ τοῖς προγόνοις· πατὴρ
μὲν γὰρ αὐτῷ Οὐαλέριος ἦν ὁ τὸν Σαβῖνον Ἑρδώνιον
ἐκπολιορκήσας κατέχοντα τὸ Καπετώλιον, καὶ τὸ μὲν
φρούριον ἀνακτησάμενος, αὐτὸς δ' ἐκ τῆς μάχης ἀπο-
θανών· πάππος δὲ πρὸς πατρὸς Ποπλικόλας ὁ τοὺς
βασιλεῖς ἐκβαλὼν καὶ τὴν ἀριστοκρατίαν καταστησά-
5 μενος. παριόντα δ' αὐτὸν ἔτι καταμαθὼν Ἄππιος καὶ
καθ' ἑαυτοῦ τι λέξειν ἐλπίσας· Οὐχ οὗτος ὁ τόπος, 2167
εἶπεν, ὦ Οὐαλέριε, σός, οὐδὲ προσήκει σοι νῦν λέγειν,
ἀλλ' ὅταν οἵδε οἱ πρεσβύτεροι καὶ τιμιώτεροί σου
γνώμην ἀγορεύσωσι, τότε καὶ σὺ κληθεὶς ἐρεῖς ὅ τι
σοι δοκεῖ· νῦν δὲ σιώπα καὶ κάθησο. Ἀλλ' οὐχ ὑπὲρ
τούτων, ἔφησεν ὁ Οὐαλέριος, ἀνέστηκα ἐρῶν, ἀλλ'
ὑπὲρ ἄλλων μειζόνων τε καὶ ἀναγκαιοτέρων, ὑπὲρ ὧν
6 οἴομαι δεῖν πρῶτον ἀκοῦσαι τὴν βουλήν. εἴσονται δ'

2 προσελθὼν O corr. Portus παρελθὼν c. Reudler Tiroc. p. 65 3 δεκαρχίας O corr. Kiessling | ἀπήγγελεν LV ἀπήγγειλεν Kiessling 9 γαλέριος hoc aliisque locis O 10 μεγαλόφρων, non ut in edit. Kiesslingiana exstat μεγαλοφρονῶν O μέγα φρονῶν Kiessling cf. Jacoby Obs. p. 321, Krebs Zur Rect. d. Cas. I 17 Anm. 2, Wochenschr. f. kl. Ph. 1889, 798 17 καθ' ἑαυτὸν O καθ' ἑαυτοῦ Reiske

ἐξ ὧν ἂν ἀκούσωσιν οὗτοι, πότερα ταῦτ' ἐστὶν ἀναγκαιότερα τοῖς κοινοῖς, ὑπὲρ ὧν ὑμεῖς αὐτοὺς συγκεκλήκατε, ἢ τὰ ὑπ' ἐμοῦ λεχθησόμενα. ἀλλὰ μή μ' ἀποστέρει λόγου βουλευτὴν ὄντα καὶ Οὐαλέριον καὶ περὶ σωτηρίας τῆς πόλεως λέγειν βουλόμενον. ἐὰν δὲ φυλάττῃς τὴν συνήθη πρὸς ἅπαντας αὐθάδειαν, δημάρχους μὲν ποίους ἐπικαλέσομαι; καταλέλυται γὰρ ἡ τῶν κατισχυομένων πολιτῶν βοήθεια ὑφ' ὑμῶν. καίτοι 7
τίνος ἔλαττον τοῦτο κακόν, ὅτε Οὐαλέριος ὢν [Ποτῖτος] ὡς εἷς τῶν ἐλαχίστων οὐκ ἔχω τὸ ἴσον, ἀλλὰ
2168 δημαρχικῆς ἐξουσίας δέομαι; οὐ μὴν ἀλλ' ἐπεὶ τῆς ἀρχῆς ἐκείνης ἀπεστερήμεθα, ὑμᾶς τοὺς ἅμα τούτῳ παρειληφότας καὶ τὴν ἐκείνης ἐξουσίαν τῆς ἀρχῆς καὶ δυναστεύοντας τῆς πόλεως ἅπαντας καλῶ [καὶ] οὐκ ἀγνοῶν μέν, ὅτι διὰ κενῆς τοῦτο ποιῶ, φανερὰν δὲ βουλόμενος πᾶσι γενέσθαι τὴν συνωμοσίαν ὑμῶν, ὅτι συγκεχύκατε τὰ τῆς πόλεως καὶ μίαν ἅπαντες γνώμην ἔχετε· μᾶλλον δὲ σὲ μόνον ἐπικαλοῦμαι, Κόιντε Φάβιε Οὐιβολανέ, τὸν ἐπὶ ταῖς τρισὶν ὑπατείαις κοσμούμενον, εἰ τὸν αὐτὸν νοῦν ἔτι ἔχεις. ἀλλ' ἀνίστασο καὶ βοήθει τοῖς κατισχυομένοις· εἰς σὲ γὰρ ἀποβλέπει τὸ συνέδριον.

4 καὶ Οὐαλέριον del. Garrer Obs. p. 65 Cobet Obs. p. 203 9 κακὸν] κακοῦ M | ὅτε O ὅτι Sylburg | Ποτῖτος del. Cobet Obs. p. 203 11 οὐ μὴν ἀλλ' ἐπείγε c. Reudler Tir. p. 65 13 τὴν ἴσην ἐκείνῳ ἐξουσίαν c. Reiske 14 καὶ del. Cobet Obs. p. 203 15 ἀγνοῶ O ἀγνοῶν Cobet l. l. 19 ἐπὶ del. stulte Garrer Obs. p. 65 | κοσμούμενον O κεκοσμημένον Garrer l. l. καυχούμενον Schenkl Bursiani Litt. Ann. breviarium p. 48; ego censeo Herod. I 109 verba respiciens supplendum esse ad verba τὸν ἐπὶ τρισὶν ὑπατείαις κοσμούμενον hoc loco κόσμον; est enim fig. etym.

V. Ὡς δὲ ταῦτ' εἶπεν, ὁ Φάβιος ἐκάθητο ὑπ' αἰσχύ-
νης οὐδὲν ἀποκρινόμενος, Ἄππιος δὲ καὶ οἱ λοιποὶ
δέκα πάντες ἀναπηδήσαντες ἐκώλυον αὐτὸν λέγειν.
θορύβου δὲ πολλοῦ κατασχόντος τὸ συνέδριον καὶ τῶν 2169
μὲν πλείστων ἀγανακτούντων, τῶν δ' ἐκ τῆς ἑταιρείας
αὐτοὺς λέγειν ὀρθῶς ἡγουμένων, ἀνίσταται Μάρκος
Ὁράτιος ὁ Βαρβᾶτος ἐπικληθεὶς ἀπόγονος Ὁρατίου τοῦ
συνυπατεύσαντος Ποπλίῳ Οὐαλερίῳ Ποπλικόλᾳ μετὰ
τὴν ἐκβολὴν τῶν βασιλέων, ἀνὴρ καὶ τὰ πολεμικὰ
δεινὸς καὶ λέγειν οὐκ ἀδύνατος, Οὐαλερίῳ δ' ἐκ πα-
λαιοῦ φίλος· ὃς οὐκέτι κατασχὼν τὴν χολὴν ἔφησε·
2 Θᾶττόν μ' ἀναγκάσετε, Ἄππιε, τοὺς χαλινοὺς διαρρῆ-
ξαι οὐκέτι μετριάζοντες, ἀλλὰ τὸν Ταρκύνιον ἐκεῖνον
ἐνδυόμενοι, οἵ γ' οὐδὲ λόγου τυχεῖν ἐᾶτε τοὺς περὶ
σωτηρίας τῶν κοινῶν βουλομένους λέγειν. πότερόν
ὑμῶν ἐξελήλυθεν ἐκ τῆς διανοίας, ὅτι σώζονται μὲν
οἱ Οὐαλερίων ἀπόγονοι τῶν ἐξελασάντων τὴν τυραν-
νίδα, λείπεται δὲ διαδοχὴ τῆς Ὁρατίων οἰκίας, οἷς
πάτριόν ἐστιν· ὁμόσε χωρεῖν τοῖς καταδουλουμένοις τὴν
3 πατρίδα καὶ μετὰ τῶν ἄλλων καὶ μόνοις; ἢ τοσαύτην
κατεγνώκατε καὶ ἡμῶν καὶ τῶν ἄλλων Ῥωμαίων ἀναν- 2170
δρίαν, ὥστ' ἀγαπήσειν ἐάν τις ἐᾷ ζῆν ἡμᾶς ὁπωσδή-

1 post εἶπεν exstant verba λεύκιος γαλέριος in CM | ὁ μὲν Φάβιος c. Schenkl Bursiani Litt. Ann. brev. p. 280 | ὑπ' αἰσχύνης O ὑπ' ἀνάγκης c. Smit Obs. p. 50 2 Ἄππιος γὰρ Smit l. l. 5 de verbis τῶν — λέγειν ὀρθῶς ἡγουμένων alucinatur idem Smit l. l.; cf. Schenkl l. l. 7 Ὁράτιος] ὀρύγιος vel ὀρούγιος O | βαρβάτος vulgo βαρβᾶτος Vassis Ἀθηνᾶ VIII p. 264 | ὠρατίου LV 8 οὐαλερίῳ V 9 πολέμια dubitanter Kiessling 10 γαλερίῳ V 11 σχολὴν CLaM χολὴν LbV | ἔφησεν LV 12 με V μὲν CM om. L | ἀναγκασ' V ἀναγκάσεις R ἀναγκάσετε Portus cogitis Lapi versio 15 βουλομένους M βουλευομένους LV 18 δ' ἡ διαδοχὴ c. Kiessling

ποτε, ὑπὲρ ἐλευθερίας δὲ καὶ παρρησίας μήτ' ἐρεῖν
μήτε πράξειν μηθέν; ἢ μεθύετε τῷ μεγέθει τῆς ἐξου-
σίας; ὑμεῖς Οὐαλερίου λόρον ἀφελεῖσθε ἢ τῶν ἄλλων
τινὸς βουλευτῶν τίνες ὄντες ἢ ποίαν ἀρχὴν ἔχοντες
νόμιμον; οὐκ εἰς ἐνιαυτὸν ἀπεδείχθητε τῶν κοινῶν
προστάται; οὐ παρῴχηκεν ὁ τῆς ἀρχῆς ὑμῶν χρόνος;
οὐκ ἰδιῶται τῷ νόμῳ γεγόνατε; ταῦτ' εἰς τὸν δῆμον
βουλεύεσθε ἐξενεγκεῖν. τί γὰρ δὴ καὶ τὸ κωλῦον ἔσται 4
τὸν βουλόμενον ἡμῶν τὴν ἐκκλησίαν συγκαλεῖν, καὶ
τὴν ἐξουσίαν ὑμῶν, ἣν παρὰ τοὺς νόμους ἔχετε, κατ-
ηγορεῖν; ἀνάδοτε τοῖς πολίταις ψῆφον ὑπὲρ αὐτοῦ
τούτου, πότερα δεῖ μένειν τὴν δεκαδαρχίαν ὑμῶν, ἢ
τὰς πατρίους πάλιν ἀποδείκνυσθαι ἀρχάς· κἂν τοῦτο
2171 μανεὶς ὁ δῆμος ὑπομείνῃ, πάλιν τὴν αὐτὴν κατάστασιν
ἔχετε καὶ κωλύετε λέγειν, ὁπόσα βούλεταί τις ὑπὲρ τῆς
πατρίδος. ἄξιοι γὰρ ἂν εἴημεν καὶ ταῦτα καὶ ἔτι χείρονα
τούτων πάσχειν ἐφ' ὑμῖν γενόμενοι καὶ ῥυπαίνοντες
αἰσχρῷ βίῳ τὰς ἑαυτῶν τε καὶ τῶν προγόνων ἀρετάς.

2 *πράσσειν* O *πράξειν* Sylburg *δράσειν* Reiske 3 *ἀφείλεσθε* O *ἀφελεῖσθε* Casaubonus 7. 8 verba *ταῦτ' εἰς τὸν δῆμον βουλεύεσθε ἐξενεγκεῖν* om. MCa 8 *κωλύσον* Reiske cf. Reudler Tiroc. 26, qui errat 9 *βουλευόμενον ὑμῶν* L 10 *τὴν ἐξουσίαν* O *τῆς ἐξουσίας* Reiske cf. Kühner gr. gr. II² 347, 8 12 *τὴν* om. L in lacuna sex litterarum | *δεκαρχίαν* O corr. Kiessling 13 *ἀρχὰς καὶ εἰ τοῦτο μανεὶς* O praeter L in quo cod. desunt *καὶ εἰ τοῦτο* in lacuna decem litterarum 14 *ὑπομείνῃ* LV *ὑπομένειν* C *ὑπομείνει* M, unde colligi in hiatu cod. L reponendum *κἂν τοῦτο* censet Kiessling 15 *ἔχετε κωλύετε* L *ἔχετε καὶ κωλύετε* R *ἔχετε μὴ δὴ κωλύετε* c. Kiessling cum in L lacuna sit quinque litt. | *ὁπόσα βούλεταί τις λέγειν* O praeter L 16 post *πατρίδος* exstant in O praeter L qui cod. lacunam 15 litt. praebet, verba: *καὶ εἰ δίκαια ταῦτα δόξωσιν*. De hoc loco corruptissimo cf. Baumann Obs. gram. p. 45; 61 Smit Obs. crit. 51 sqq., Kayser Ann. phil. 1870 p. 724, Schenkl Burs. Litt. Ann. brev. p. 280 17 *τούτων* om. CM | *ἐφ' ἡμῖν* O *ἐφ' ἡμῶν* Hudson 18 *τε* om. CM

VI. Ἔτι δ' αὐτοῦ λέγοντος οἱ δέκα περιίστανται
κεκραγότες καὶ τὴν δημαρχικὴν ἐπανασείοντες ἐξουσίαν
καὶ ῥίψειν αὐτὸν ἀπειλοῦντες κατὰ τῆς πέτρας, εἰ μὴ
σιωπήσει. ἐφ' ᾧ πάντες ἀνέκραγον ὡς καταλυομένης
σφῶν τῆς ἐλευθερίας, καὶ μεστὸν ἦν ἀγανακτήσεώς τε
2 καὶ θορύβου τὸ συνέδριον. τοῖς μέντοι δέκα μετέμελεν
εὐθέως τῆς τε κωλύσεως τοῦ λέγειν καὶ τῆς ἀπειλῆς,
ὡς ἠρεθισμένην εἶδον ἐπὶ τῷ πράγματι τὴν βουλήν· 2172
ἔπειτα προσελθὼν ἐξ αὐτῶν Ἄππιος καὶ δεηθεὶς τῶν
θορυβούντων βραχὺν ἐπισχεῖν χρόνον, ἐπειδὴ κατ-
3 έστειλε τὸ ταραττόμενον αὐτῶν· Οὐδένα ὑμῶν, εἶπεν,
ἀποστεροῦμεν, ὦ ἄνδρες βουλευταί, λόγου, ὃς ἂν ἐν
τῷ προσήκοντι καιρῷ λέγῃ, τοὺς δ' ἐπιπολάζοντας καὶ
πρὶν ἢ κληθῆναι προεξανισταμένους εἴργομεν. μηδὲν
οὖν ἀγανακτεῖτε, καὶ γὰρ Ὁρατίῳ καὶ Οὐαλερίῳ καὶ
παντὶ ἄλλῳ γνώμην ἀγορεύειν ἐν τῷ ἑαυτοῦ τόπῳ
κατὰ τὸν ἀρχαῖον ἐθισμὸν καὶ κόσμον ἀποδώσομεν,
ἐάν γε περὶ ὧν βουλευσόμενοι συνεληλύθατε, περὶ
4 τούτων λέγωσι καὶ μηδὲν ἔξω· ἐὰν δὲ δημαγωγῶσιν
ὑμᾶς καὶ διαστασιάζωσι τὴν πόλιν τὰ μὴ πρὸς τὸ
πρᾶγμα δημηγοροῦντες, οὐδὲν τότε· τὴν δ' ἐξουσίαν
τοῦ κωλύειν τοὺς ἀκοσμοῦντας, ὦ Μάρκε Ὁράτιε,
παρὰ τοῦ δήμου λαβόντες ἔχομεν, ὅτε ἡμῖν καὶ τὴν
τῶν ὑπάτων καὶ τὴν τῶν δημάρχων ἀρχὴν ἐψηφίσαντο, 2173
καὶ ὁ χρόνος αὐτῆς οὔπω παρελήλυθεν, ὥσπερ σοι
5 δοκεῖ. οὐ γὰρ εἰς ἐνιαυτὸν ἀπεδείχθημεν, οὐδ' εἰς

9 προσελθὼν O προελθὼν Portus 10 ἐπισχεῖν L ἐπισχὼν R
15 ὡρατίῳ καὶ ὀαλερίῳ O 19 δημάγωσιν V 21 οὐδὲν τότε O
τὰ μὴ πρὸς τὸ πρᾶγμα συμφέροντα οὐδὲν c. Sylburg, post οὐδὲν
aliquid excidisse ut ἐνδώσομεν αὐτοῖς c. Kiessling | δὲ om. O
praeter LV

ἄλλον τινὰ χρόνον ὡρισμένον, ἀλλ' ἕως ἂν καταστη-
σώμεθα πᾶσαν τὴν νομοθεσίαν. συντελέσαντες οὖν,
ὅσα κατὰ νοῦν ἔχομεν, καὶ κυρώσαντες τοὺς λοιποὺς
νόμους, τότ' ἀποθησόμεθα τὴν ἀρχὴν καὶ λόγον τῶν
πεπραγμένων τοῖς βουλομένοις ὑμῶν ὑφέξομεν. τέως
δ' οὐδὲν ἐλαττώσομεν οὐδὲ τῆς ὑπατικῆς ἐξουσίας οὐδὲ
τῆς δημαρχικῆς. περὶ δὲ τοῦ πολέμου, τίνα χρὴ τρό- 6
πον ὡς τάχιστα καὶ κάλλιστα τοὺς ἐχθροὺς ἀμύνασθαι,
γνώμας ἀξιῶ παριόντας ὑμᾶς λέγειν, πρώτους μέν,
ὥσπερ ἐστὶ σύνηθες καὶ πρέπον ὑμῖν, τοὺς πρε-
σβυτέρους, ἔπειτα τοὺς μέσους, τελευταίους δὲ τοὺς
νεωτάτους.

VII. Ταῦτ' εἰπὼν πρῶτον μὲν ἐκάλει τὸν ἑαυτοῦ
θεῖον Γάιον Κλαύδιον. ὁ δ' ἀναστὰς τοιαύτην διέθετο
δημηγορίαν· Ἐπειδή με πρῶτον γνώμην ἀποφαίνεσθαι
ἀξιοῖ Ἄππιος, ὦ βουλή, τιμῶν διὰ τὸ συγγενές, ὥσπερ
αὐτῷ προσήκει, καὶ δεῖ με ἃ φρονῶ περὶ τοῦ πολέμου
τοῦ πρὸς Αἰκανοὺς καὶ Σαβίνους εἰπεῖν, πρὶν ἀπο-
2174 δείξασθαι τὴν ἐμαυτοῦ διάνοιαν, ἐκεῖνο βουλοίμην ἂν
ὑμᾶς ἐξετάσαι, τίσιν ἐπαρθέντες ἐλπίσιν Αἰκανοὶ καὶ
Σαβῖνοι πόλεμον ἐπενεγκεῖν ἐτόλμησαν ἡμῖν καὶ τὴν
χώραν ἐπιόντες λεηλατεῖν, οἱ τέως ἀγαπῶντες καὶ τοῖς
θεοῖς πολλὴν χάριν εἰδότες, εἴ τις αὐτοὺς εἴα τὴν
ἑαυτῶν ἔχειν ἀσφαλῶς. ἐὰν γὰρ τοῦτο μάθητε, καὶ
τὴν ἀπαλλαγὴν τοῦ πολέμου τοῦ πρὸς αὐτοὺς ἥτις
ἔσται κρατίστη μαθήσεσθε. ἐκεῖνοι τοίνυν ἀκούσαντες, 2

3 ἐν νῷ ἔχομεν c. Cobet Obs. p. 204 κατὰ νοῦν mea quidem sententia habet vim κατὰ θυμὸν Homeri 8 κάλλιστα] κράτιστα Kiessling 9 πρῶτον O praeter L 16 διὰ delendum vel δὴ τὸ scrib. esse Reiske censet

ὅτι σεσάλευται καὶ νοσεῖ τὸ πάτριον ἡμῶν πολίτευμα ἐκ πολλοῦ, καὶ τοῖς προεστηκόσι τῶν κοινῶν οὔτε ὁ δῆμος εὔνους ἐστὶν οὔτε οἱ πατρίκιοι, καὶ οὐ μάτην ἀκούσαντες — τὸ γὰρ ἀληθὲς οὕτως ἔχει, τὰς δ' αἰτίας ἐπισταμένοις ὑμῖν οὐδὲν δέομαι λέγειν — ὑπέλαβον, εἴ τις ἔξωθεν ἡμᾶς κατάσχοι πόλεμος ἅμα τοῖς ἐντὸς τείχους κακοῖς, καὶ δόξειε ταῖς ἀρχαῖς δύναμιν ἐξάγειν τὴν προπολεμήσουσαν τῆς γῆς, οὔτε τοὺς πολίτας ἐπὶ τὸν στρατιωτικὸν ὅρκον ἅπαντας ἥξειν ἐκ προθυμίας ὡς πρότερον, ἀπεχθῶς διακειμένους πρὸς τὰς ἀρχάς· 2175
οὔτε τοὺς ἡγεμόνας ταῖς ἐκ τῶν νόμων τιμωρίαις χρήσεσθαι κατὰ τῶν μὴ παραγενομένων δεδοικότας, μή τι μεῖζον ἐργάσωνται κακόν, τούς τε ὑπακούσαντας καὶ τὰ ὅπλα λαβόντας ἢ καταλείψειν τὰ σημεῖα ἢ παρα-
3 μένοντας ἐθελοκακήσειν ἐν τοῖς ἀγῶσιν. ὧν οὐδὲν ἔξω τοῦ εἰκότος ἤλπισαν· ὅταν μὲν γὰρ ὁμονοοῦσα πόλις ἅπτηται πολέμου, καὶ τὸ αὐτὸ συμφέρον ἅπασι φαίνηται τοῖς τ' ἄρχουσι καὶ τοῖς ἀρχομένοις, μετὰ προθυμίας ἅπαντες ἐπὶ τὰ δεινὰ χωροῦσι καὶ οὔτε
4 πόνον οὔτε κίνδυνον οὐδένα ὀκνοῦσιν. ὅταν δὲ νοσοῦσα ἐν αὐτῇ, πρὶν ἢ τὰ ἔνδον καταστήσασθαι, τοῖς ὑπαιθρίοις ὁμόσε χωρῇ πολεμίοις, καὶ παραστῇ τῷ μὲν πλήθει λογισμός, ὅτι οὐχ ὑπὲρ οἰκείων ἀγαθῶν κακοπαθοῦσιν, ἀλλ' ἵνα βεβαιότερον αὐτῶν ἕτεροι ἄρχωσι, τοῖς δ' ἡγεμόσιν, ὅτι πολέμιον ἔχουσιν οὐχ

1 ἡμῶν] ἡμῖν c. Sylburg 4 ἀκούοντες O ἀκούσαντες c. Reiske 8 προπολεμήσασαν LV 9 pro ὅρκον ἅπαντας ἥξειν c. Kiessling stulte ὅρκον ἀπαντήσειν | ἥξειν] ἕξειν LVM 12 χρήσασθαι LV 13 τοὺς δέ γε ὑπακούσαντας c. Reiske 21 αὐτῇ O | πριννὴ O 22 πολέμοις LV πολεμίοις Sylburg

*ἧττον τοῦ ἀντιπάλου τὸ οἰκεῖον, νοσεῖ τὰ ὅλα καὶ πᾶσα ἱκανὴ δύναμις τὰ τοιαῦτα στρατεύματα καταγωνίσασθαι καὶ φθεῖραι.*

2176 VIII. *Ταῦτ' ἐστίν, ὦ βουλή, τὰ Σαβίνων τε καὶ*
*Αἰκανῶν ἐνθυμήματα, οἷς πεπιστευκότες ἐμβεβλήκασιν*
*ἡμῶν εἰς τὴν γῆν. ἐὰν μὲν οὖν ἀγανακτήσαντες τῷ*
*καταφρονεῖσθαι πρὸς αὐτῶν ἐπαρθέντων ὡς ἔχομεν*
*ὀργῆς δύναμιν ἐξαγαγεῖν ἐπ' αὐτοὺς ψηφισώμεθα, δέ-*
*δοικα μὴ ταῦθ' ἡμῖν ἃ προὔλαβον ἐκεῖνοι συμβῇ,*
*μᾶλλον δ' εὖ οἶδα συμβησόμενα. ἐὰν δὲ τὰ πρῶτα* 2
*καὶ τἀναγκαιότατα καταστησώμεθα — ταῦτα δ' ἐστὶν*
*ἥ τ' εὐκοσμία τοῦ πλήθους καὶ τὸ πᾶσι ταὐτὰ συμ-*
*φέροντα φαίνεσθαι — ἐξελάσαντες μὲν ἐκ τῆς πόλεως*
*τὴν νῦν ἐπιχωριάζουσαν ὕβριν καὶ πλεονεξίαν, ἀπο-*
*δόντες δὲ τὸ ἀρχαῖον σχῆμα τῇ πολιτείᾳ, πτήξαντες*
*οἱ νῦν θρασεῖς καὶ τὰ ὅπλα ῥίψαντες ἐκ τῶν χειρῶν*
*ἥξουσιν ὡς ἡμᾶς οὐκ εἰς μακράν, τάς τε βλάβας*
*† . . . θούμενοι καὶ περὶ διαλλαγῶν διαλεξόμενοι, ὑπάρ-*
*ξει τε ἡμῖν ὃ πάντες ἂν εὔξαιντο οἱ νοῦν ἔχοντες,*
*χωρὶς ὅπλων διαπεπολεμηκέναι τὸν πρὸς αὐτοὺς πόλε-*
2177 *μον. ταῦτα δὴ λογισαμένους ἡμᾶς οἴομαι δεῖν τὴν μὲν* 3
*ὑπὲρ τοῦ πολέμου βουλήν, ἐπειδὴ ταραχωδῶς ἡμῖν*

1 *τὰ ὅλα* L ex *τἄλλα* correctum VM 3 *διαφθεῖραι* c. Kiessling 4 *αὐτὰ* V 7 *ἐπαρθέντων* vix esse sanum Kiessling censet, qui dubitanter *ἐκ τῶν παρόντων* conicit, *τοιαύταις ἐλπίσιν* vel *τῇ ἡμετέρᾳ διχοστασίᾳ* addendum esse c. Kayser Ann. phil. 1870, 724; cf. tamen Thuc. IV 18 9 *ἐκείνοις* LV 11 **ἀναγκαιότατα* O 18 . . . *θούμενοι* L *ὠθούμενοι* R *οἰσόμενοι* vel *λυσόμενοι* Sylburg *ὠνούμενοι* Portus *διορθούμενοι* Reiske *ἐπανορθούμενοι* Kiessling *ἐξακούμενοι* Cobet Obs. p. 204 sed mea quidem sententia nihil eiusmodi neque *κατορθούμενοι* neque *παραμυθούμενοι* Dionys. scripsit, sed futurum temp. reperiendum est | *διαλεγόμενοι* Reiske 19 *τε*] *τὰς* LV | *νῦν* O

ἔχει τὰ ἐντὸς τείχους, ἐᾶσαι κατὰ τὸ παρόν, ὑπὲρ ὁμονοίας δὲ καὶ κόσμου πολιτικοῦ προθεῖναι τῷ βουλομένῳ λέγειν. οὐ γὰρ ἐξεγένετο ἡμῖν, πρὶν εἰς τοῦτο καταστῆσαι τὸν πόλεμον, ὑπὸ τῆσδε τῆς ἀρχῆς κληθεῖσι περὶ τῶν ἐν τῇ πόλει πραγμάτων εἴ τι μὴ καλῶς εἶχε
4 τῶν γιγνομένων διαγνῶναι. πολλῆς γὰρ ἂν ἐπιτιμήσεως ἄξιος ἦν, εἴ τις ἐκεῖνον ἀφεὶς τὸν καιρὸν ἐν τούτῳ λέγειν ὑπὲρ αὐτῶν ἠξίου· οὐδ' ἂν ἔχοι τις εἰπεῖν βεβαίως, ὅτι τοῦτον ὑπερβαλόμενοι τὸν καιρὸν ὡς οὐκ ἐπιτήδειον ἑτέρου δυνησόμεθα τυχεῖν ἐπιτηδειοτέρου. εἰ γὰρ ἐκ τῶν γεγονότων τὰ μέλλοντα ἔσεσθαι βούλεταί τις εἰκάζειν, πολὺς ὁ μετὰ τοῦτον ἔσται χρόνος, ἐν ᾧ περὶ οὐδενὸς τῶν κοινῶν συνελευσόμεθα βουλευσόμενοι.

VIIII. Ἀξιῶ δ' ὑμᾶς, Ἄππιε, τοὺς προεστηκότας 2178
τῆς πόλεως καὶ τὸ κοινὸν ἀπὸ τῶν συμφερόντων οὐχὶ τὸ ὑμῖν αὐτοῖς ἰδίᾳ λυσιτελοῦν ὀφείλοντας σκοπεῖν, ἐάν τι τῶν ἀληθῶν μετὰ παρρησίας, ἀλλὰ μὴ καθ' ἡδονὰς τὰς ὑμετέρας λέγω, μή μοι διὰ τοῦτ' ἀπεχθάνεσθαι ἐνθυμουμένους, ὅτι οὐκ ἐπὶ λοιδορίᾳ καὶ προπηλακισμῷ τῆς ἀρχῆς ὑμῶν ποιήσομαι τοὺς λόγους,

3 εἰς τοῦτο καταστῆσαι τὸν πόλεμον L εἰς τοῦτο καταστήσαιντο πόλεμον V εἰς τ. καταστήσαιντο περὶ πολέμων M πρὶν εἰς τοῦτον καταστῆναι τὸν πόλεμον Reiske 4 post κληθεῖσι addunt O praeter V σκοπεῖν 5 post πραγμάτων add. M οὕτως ἐχόντων καὶ | εἶχε V ἔχει R 7 εἴ τις ἐκεῖνον ἀφεὶς O εἴ τις τοῦτον ἀ. Reiske 8 τούτῳ O ἐκείνῳ Reiske | αὐτῶν] ἄλλων Sylburg 13 περὶ οὐδενὸς O οὐδενὸς del. Reudler Tir. p. 66, ἐν ᾧ οὐ περὶ οὐδενὸς Smit Obs. p. 53, sed nihil mutandum est 15 τοὺς vel τῆς V 16 ἀπὸ τῶν συμφερόντων O ἁπάντων συμφέρον Sylburg, quam correctionem omnes falso probarunt; nam ἀπὸ habet ut ἐκ vim vocis germ.: gemäß; cf. Kühner gr. gr. II² 397 19 ἀπεχθάνεσθε (non ἀπεχθάνεσθαι) O ἀπέχθεσθαι Kiessling ἄχθεσθαι Vassis Ἀθηνᾶ VIII p. 264

ἀλλ' ἵνα δείξας, ἐν οἵῳ κλύδωνι τὰ πράγματα σαλεύει
τῆς πόλεως, τὴν σωτηρίαν καὶ ἐπανόρθωσιν αὐτῶν
ἥτις ἔσται φράσω. ἅπασι μὲν γὰρ ἴσως, ὅσοις τῇ 2
πατρίδι ... δωσιν, ἀναγκαῖός ἐστιν ὁ περὶ τῶν κοινῇ
συμφερόντων λόγος, μάλιστα δ' ἐμοί. πρῶτον μὲν
γάρ, ὅτι γνώμης ἄρχειν ἠξίωμαι διὰ τιμήν· αἰσχύνη
δὲ καὶ μωρία πολλὴ πρῶτον ἀναστάντα μὴ οὐχ ἃ δεῖ
πρῶτον ἐπανορθώσασθαι λέγειν. ἔπειθ' ὅτι συμβέβηκεν
2179 ὄντι θείῳ πρὸς πατρὸς Ἀππίου τοῦ προεστηκότος τῆς
δεκαδαρχίας ἥδεσθαί τε πάντων μάλιστα, ὅταν εὖ τὰ
κοινὰ ὑπ' αὐτῶν ἐπιτροπεύηται, καὶ ἀνιᾶσθαι παντὸς
ὁτουδήτινος μᾶλλον, ὅταν μὴ καλῶς. πρὸς δὲ τούτοις 3
ὅτι <ταύτην> πολιτείας διαδέδεγμαι προαίρεσιν ἐκ
προγόνων τὰ κοινὰ συμφέροντα πρὸ τῶν οἰκείων
λυσιτελῶν αἱρεῖσθαι καὶ μηδένα κίνδυνον ἴδιον ὑπο-
λογίζεσθαι, ἣν οὐκ ἂν προδοίην ἑκὼν εἶναι [δέ μοι
ταύτην τοῦ βίου προαίρεσιν] καὶ οὐκ ἂν καταισχύναιμι
τὰς ἐκείνων τῶν ἀνδρῶν ἀρετάς. περὶ μὲν οὖν τῆς 4
καθεστώσης πολιτείας, ὅτι πονηρῶς ἡμῖν ἔχει, καὶ δυσ-
χεραίνουσιν ὀλίγου δεῖν πάντες αὐτῇ, μέγιστον ὑμῖν

3 τῇ πατρίδι σώσειν L τ. π. δώσιν V τῇ πατρίδι μέλει τοῦ καλῶς ἔχειν R ex aperta interpolatione ὅσοις σὺν τῇ πατρίδι μέλει τοῦ καλῶς ἑαυτοὺς ἔχειν Reiske ὅσοις· (?) τῇ πατρίδι τὴν ψυχὴν δίδουσιν (sic) Prou 6 ἄρχειν VM ἄρξειν L 10 δεκαρχίας O corr. Kiessling | ὅταν μάλιστα O Sylburg transposuit 11 πάντως O παντὸς Sylburg 13 ante πολιτείας supplevit Sylburg τοιαύτην vel ταύτην; fortasse τὴν supplere satis est | διαδέδειγμαι LV 16 ἑκὼν εἶναι δέ μοι O Reiskio post εἶναι deesse quaedam videntur; sed neque cum hoc προσήκει δέ μοι ταύτην τηρεῖν τὴν τοῦ βίου προαίρεσιν neque cum Kiesslingio φυλάξω δὴ τοιαύτην τοῦ β. πρ. scribendum est, sed rectius cum Smitio Obs. p. 54 et Schenklio Litt. brev. p. 280 verba delenda sunt 20 *πάντες αὐτῇ μέγιστον ὑμῖν γενέσθω τεκμήριον πάντες οἱ τὰ κοινὰ διοικοῦντες ὃ μόνον O verba οἱ—διοικοῦντες

γενέσθω τεκμήριον [πάντες οἱ τὰ κοινὰ διοικοῦντες] ὃ
μόνον οὐδ' ἀγνοεῖν ἔξεστιν ὑμῖν, ὅτι φεύγουσιν ἐκ τῆς 2180
πόλεως ὁσημέραι καταλιπόντες τὰς πατρῴας ἑστίας οἱ
χαριέστατοι τῶν δημοτικῶν, οἱ μὲν εἰς τὰς πλησιο-
χώρους πόλεις ἅμα γυναιξὶ καὶ τέκνοις μετατιθέμενοι
τὰς οἰκήσεις, οἱ δ' εἰς τοὺς πλεῖστον ἀπέχοντας τῆς
πόλεως ἀγρούς· καὶ οὐδὲ τῶν πατρικίων πολλοὶ τὰς
κατ' ἄστυ ποιοῦνται διατριβὰς ὡς πρότερον, ἀλλὰ καὶ
τούτων οἱ πλείους τὸν βίον ἔχουσιν ἐν τοῖς ἀγροῖς.
5 καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν, ὅτε καὶ τῶν βου-
λευτῶν ὀλίγοι μέν τινες οἱ κατὰ συγγένειαν ἢ φιλίαν
προσήκοντες ὑμῖν ὑπομένουσιν ἐντὸς τείχους, οἱ δ'
ἄλλοι τὴν ἐρημίαν ποθεινοτέραν ἡγοῦνται τῆς πατρίδος;
ὅτε γοῦν ἐδέησεν ὑμῖν καλέσαι τὴν βουλήν, ἐκ τῶν
ἀγρῶν καθ' ἕνα καλούμενοι συνῆλθον, οἷς πάτριον ἦν
ἅμα ταῖς ἀρχαῖς διὰ φυλακῆς ἔχειν τὴν πατρίδα καὶ
6 μηδενὸς ἀπολείπεσθαι τῶν κοινῶν. ἆρ' οὖν τἀγαθὰ 2181
φεύγοντας ὑπολαμβάνετε ἀνθρώπους καταλιπεῖν τὰς
ἑαυτῶν πατρίδας ἢ τὰ κακά; ἐγὼ μὲν γὰρ οἶμαι τὰ
κακά. καίτοι τίνος ἔλαττον οἴεσθ' εἶναι κακὸν πόλει
καὶ ταῦτα τῇ Ῥωμαίων, ᾗ πολλῶν οἰκείων δεῖ σωμάτων,
εἰ μέλλει βεβαίως καθέξειν τὴν τῶν προσοίκων ἀρχήν,
τὸ καταλείπεσθαι μὲν ὑπὸ τῶν δημοτικῶν, ἐρημοῦσθαι δ'
ὑπὸ τῶν πατρικίων, οὔτε πολέμου κατασχόντος αὐτὴν οὔτε
νόσου λοιμικῆς οὔτ' ἄλλης θεηλάτου συμφορᾶς οὐδεμιᾶς;

post πάντες inseruit Kiessling p. 127, 20; Reiske post διοικοῦντες supplet οἴδαμεν (!) Ego verba delevi. 7 πολλοὶ κατ' ἄστυ ποιοῦνται τὰς διατριβὰς Cobet Obs. p. 204 9 ἔχουσιν] ἄγουσιν c. Grasberger Philol. 28, 546 vel διάγουσιν l. l. 28, 348; 552 10 ὅτι O ὅτε Sylburg 14 ὅτε γὰρ c. Hudson | τὴν om. LV 20 κακοῦ O κακὸν Cobet Obs. p. 204; cf. XI 4, 7 21 ᾗ] ἢ LV

X. *Βούλεσθε οὖν ἀκοῦσαι, τίνες εἰσὶν αἱ βιαζόμεναι
τοὺς ἀνθρώπους καταλιπεῖν αἰτίαι ἱερὰ καὶ τάφους
προγόνων καὶ ἐξερημοῦν ἐφέστια καὶ κτήσεις πατέρων
καὶ πᾶσαν ἡγεῖσθαι γῆν ἀναγκαιοτέραν τῆς πατρίδος;
οὐ γὰρ ἄτερ αἰτίας ταῦθ' οὕτως ἔχει. ἐγὼ δὴ φράσω
πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. κατηγορίαι γίνονται* 2
*τῆς ἀρχῆς ὑμῶν, Ἄππιε, πολλαὶ καὶ παρὰ πολλῶν· εἰ
μὲν ἀληθεῖς ἢ ψευδεῖς οὐδὲν δέομαι ζητεῖν ἐν τῷ
παρόντι, γίνονται δ' οὖν ὅμως. οὐδεὶς ⟨δ', ὡς⟩ εἰπεῖν,*
2182 *ἔξω τῶν ὑμετέρων ἑταίρων οἰκείως τοῖς παροῦσιν ἔχει
πράγμασιν. οἱ μέν γ' ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν, οἷς
προσῆκεν ἱερᾶσθαί τε καὶ ἄρχειν καὶ τὰς ἄλλας καρ-
ποῦσθαι τιμάς, ἃς οἱ πατέρες αὐτῶν ἐκαρποῦντο,
ἄχθονται τούτων ἀπελαυνόμενοι δι' ὑμᾶς τὰς προγονι-
κὰς ἀξιώσεις ἀπολωλεκότες. οἱ δὲ τὴν διὰ μέσου* 3
*τάξιν ἔχοντες ἐν τῇ πόλει καὶ τὴν ἀπράγμονα διώκοντες
ἡσυχίαν, χρημάτων τ' ἀδίκους ἁρπαγὰς ἐγκαλοῦσιν
ὑμῖν καὶ προπηλακισμοὺς εἰς γαμετὰς ὀδύρονται
γυναῖκας καὶ παροινίας εἰς θυγατέρας ἐπιγάμους καὶ
ἄλλας ὕβρεις πολλὰς καὶ χαλεπάς. τὸ δὲ πενέστατον* 4
*τοῦ δημοτικοῦ μέρος οὔτ' ἀρχαιρεσιῶν ἔτι κύριον
γινόμενον οὔτε ψηφοφοριῶν οὔτ' εἰς ἐκκλησίας καλού-
κενον οὔτ' ἄλλης πολιτικῆς φιλανθρωπίας μεταλαμβάνον*
2183 *οὐδεμιᾶς, διὰ ταῦτα πάνθ' ὑμᾶς μισεῖ καὶ τυραννίδα
καλεῖ τὴν ἀρχήν.*

2 *καταλείπειν* c. Garrer Obs. p. 57 9 *οὐδὲν εἰπεῖν* O (Kiessling errat) *οὐδεὶς δ' ὡς εἰπεῖν* Casaubonus *οὐδ' ἐστὶν εἰπεῖν* c. Reiske 11 *οἱ μέν γε* O *οἱ μὲν γὰρ* c. Reudler Tiroc. crit. p. 2 14 post *ἀπελαυνόμενοι* Kiessling *καὶ* add. 22 *γενόμενον* O correxit Reiske | *ψηφιφοριῶν* O 25 *ἀρχὴν ὑμῶν* M

XI. Πῶς οὖν ἐπανορθώσετε ταῦτα καὶ παύσεσθε δι' αἰτίας παρὰ τοῖς πολίταις ὄντες; τοῦτο γὰρ ἔσθ' ὑπόλοιπον εἰπεῖν. εἰ προβούλευμα τοῦ συνεδρίου ποιήσαντες ἀποδοίητε τῷ δήμῳ διαγνῶναι, πότερον αὐτῷ δοκεῖ πάλιν ὑπάτους τ' ἀποδεικνύναι καὶ δημάρχους καὶ τὰς ἄλλας ἀρχὰς τὰς πατρίους, ἢ μένειν
2 ἐπὶ τῆς αὐτῆς πολιτείας. ἐάν τε γὰρ ἀγαπῶσι Ῥωμαῖοι πάντες ὀλιγαρχούμενοι καὶ μένειν ὑμᾶς ἐπὶ τῆς αὐτῆς ἐξουσίας ψηφίσωνται, κατὰ νόμον ἕξετε καὶ οὐ βίᾳ τὴν ἀρχήν· ἐάν τε ὑπάτους πάλιν αἱρεῖσθαι βουληθῶσι καὶ τὰς ἄλλας ἀρχὰς ὡς πρότερον, ἀποθήσεσθε νόμῳ τὴν ἐξουσίαν καὶ οὐ δόξετε ἀκόντων ἄρχειν τῶν ἴσων· τοῦτο μὲν γὰρ τυραννικόν, τὸ δὲ παρ' ἑκόντων τὰς
3 ἀρχὰς λαμβάνειν ἀριστοκρατικόν. τοῦ δὲ πολιτεύματος τούτου πρῶτον οἴομαι δεῖν ἄρξαι σὲ καὶ παῦσαι τὴν ὑπὸ σοῦ κατασταθεῖσαν ὀλιγαρχίαν, Ἄππιε, λυσιτελῆ 2184
γέ ποθ' ἡμῖν γενομένην, νῦν δ' ἐπαχθῆ. ἃ δ' ἐκ τοῦ πεισθῆναί μοι καὶ ἀποθέσθαι τὴν ἐπίφθονον ἐξουσίαν
4 ταύτην κερδανεῖς, ἄκουσον. ἐὰν μὲν ὅλον ὑμῶν τὸ ἀρχεῖον ἐπὶ τῆς αὐτῆς γένηται προαιρέσεως, διὰ σὲ πάντες ὑπολήψονται τὸν ἄρξαντα καὶ τούτους γεγενῆσθαι χρηστούς· ἐὰν δ' οὗτοι φιλοχωρῶσιν ἐπὶ τῇ παρανόμῳ δυναστείᾳ, σοὶ μὲν ἅπαντες εἴσονται τὴν χάριν, ὅτι μόνος ἐβουλήθης δίκαια ποιεῖν, τοὺς δὲ μὴ θέλοντας σὺν αἰσχύνῃ καὶ μεγάλῃ βλάβῃ παύσουσι
5 τῆς ἀρχῆς. ὁμολογίας δὲ καὶ πίστεις ἀπορρήτους εἰ

2 ἔσθ'] ἔθ' c. Kiessling 16 λυσιτελῆ τέ ποτε ἡμῖν γενόμενον O pro τε c. γε Reiske, μέν ποθ' ἡμῖν c. Reudler Tiroc. crit. p. 66 17 γενόμενον O corr. Sylburg 18 πεισθῆναί με V 22 φιλοχωροῦσιν ἐπὶ] cf. Jacoby Obs. crit. p. 325 et Naber Mnem. 30, 256

*τινας ἀλλήλοις δεδώκατε θεοὺς ἐγγυητὰς ποιησάμενοι — τάχα γάρ τι καὶ τοιοῦτον ὑμῖν πέπρακται — φυλαττομένας ἀνοσίους εἶναι νόμιζε ὡς κατὰ πολιτῶν καὶ πατρίδος, καταλυομένας δ' εὐσεβεῖς. θεοὶ γὰρ ἐπὶ καλαῖς καὶ δικαίαις παραλαμβάνεσθαι φιλοῦσιν ὁμολογίαις, οὐκ ἐπ' αἰσχραῖς καὶ ἀδίκοις.*

XII. *Εἰ δὲ διὰ φόβον ἐχθρῶν ὀκνεῖς ἀποθέσθαι*
2185 *τὴν ἀρχήν, μή σοι κίνδυνοί τινες ἐξ αὐτῶν ἐπαχθῶσι,*
*καὶ δίκας ἀναγκασθῇς ὑπέχειν τῶν πεπραγμένων, οὐκ*
*ὀρθῶς δέδοικας. οὐ γὰρ οὕτω μικρόθυμος οὐδ' ἀχάριστος ἔσται ὁ Ῥωμαίων δῆμος, ὥστε τῶν μὲν ἁμαρτημάτων σου μεμνῆσθαι, τῶν δ' εὐεργεσιῶν ἐπιλελῆσθαι, ἀλλ' ἀντιπαρεξετάζων τὰ νῦν ἀγαθὰ τοῖς πάλαι κακοῖς ἐκεῖνα μὲν ἡγήσεται συγγνώμης ἄξια, ταῦτα δ' ἐπαίνων.*
*ὑπάρξει δέ σοι καὶ τῶν πρὸ τῆς ὀλιγαρχίας ἔργων* 2
*πολλῶν καὶ καλῶν ὄντων ὑπομιμνήσκειν τὸν δῆμον, καὶ τὴν ὑπὲρ ἐκείνων χάριν εἰς βοήθειαν καὶ σωτηρίαν ἀπαιτεῖν, ἀπολογίαις τε χρῆσθαι πρὸς τὰ κατηγορήματα πολλαῖς· τοῦτο μέν, ὡς οὐκ αὐτὸς ἥμαρτες, ἀλλὰ τῶν ἄλλων τις ἀγνοοῦντός σου· τοῦτο δ', ὡς οὐχ ἱκανὸς ἦσθα τὸν πράττοντα κωλύειν ἰσότιμον ὄντα· τοῦτο δ', ὡς ἑτέρου τινὸς ἔργου χρησίμου χάριν*
*ἠναγκάσθης ἀβούλητόν τι ὑπομεῖναι. πολὺς γὰρ ἂν* 3
*εἴη ὁ λόγος, εἰ πάσας ἐξαριθμεῖσθαι βουλοίμην τὰς ἀπολογίας. καὶ οἷς μηδὲν ἀπολόγημα ὑπάρχει μήτε δίκαιον μήτ' ἐπιεικές, ὁμολογοῦντες καὶ παραιτούμενοι*

3 *φυλαττομένας μὲν* cod. deteriores 4 post *πατρίδος* Reiske *γεγεννημένας* add. 9 *ἀναγκασθεὶς* V 10 *πρόθυμος* La *μικρόθυμος* LbR 13 *ἀγαθὰ* et *κακοῖς* del. Cobet Obs. p. 204, sed *τὰ νῦν ἀγαθὰ* spontaneam tyrannidis eiurationem esse merito Reiske dicit 23 *γὰρ* om. L 24 *ὁ* om. O praeter LV

πραΰνουσι τὰς τῶν ἠδικημένων ὀργάς, οἱ μὲν εἰς 2186
ἄνοιαν ἡλικίας καταφεύγοντες, οἱ δ' εἰς πονηρῶν
ἀνθρώπων ὁμιλίας, οἱ δ' εἰς μέγεθος ἀρχῆς, οἱ δ' εἰς
τὴν ἅπαντας πλανῶσαν τοὺς ἀνθρωπίνους λογισμοὺς
4 τύχην. ἐγώ σοι τῆς ἀρχῆς ἀποστάντι ὑπισχνοῦμαι
πάντων ἀμνηστίαν ὑπάρξειν τῶν ἡμαρτημένων καὶ
διαλλαγὰς πρὸς τὸν δῆμον ὡς ἐν κακοῖς εὐπρεπεῖς.

XIII. Ἀλλὰ δέδοικα, μὴ πρόφασις μὲν οὐκ ἀληθὴς
ὁ κίνδυνος ᾖ τοῦ μὴ παραχωρεῖν τῆς ἀρχῆς —
μυρίοις γοῦν ὑπῆρξε τυραννίδας ἀποθεμένοις μηδὲν
δεινὸν ὑπὸ τῶν πολιτῶν παθεῖν —, αἱ δ' ἀληθεῖς
ὦσιν αἰτίαι φιλοτιμία κενὴ τὴν εἰκόνα [τοῦ καλοῦ]
τῆς δόξης διώκουσα καὶ πόθος ἡδονῶν ὀλεθρίων, ἃς
2 οἱ τυραννικοὶ φέρουσι βίοι. εἰ δὲ βούλει μὴ τὰ
εἴδωλα καὶ τὰς σκιὰς τῶν τιμῶν καὶ τῶν εὐημεριῶν 2187
διώκειν, ἀλλ' αὐτὰς καρποῦσθαι τὰς ἀληθεῖς τιμάς,
ἀπόδος τὴν ἀριστοκρατίαν τῇ πατρίδι καὶ τιμὰς
λάμβανε παρὰ τῶν ἴσων καὶ ζήλου τύγχανε παρὰ τῶν
ἐπιγιγνομένων καὶ κλέος ἀθάνατον ἀντὶ τοῦ θνητοῦ
σώματος κατάλιπε τοῖς ἐγγόνοις. αὗται γάρ εἰσι
βέβαιοι καὶ ἀληθεῖς τιμαὶ καὶ ἀναφαίρετοι χαριέστατοί
3 τε καὶ ἀμεταμέλητοι. τρέφε τὴν ψυχὴν ἐπὶ τοῖς ἀγα-
θοῖς τῆς πατρίδος ἡδόμενος, ὧν οὐκ ἐλαχίστη μοῖρα
δόξεις γεγονέναι δυναστείαν βαρεῖαν αὐτῆς ἀφελόμενος.

4 ἀνθρωπίνους O in V supra scriptum est ἀνίσους 10 οὖν LVM 11 ἐὰν δὲ O αἱ δὲ Portus 12 τοῦ καλοῦ del. Garrer Obs. p. 67 13 τῆς δόξης delet Cobet Obs. p. 205 15 κατὰ σκιὰς V καὶ τὰς σκοτίας M κατασκοτίας L et cod. Elb. καὶ τὰς σκιὰς Sylburg | *εὐηθειῶν O εὐπαθειῶν Reiske εὐκλειῶν Sylburg εὐημεριῶν ego 21 χαρίεις τε καὶ O χάριτές τε Reiske χαριέστατοί τε Sylburg 22 στρέφε O corr. Reiske

*ποίησαι δὲ τούτων παραδείγματα τοὺς προγόνους
ἐνθυμηθείς, ὅτι τῶν ἀνδρῶν ἐκείνων οὐδεὶς ἐπεθύ-
μησεν ἐξουσίας δεσποτικῆς οὐδὲ ταῖς ἐπονειδίστοις τοῦ
σώματος ἐδούλευσεν ἡδοναῖς. τοιγάρτοι καὶ ζῶσιν
αὐτοῖς ὑπῆρχε τιμᾶσθαι καὶ τελευτήσασιν ὑπὸ τῶν
ἐπιγινομένων ἐπαινεῖσθαι. μαρτυρεῖται γάρ τοι παρὰ* 4
*πάντων αὐτοῖς, ὅτι τῆς ἀριστοκρατίας, ἣν ἐκβαλοῦσα
τοὺς βασιλεῖς ἡμῶν ἡ πόλις κατεστήσατο, βεβαιότατοι*
2188 *φύλακες ἐγένοντο. καὶ μηδὲν τῶν σεαυτοῦ λαμπρο-
τάτων λόγων τε καὶ πράξεων ἐπιλανθάνου. καλαὶ
γὰρ αἱ πρῶταί σου τῶν πολιτικῶν ἔργων ὑποθέσεις
ἐγένοντο καὶ μεγάλας ἐπέθρεψαν ἡμῖν ἀρετῆς ἐλπίδας,
αἷς ἀκολούθως καὶ τὰ λοιπὰ πράττειν σ' ἅπαντες
ἀξιοῦμεν. ἀναχώρει δὴ πάλιν εἰς τὴν σεαυτοῦ φύσιν,* 5
*Ἄππιε τέκνον, καὶ γίνου τῇ προαιρέσει τῶν πολιτευ-
μάτων μὴ τυραννικός, ἀλλ' ἀριστοκρατικὸς καὶ φεῦγε
τοὺς πρὸς ἡδονὴν ὁμιλοῦντας, δι' οὓς ἐξέβης τῶν
χρηστῶν ἐπιτηδευμάτων καὶ παρεπλάγχθης τῆς ὀρθῆς
ὁδοῦ. οὐ γὰρ ἔχει λόγον, ὑφ' ὧν ἂν γένηταί τις ἐξ
ἀγαθοῦ κακός, ὑπὸ τούτων πάλιν αὐτὸν ἐκ πονηροῦ
γενέσθαι χρηστόν.*

2189 XIIII. *Ταῦτά σοι πολλάκις ἐβουλήθην ὑποθέσθαι μόνῳ μόνος εἰς λόγους παραγενόμενος καὶ τὰ μὲν ὡς ἀγνοοῦντα διδάξαι, τὰ δ' ὡς ἁμαρτάνοντα νουθετῆσαι·*

3 *οὐδὲν* LV *οὐδ' ἐν* M 6 *ἐπιγινομένων* VM *ἐπιγενομένων* L | *γέ τοι* L *γάρ τοι* V *γὰρ* M cf. Reudler Tiroc. p. 2 9 *μηδὲν* O *μηδὲ* Sylburg 12 **ὑπέστρεψαν* O *ὑπιστριψαν* M *ὑπέγραψαν* Casaubonus *ὑπέθρεψαν* vulgo ante Casaubonum *ἐπέθρεψαν* ego cf. VII 9, 1 et X 6, 4 13 *ἀκολούθως* L *ἀκόλουθον* VM | *ἅπαντες* L om. R 20 *πάλιν αὖ* c. Naber Mnem. 30, 256 22 *ὑποθέσθαι* L et cod. Elb. *ἐκθέσθαι* MV 23 *μόνος μόνῳ* O praeter L et cod. Elb.

ἴσων τε καὶ κρειττόνων ἄρχης ὑπὸ τῶν ἡττόνων τε
καὶ κακιόνων ἄρχεσθαι. πολλὰ καὶ περὶ πολλῶν ἔτι 4
σοι λέγειν βουλόμενος ὀκνῶ. εἰ μὲν γὰρ ἐπὶ τὰ
κρείττω βουλεύματα ὁ θεὸς ἄγει σε, καὶ ταῦτα πλείω
τῶν ἱκανῶν εἴρηκα, εἰ δ' ἐπὶ τὰ χείρω, διακενῆς καὶ
τὰ λοιπὰ ἐρῶ. ἔχετε, ὦ βουλή, καὶ ὑμεῖς οἱ προ-
2191 εστηκότες τῆς πόλεως, τὴν ἐμὴν γνώμην καὶ περὶ τοῦ
πολέμου τῆς καταλύσεως καὶ περὶ τῶν ἐν τῇ πόλει
θορύβων τῆς ἐπανορθώσεως. εἰ δέ τις ἕτερα τούτων
κρείττω ἐρεῖ, τὰ βέλτιστα νικάτω.

XV. Τοιαῦτ' εἰπόντος Κλαυδίου καὶ πολλὴν ἐλπίδα
τῷ συνεδρίῳ παρασχόντος, ὡς ἀποθησομένων τῶν
δέκα τὴν ἀρχήν, Ἄππιος μὲν πρὸς ταῦτα οὐδὲν ἠξίω-
σεν εἰπεῖν· ἐκ δὲ τῶν ἄλλων ὀλιγαρχῶν προελθὼν
Κορνήλιος Μάρκος· Ἡμεῖς μέν, ἔφησεν, ὦ Κλαύδιε,
περὶ τῶν ἰδίων συμφερόντων αὐτοὶ διαγνωσόμεθα τῆς
σῆς οὐδὲν δεόμενοι βουλῆς. καὶ γὰρ ἡλικίας ἐν τῇ
φρονιμωτάτῃ ἐσμέν, ὥστε μηδὲν τῶν διαφερόντων
ἀγνοεῖν, καὶ φίλων οὐ σπανίζομεν, οἷς, ἐάν τι δέῃ,
συμβούλοις χρησόμεθα. παῦσαι δὴ πρᾶγμα ποιῶν 2
ἄωρον, ἀνὴρ πρεσβύτερος οὐ δεομένοις συμβουλῆς
γνώμας ἀποδεικνύμενος. τῷ Ἀππίῳ δ' εἴ τι βούλει
παραινεῖν ἢ λοιδορεῖσθαι — τοῦτο γὰρ ἀληθέστερον —
2192 ὅταν ἐξέλθῃς ἐκ τοῦ συνεδρίου, λοιδορήσῃ. νῦν δ'
ὑπὲρ τοῦ πρὸς Αἰκανοὺς καὶ Σαβίνους πολέμου, περὶ
οὗ κέκλησαι γνώμην ἀποδειξόμενος, ὅ τι σοι φαίνεται

4 πλείω ταῦτα c. Reiske 14 *ὀλιγαρχιῶν LMV ὀλιγαρχι-
κῶν vulgo ὀλιγαρχῶν ego cf. XI 39, 2; 43, 4; 46, 5 17 ἐν τῇ
φρονιμωτάτῃ O ἐν τῷ φρονιμωτάτῳ Reiske cf. Kiessling Zur
Kritik p. 6 21 ἀνδράσι πρεσβυτέροις c. Kiessling 26 ἀπο-
δειξάμενος LVM

καὶ παρεγενόμην εἰς τὴν οἰκίαν οὐχ ἅπαξ, ἀπήλασαν
δέ με οἱ σοὶ παῖδες ἀπὸ τῶν οἰκείων οὐ σχολὴν ἄγειν
σε λέγοντες, ἀλλ' ἕτερά τινα πράττειν ἀναγκαιότερα,
εἰ δή τί σοι τῆς πρὸς τὸ γένος εὐσεβείας ἀναγκαιότε-
2 ρον ἦν. τάχα δ' οὐχ ὑπὸ σοῦ κελευσθέντες οἱ παῖδες,
ἀλλ' ἐφ' ἑαυτῶν γνόντες διέκλεισάν με τῆς εἰσόδου,
καὶ βουλοίμην οὕτως τἀληθὲς ἔχειν. τὸ πρᾶγμα δή
με ἠνάγκασε τοῦτο διαλεχθῆναι <ἐν> τῷ συνεδρίῳ
πρὸς σὲ περὶ ὧν ἐβουλόμην, ἐπειδὴ μόνῳ πρὸς μόνον
οὐκ ἐξεγένετο. καιρὸν δ' ἔχει πάντῃ λέγεσθαι τὰ καλὰ
καὶ συμφέροντα παρ' ἀνθρώποις μᾶλλον, Ἄππιε, ἢ 2190
3 μηδαμῇ. ἀποδεδωκὼς δή σοι τὰ τοῦ γένους ὀφειλή-
ματα μαρτύρομαι θεούς, ὧν ἱερὰ καὶ βωμοὺς κοιναῖς
θυσίαις γεραίρομεν οἱ τῆς Ἀππίου γενεᾶς διάδοχοι,
καὶ προγόνων δαίμονας, οἷς μετὰ θεοὺς δευτέρας τιμὰς
καὶ χάριτας ἀποδίδομεν κοινάς, ὑπὲρ ἅπαντας δὲ τού-
τους γῆν, ἣ κατέχει τὸν σὸν μὲν πατέρα, ἐμὸν δ'
ἀδελφόν, ὅτι σοι παρέσχημαι ψυχήν τε καὶ φωνὴν
τὴν ἐμαυτοῦ τὰ κράτιστα βουλευομένην, καὶ ἐπανορ-
θῶν τὰς ἀγνοίας σου κατὰ δύναμιν τὴν ἐμὴν ἀξιῶ
σε μὴ τοῖς κακοῖς ἰᾶσθαι τὰ κακά, μηδὲ τῶν πλειόνων
ὀρεγόμενον καὶ τὰ παρόντα ἀπολέσαι, μηδ' ἵνα τῶν

2 ἀπὸ τῶν οἰκείων neque Sylburg qui ἀπὸ τῆς οἰκίας neque Reiske, qui πρὸς τὸν οἰκεῖον coniecit, intellexit ἀπὸ τῶν οἰκείων cum οὐ σχολὴν ἄγειν coniungenda esse et vim habere: 'infolge von', 'propter' cf. Tegge Quaest. de usu praep. p. 30   3 ἕτερά τι LV   4 δ' ἐπὶ O δή τι Reiske   6 ἐφ' M ἀφ' LV   7 βουλοίμην ἂν Krüger Index gr. gr. p. 263 καὶ εἰ βούλει, οὕτω τἀληθὲς ἐχέτω c. Naber Mnem. 30, 256 | *τὸ ἀληθὲς O   8 ἐν add. Casaubonus   11 παρὰ ἀνθρώποις O verba supervacanea esse Reiskio concedendum est, sed intellegi possunt   12 δή σου O ἀποδεδωκότος δή σου M   21 τοῖς ante κακοῖς del. Cobet Obs. p. 205

ἴσων τε καὶ κρειττόνων ἄρχης ὑπὸ τῶν ἡττόνων τε καὶ κακιόνων ἄρχεσθαι. πολλὰ καὶ περὶ πολλῶν ἔτι 4
σοι λέγειν βουλόμενος ὀκνῶ. εἰ μὲν γὰρ ἐπὶ τὰ κρείττω βουλεύματα ὁ θεὸς ἄγει σε, καὶ ταῦτα πλείω τῶν ἱκανῶν εἴρηκα, εἰ δ' ἐπὶ τὰ χείρω, διακενῆς καὶ τὰ λοιπὰ ἐρῶ. ἔχετε, ὦ βουλή, καὶ ὑμεῖς οἱ προ-
2191 εστηκότες τῆς πόλεως, τὴν ἐμὴν γνώμην καὶ περὶ τοῦ πολέμου τῆς καταλύσεως καὶ περὶ τῶν ἐν τῇ πόλει θορύβων τῆς ἐπανορθώσεως. εἰ δέ τις ἕτερα τούτων κρείττω ἐρεῖ, τὰ βέλτιστα νικάτω.

XV. Τοιαῦτ' εἰπόντος Κλαυδίου καὶ πολλὴν ἐλπίδα τῷ συνεδρίῳ παρασχόντος, ὡς ἀποθησομένων τῶν δέκα τὴν ἀρχήν, Ἄππιος μὲν πρὸς ταῦτα οὐδὲν ἠξίωσεν εἰπεῖν· ἐκ δὲ τῶν ἄλλων ὀλιγαρχῶν προελθὼν Κορνήλιος Μάρκος· Ἡμεῖς μέν, ἔφησεν, ὦ Κλαύδιε, περὶ τῶν ἰδίων συμφερόντων αὐτοὶ διαγνωσόμεθα τῆς σῆς οὐδὲν δεόμενοι βουλῆς. καὶ γὰρ ἡλικίας ἐν τῇ φρονιμωτάτῃ ἐσμέν, ὥστε μηδὲν τῶν διαφερόντων ἀγνοεῖν, καὶ φίλων οὐ σπανίζομεν, οἷς, ἐάν τι δέῃ,
συμβούλοις χρησόμεθα. παῦσαι δὴ πρᾶγμα ποιῶν 2
ἄωρον, ἀνὴρ πρεσβύτερος οὐ δεομένοις συμβουλῆς γνώμας ἀποδεικνύμενος. τῷ Ἀππίῳ δ' εἴ τι βούλει παραινεῖν ἢ λοιδορεῖσθαι — τοῦτο γὰρ ἀληθέστερον —
2192 ὅταν ἐξέλθῃς ἐκ τοῦ συνεδρίου, λοιδορήσῃ. νῦν δ' ὑπὲρ τοῦ πρὸς Αἰκανοὺς καὶ Σαβίνους πολέμου, περὶ οὗ κέκλησαι γνώμην ἀποδειξόμενος, ὅ τι σοι φαίνεται

4 πλείω ταῦτα c. Reiske 14 *ὀλιγαρχιῶν LMV ὀλιγαρχικῶν vulgo ὀλιγαρχῶν ego cf. XI 39, 2; 43, 4; 46, 5 17 ἐν τῇ φρονιμωτάτῃ O ἐν τῷ φρονιμωτάτῳ Reiske cf. Kiessling Zur Kritik p. 6 21 ἀνδράσι πρεσβυτέροις c. Kiessling 26 ἀποδειξάμενος LVM

*λέγε καὶ παῦσαι τὰ ἔξω τοῦ πράγματος φλυαρῶν.*
3 *Μετὰ τοῦτον ἀνίσταται πάλιν ὁ Κλαύδιος κατηφὴς καὶ*
*μεστοὺς ἔχων τοὺς ὀφθαλμοὺς δακρύων καί φησιν·*
*Ἄππιος μὲν οὐδ' ἀποκρίσεως ἄξιον ἡγεῖταί με, ⟨ὦ⟩*
*βουλή, τὸν ἑαυτοῦ θεῖον ἐναντίον ὑμῶν· ἀλλ' ὥσπερ*
*τὴν οἰκίαν τὴν ἰδίαν ἀπέκλεισέ μοι, καὶ τουτὶ τὸ συν-*
*έδριον ἄβατον [ὥσπερ] ἐφ' ἑαυτῷ ποιεῖ. εἰ δὲ χρὴ*
4 *τἀληθὲς λέγειν, καὶ ἐκ τῆς πόλεως ἐξελαύνομαι. οὐκέτι*
*γὰρ ⟨ἂν⟩ αὐτὸν ὀρθοῖς ὄμμασι δυναίμην ὁρᾶν ἀν-*
*άξιον γεγονότα τῶν προγόνων καὶ τυραννικὴν ἐζηλωκότα*
*παρανομίαν, ἀλλ' ἀνασκευασάμενος ἅπαντα τὰ ἐμὰ καὶ*
*τοὺς ἐμοὺς εἰς Σαβίνους ἄπειμι, πόλιν οἰκήσων Ῥή-*
*γιλλον, ἐξ ἧς τὸ γένος ἡμῶν ἐστι, καὶ μενῶ τὸν λοι-* 2193
*πὸν ἐκεῖ χρόνον, ἕως ἂν οὗτοι κατέχωσι τὴν καλὴν*
*ταύτην ἀρχήν. ἐπειδὰν δ' οἷα μαντεύομαι περὶ τὴν*
*δεκαδαρχίαν γένηται — γενήσεται δ' οὐκ εἰς μακράν —*
5 *τότε παρέσομαι. καὶ τὰ μὲν ὑπὲρ ἐμοῦ τοσαῦτα· περὶ*
*δὲ τοῦ πολέμου ταύτην ὑμῖν, ὦ βουλή, γνώμην ἀπο-*
*δείκνυμαι, μηδὲν ψηφίζεσθαι περὶ μηδενὸς πράγματος,*
*ἕως ἀποδειχθῶσι νέαι ἀρχαί. Ταῦτ' εἰπὼν καὶ πολὺν*
*ἐκ τοῦ συνεδρίου κινήσας ἔπαινον ἐπὶ τῷ γενναίῳ*
*καὶ φιλελευθέρῳ τῆς γνώμης ἐκάθισε. μετὰ δὲ τοῦ-*
*τον ἀναστὰς Λεύκιος Κοίντιος ὁ καλούμενος Κικιννᾶ-*

4 *ὦ* add. Sylburg 6 *ἀπόκλεισον* LV 7 **ὥσπερ ἐφ' ἑαυτῷ* O *ὅσονπερ ἐφ' ἑ.* Sylburg ego vocem *ὥσπερ* male repetitam delevi 8 **τὸ ἀληθὲς* O | *οὐκέτι γὰρ ἂν* Kayser Ann. phil. 1870, 725 11 *τἀμὰ* rectius cf. Aar. progr. p. 16 12 *ἰνρίλλιον* O corr. Sylburg 16 *δεκαρχίαν* O corr. Kiessling 18 *ἀποδείκνυμι* O corr. Sintenis Em. Dion. II 14 20 *ἕως* LV *ἕως ἂν* R cf. Krebs Präpositionsadv. II 16 | *ἀποδειχθῶσιν αἱ ἀρχαί* O corr. Grasberger Tess. Herb. p. 34 22 *φιλελευθερίῳ* LV 23 *κόιντος καλούμενος* LV | **Κικιννάτος* vulgo

τος καὶ Τίτος Κοίντιος Καπετωλῖνος καὶ Λεύκιος Λουκρήτιος καὶ πάντες ἑξῆς οἱ πρωτεύοντες δέκα τοῦ συνεδρίου τῇ Κλαυδίου γνώμῃ προσετίθεντο.

XVI. Ἐφ' ᾧ διαταραχθέντες οἱ περὶ τὸν Ἄππιον ἐβουλεύσαντο μηκέτι καθ' ἡλικίαν καὶ βουλῆς ἀξίωσιν συμβούλους καλεῖν, ἀλλὰ κατ' οἰκειότητα καὶ τὴν πρὸς
2194 αὐτοὺς ἑταιρίαν. καὶ παρελθὼν Μάρκος Κορνήλιος ἀνίστησι Λεύκιον Κορνήλιον τὸν ἀδελφόν, ὃς Κοίντῳ Φαβίῳ Οὐιβουλανῷ συνυπάτευσε τὸ τρίτον ὑπατεύοντι, δραστήριον ἄνδρα καὶ πολιτικοὺς διεξελθεῖν λόγους
οὐκ ἀδύνατον. οὗτος ἀναστὰς ἔλεξε τοιάδε· Θαυμαστὸν 2
μὲν ἦν καὶ τοῦτ', ὦ βουλή, εἰ ταύτην ἔχοντες ἄνθρωποι τὴν ἡλικίαν ἔχουσιν, οἱ πρὸ ἐμοῦ γνώμην ἀποφηνάμενοι καὶ πρωτεύειν ἀξιοῦντες τῶν συνέδρων, τὴν ἐκ τῶν πολιτικῶν προσκρουσμάτων ἀπέχθειαν ἀδιάλλακτον πρὸς τοὺς προεστηκότας τῆς πόλεως, οὓς ἐχρῆν† οἷόν τε δεῖ φυλάττειν, καὶ τοῖς νέοις παραινεῖν ἀπὸ τοῦ κρατίστου ποιεῖσθαι τοὺς ὑπὲρ τῶν καλῶν ἀγῶνας, καὶ μὴ πολεμίους, ἀλλὰ φίλους ἡγεῖσθαι τοὺς
περὶ τῶν κοινῶν ἀγαθῶν ἀντιπάλους. πολλῷ δ' ἔτι 3
τούτου θαυμασιώτερόν ἐστιν, εἰ τὰς ἰδίας ἀπεχθείας

2 δέκα Glareanus Sylburgius alii deleverunt 5 βουλῆς ἀξίωσιν O τιμῆς ἀ. Kiessling ἀρετῆς ἀ. Cobet Obs. p. 205 6 κατὰ οἰκειότητα O 9 οὐιουλανῷ O 12 βουλὴ οἱ L β. εἰ VM 13 ἡλικίαν ἔχουσιν O post ἡλικίαν add. οἵαν Kiessling ἣν Cobet Obs. p. 205 15 προκρουμάτων LV 16 post ἀδιάλλακτον add. ἔχουσιν Sylburg, sed neque ἣν vel οἵαν neque ἔχουσιν inserere editores debuerunt, cum verba οἱ — ἀποφηνάμενοι — ἀξιοῦντες — apposita sint | οὓς ἐχρῆν οἷόν τε δεῖ (δεῖν M) φυλάττειν O verba corrupta et fortasse mutila sic restitui posse Reiske existimavit: οὓς ἐχρῆν ἐντελῆ καὶ ὁλόκληρον τοῖς πολεμίοις αὐτὴν φυλάττειν 17 φυλάττειν O φιλοκαλεῖν Naber Mnem. 30, 257 19 φίλους O φιλίους Naber l. l.

ἐπὶ τὰ κοινὰ τῆς πόλεως πράγματα μεταφέρουσι καὶ
συναπολέσθαι τοῖς ἑαυτῶν ἐχθροῖς βούλονται μᾶλλον
ἢ σωθῆναι μετὰ πάντων τῶν φίλων. ὑπερβολὴν γὰρ 2195
ἀνοίας τούτοις καὶ οὐ πόρρω θεοβλαβείας πεποιήκασιν

4 οἱ πρόεδροι τῆς βουλῆς ἡμῶν. οὗτοι γὰρ ἀγανακτοῦν-
τες, ὅτι μετιόντας αὐτοὺς τὴν τῶν δέκα ἀρχήν, ἧς
αὐτοὶ νῦν κατηγοροῦσιν, ἐνίκησαν ἐν ἀρχαιρεσίαις
ἐπιτηδειότεροι φανέντες, ἀεὶ πολεμοῦσιν αὐτοῖς πόλε-
μον ἀδιάλλακτον, καὶ εἰς τοῦθ' ἥκουσιν εὐηθείας,
μᾶλλον δὲ μανίας, ὥσθ', ἵνα τούτους διαβάλλωσι πρὸς

5 ὑμᾶς, ὅλην ὑπομένουσιν ἀνατρέψαι τὴν πατρίδα· οἵ γ'
ὁρῶντες μὲν ἀνάστατον τὴν χώραν ἡμῶν ὑπὸ τῶν πο-
λεμίων γενομένην, ὁρῶντες δὲ ὅσον οὔπω καὶ ἐπὶ τὴν
πόλιν αὐτοὺς ἐλεύσεσθαι — τὸ γὰρ διὰ μέσου χωρίον
οὐ πολύ — ἀντὶ τοῦ παρακαλεῖν καὶ παρορμᾶν τοὺς
νέους ἐπὶ τὸν ὑπὲρ τῆς πατρίδος ἀγῶνα, καὶ αὐτοὶ
πάσῃ προθυμίᾳ καὶ σπουδῇ βοηθεῖν, ὅσῃ γοῦν ἐν τοῖς
τηλικούτοις ἐστὶν ἰσχύς, περὶ πολιτείας κόσμου νῦν 2196
ἀξιοῦσιν ὑμᾶς σκοπεῖν καὶ νέας ἀρχὰς ἀποδεικνύναι
καὶ πάντα μᾶλλον ἢ τοὺς ἐχθροὺς κακῶς ποιεῖν· καὶ
οὐδ' αὐτὸ τοῦτο δύνανται συνιδεῖν, ὅτι γνώμας ⟨ἀσυμ-
φόρους⟩ εἰσφέρουσι, μᾶλλον δ' εὐχὰς ἀδυνάτους ἔχουσιν.

4 τούτοις O τοῦτό γε Casaubonus omnesque ceteri | ὃ πεποιήκασιν Naber l. l. | θεοβλαβείας πεποιήκασιν] θ. ἀπεῖναι ἐοίκασιν c. dubitanter Kiessling; verba οὐ πόρρω δὲ θεοβλαβείας cum praecedentibus Reiske coniunxit sic pergens: οὕτω δὲ πεποιήκασιν. Mea quidem sententia ὑπερβολὴν pro ὑπερβολὴ O scribendum neque quidquam mutandum est 10 ὥσθ' ἵνα (τε supra) M 12 ὁρῶντες μετανάστατον O corr. Sylburg 13 ὁρῶντες δὲ] ἀκούοντες δὲ Cobet Obs. p. 206 21 γνώμας εἰσφέρουσι O γ. πονηρὰς εἰσφ. Kiessling; melius Grasberger Tess. Herp. p. 35 post εἰσφέρουσι addit (cf. c. 57 extr.) ἀσυμφόρους, quam vocem ante εἰσφέρουσι inserui 22 ἔχουσιν] λέγουσιν Reiske, Smit

XVII. Σκοπεῖτε γὰρ οὑτωσί· προβούλευμα γενήσεται
τῆς βουλῆς ὑπὲρ ἀρχαιρεσιῶν, ἔπειτ' ἐξοίσουσιν οἱ δέκα
τὰ βουλευθέντα εἰς τὸν δῆμον ὁρίσαντες ἀγορὰν τὴν
ἀπὸ ταύτης τρίτην. πῶς γὰρ ⟨ἂν⟩ ἀληθῶς γένοιτό τι
τῶν ὑπὸ τοῦ δήμου ψηφιζομένων κύριον, ἐὰν μὴ κατὰ
νόμους γένηται; ἔπειθ' ὅταν αἱ φυλαὶ διενέγκωσι τὴν
ψῆφον, τότε αἱ νέαι †παραιτοῦνται τὴν πόλιν ἀρχαὶ
καὶ προθήσουσιν ὑμῖν ὑπὲρ πολέμου σκοπεῖν. ἐν δὲ 2
τοῖς μεταξὺ τῶν ἀρχαιρεσιῶν χρόνοις τοσούτοις οὖσιν,
ἐὰν ἐπὶ τὴν πόλιν ἡμῶν ἔλθωσιν οἱ πολέμιοι καὶ προσ-
2197 αγάγωσι τοῖς τείχεσι, τί ποιήσομεν, Κλαύδιε; ἐροῦμεν
αὐτοῖς νὴ Δία· μείναθ', ἕως ἂν ἀποδείξωμεν ἑτέρας
ἀρχάς. Κλαύδιος γὰρ ἡμᾶς ἔπεισε περὶ μηδενὸς ἄλλου
πράγματος μήτε προβουλεύειν μήτ' εἰς τὸν δῆμον ἐκ-
φέρειν μήτε δυνάμεις καταγράφειν, ἐὰν μὴ τὰ περὶ
τὰς ἀρχὰς καταστήσωμεν ὡς βουλόμεθα. ἄπιτ' οὖν, 3
καὶ ὅταν ἀκούσητε ὑπάτους καὶ τὰς ἄλλας ἀρχὰς ἀπο-
δειχθείσας ὑπὸ τῆς πόλεως καὶ τὰ πρὸς τὸν ἀγῶνα
πάντα γεγονότα ἡμῖν εὐτρεπῆ, τόθ' ἥκετε περὶ διαλλα-
γῶν ποιησόμενοι τοὺς λόγους, ἐπειδὴ κακῶς ἤρξασθε
ἡμᾶς ποιεῖν οὐδὲν προπεπονθότες ὑφ' ἡμῶν· καὶ ὅσα
ἡμᾶς ἐβλάψατε κατὰ τὰς ἐμβολὰς εἰς χρημάτων λόγον,
ἅπαντα ἐκ τοῦ δικαίου διαλύσατε. τὸν δὲ τῶν γεωρ- 4
γῶν ὄλεθρον οὐχ ὑπολογιούμεθα ὑμῖν, οὐδ' εἴ τινα
γύναια ἐλεύθερα ὕβρεως καὶ παροινίας ἐπειράθη στρα-

Obs. p. 55 ἀδυνάτως ἐχούσας 3 βουληθέντα V 4 πῶς γὰρ ἀληθῶς LVM πῶς γὰρ ⟨ἂν⟩ ἄλλως Casaubonus | γένηται VM 7 παραιτοῦνται vel παραιτοῦντας O παραλήψονται Sylburg vox corrupta est 15 μηδὲ δυνάμεις c. Kiessling 17 ἀποδειχθήσας O 19 εὐπρεπῆ M 20 ἤρξατε Cobet Obs. p. 206 22 ἐκβολὰς M 23 διαλύσατε LV ληψόμεθα M

τιωτικῆς οὐδ' ἄλλο τῶν ἀνηκέστων οὐδέν. κἀκεῖνοι
ταῦτα προκαλουμένων ἡμῶν μετριάσουσι καὶ συγχωρή-
σαντες τῇ πόλει νέας ἀρχὰς ἀποδεῖξαι καὶ τὰ πρὸς τὸν 2198
πόλεμον εὐτρεπῆ ποιήσασθαι, τότε ἥξουσιν ἱκετηρίας
φέροντες ἀντὶ τῶν ὅπλων καὶ παραδιδόντες ἡμῖν
ἑαυτούς.

XVIII. Ὦ πολλῆς μὲν εὐηθείας τούτων, οἷς ἐπὶ
νοῦν ἔρχεται τοιαῦτα ληρεῖν, πολλῆς δ' ἀναλγησίας
ἡμῶν, εἰ τοιαῦτα λεγόντων αὐτῶν οὐκ ἀγανακτοῦμεν,
ἀλλ' ὑπομένομεν ἀκούειν, ὥσπερ ὑπὲρ τῶν πολεμίων,
ἀλλ' οὐχ ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῆς πατρίδος βουλευό-
2 μενοι. οὐκ ἀνελοῦμεν ἐκ μέσου τοὺς φλυάρους; οὐ
ταχεῖαν ψηφιούμεθα τῇ ὑπονοθευομένῃ χώρᾳ τὴν βοή-
θειαν; οὐ καθοπλιοῦμεν ἅπασαν τὴν ἀκμὴν τῆς πό-
λεως; οὐκ ἐπὶ τὰς ἐκείνων πόλεις αὐτοὶ στρατευσόμεθα;
ἀλλ' οἴκοι μένοντες καὶ τοῖς δέκα λοιδορούμενοι καὶ
νέας ἀρχὰς καθιστάντες καὶ περὶ κόσμου πολιτικοῦ
σκοποῦντες ὥσπερ ἐν εἰρήνῃ πάντ' ἐάσομεν ὑπὸ τοῖς
πολεμίοις τὰ ἐν τῇ χώρᾳ γενέσθαι, καὶ τελευτῶντες
ὑπὲρ ἀνδραποδισμοῦ κινδυνεύσομεν καὶ κατασκαφῆς
τῆς πόλεως, [ὡς] ἐάσαντες τὸν πόλεμον τοῖς τείχεσι
3 προσελθεῖν; οὐκ ἔστιν ὑγιαινόντων ἀνθρώπων τὰ τοι-
αῦτα βουλεύματα, ὦ πατέρες, οὐδὲ προνοίας πολιτικῆς 2199
τὰ κοινὰ συμφέροντα τῶν ἰδίων ἀπεχθειῶν ἡγουμένης
ἀναγκαιότερα, ἀλλὰ φιλονεικίας ἀκαίρου καὶ δυσμενείας
ἀβούλου καὶ φθόνου κακοδαίμονος, ὃς οὐκ ἐᾷ τοὺς

5 ὑμῖν LV 13 ὑπονοθευομένῃ O προνομευομένῃ Sylburg mea quidem sententia nihil mutandum est; cf. Hesych. ὑπονοθεῦσαι· ὑποφθεῖραι 18 ὑπὸ] ἐπὶ c. Cobet Obs. p. 206 21 πόλεως ὡς ἐάσαντες O ὡς del. Reiske

ἔχοντας αὐτὸν σωφρονεῖν. ἀλλὰ τὰς μὲν τούτων φιλονεικίας ἐάσατε χαίρειν, ἃ δὲ ψηφισάμενοι τῇ πόλει σωτήρια καὶ ὑμῖν αὐτοῖς προσήκοντα ἔσεσθε βεβουλευμένοι καὶ τοῖς ἐχθροῖς φοβερά, ἐγὼ πειράσομαι λέγειν.
νῦν μὲν τὸν πρὸς Αἰκανοὺς καὶ Σαβίνους πόλεμον 4
ἐπικυρώσατε καὶ τὰς δυνάμεις μετὰ πλείστης προθυμίας καὶ σπουδῆς καταγράφετε τὰς ἐπ' ἀμφοτέρους ἐξελευσομένας. ὅταν δὲ τὰ τοῦ πολέμου τέλος ἡμῖν τὸ κράτιστον λάβῃ, καὶ ἀναστρέψωσιν εἰς τὴν πόλιν αἱ δυνάμεις εἰρήνης γενομένης, τότε καὶ περὶ τοῦ κόσμου τῆς πολιτείας σκοπεῖτε, καὶ λόγον ἀπαιτεῖτε
2200 τοὺς δέκα περὶ πάντων, ὧν ἐπὶ τῆς ἀρχῆς ἔπραξαν, καὶ νέας ἀρχὰς ψηφοφορεῖτε καὶ δικαστήρια καθίζετε καὶ τιμᾶτε τοὺς ἑκατέρου τούτων ἀξίους, ὅταν ἐφ' ὑμῖν γένηται ταῦτ' ἀμφότερα, μαθόντες ὅτι οὐ τοῖς πράγμασιν οἱ καιροὶ δουλεύουσιν, ἀλλὰ τοῖς καιροῖς
τὰ πράγματα. Ταύτην ἀποδειξαμένου Κορνηλίου τὴν 5
γνώμην οἱ μετ' ἐκεῖνον ἀνιστάμενοι χωρὶς ὀλίγων τῆς αὐτῆς ἐγένοντο προαιρέσεως· οἱ μὲν ἀναγκαῖα καὶ τῷ παρόντι καιρῷ ταῦτα προσήκοντα ὑπολαμβάνοντες εἶναι, οἱ δ' ὑποκατακλινόμενοι καὶ θεραπεύοντες τοὺς δέκα τῷ φόβῳ τῆς ἀρχῆς. ἦν γάρ τι καὶ κατεπτηχὸς τὴν ἐξουσίαν οὐκ ἐλάχιστον μέρος ἐκ τῶν συνέδρων.

XVIIII. Ὡς δ' αἱ πλείους γνῶμαι διηγορεύθησαν, καὶ παρὰ πολὺ κρατεῖν ἐδόκουν οἱ τὸν πόλεμον ἐπι-

3 ἡμῖν LV 7 ἀμφοτέραις O corr. Sylburg 9 λάβῃ] λάβοι L 11 ἀπαιτεῖται τοῖς V 13 καθίζετε καὶ τιμᾶτε καὶ κολάζετε c. Reiske καθίζετε καὶ τιμωρεῖσθε καὶ τιμᾶτε Kiessling neuter quid verba velint intellegit 17 τὴν om. L 20 ταῦτα om. C 23 μέρος τῶν C 24 ἠγορεύθησαν c. Cobet Obs. p. 206

κυροῦντες τῶν ἑτέρων, τότε Λεύκιον Οὐαλέριον ἐν τοῖς ἐσχάτοις ἐκάλουν, ὃν ἔφην εὐθὺς ἐν ἀρχαῖς βουλόμενόν τι λέγειν κεκωλῦσθαι πρὸς αὐτῶν. ὁ δὲ ἀνα-
2 στὰς τοιούτους διεξῆλθε λόγους· Τὴν μὲν ἐπιβουλὴν 2201
τῶν δέκα ὁρᾶτε, ὦ πατέρες, οἵ κατ' ἀρχάς τ' οὐκ ἐπέτρεψάν μοι λέγειν ὅσα προῃρούμην πρὸς ὑμᾶς, καὶ νῦν ἐν τοῖς ὑστάτοις ἀποδεδώκασι λόγον ἐνθυμηθέντες, ὅπερ εἰκός, ὅτι τῇ τε Κλαυδίου γνώμῃ προσθέμενος οὐδὲν ὠφελήσω τὸ κοινὸν ὀλίγων αὐτῇ συνειρηκότων· ἑτέραν τε γνώμην παρὰ τὰς εἰρημένας αὐτοῖς ἀποφηνάμενος, κἂν τὰ κράτιστα ὑποθῶμαι, δια-
3 κενῆς ἐρραψῳδηκὼς ἔσομαι. εὐαρίθμητοι γάρ τινές εἰσιν οἱ μετ' ἐμὲ ἀναστησόμενοι, οὓς ἐὰν ἅπαντας ὁμογνώμονας λάβω, τί γενήσεταί μοι πλέον οὐδὲ πολλοστὴν ἕξοντι μοῖραν τῶν Κορνηλίῳ συναγορευόντων; οὐ μὴν ἐγὼ ταῦθ' ὑφορώμενος ὀκνήσω τὴν ἐμαυτοῦ γνώμην εἰπεῖν. ὅταν γὰρ ἀκούσητε πάντων, ἐφ' ὑμῖν
4 ἔσται τὰ κράτιστα ἑλέσθαι. περὶ μὲν οὖν τῆς δεκαδαρχίας, ὃν τρόπον ἐπιμελεῖται τῶν κοινῶν, ὅσα Κλαύδιος ὁ βέλτιστος εἶπε, καὶ ἐμοὶ νομίσατε εἰρῆσθαι, καὶ ὅτι δεῖ νέας ἀρχὰς ἀποδειχθῆναι, πρὶν ἢ τὸ περὶ τοῦ πολέμου γενέσθαι ψήφισμα· καὶ γὰρ ταῦτα εἴρηται τῷ 2202
5 ἀνδρὶ κατὰ τὸ βέλτιστον. ἐπεὶ δὲ Κορνήλιος εἰς τὸ ἀδύνατον ἀπάγειν ἐπειρᾶτο τὴν γνώμην πολλοὺς τοὺς μεταξὺ χρόνους ἀποφαίνων ταῖς πολιτικαῖς οἰκονομίαις γενησομένους ἐν χερσὶν ὄντος τοῦ πολέμου, καὶ χλευά-

1 γαλέριον O 11 αὐτῆς L αὐτοῖς R αὐτὸς Sintenis Em. Dion. II 25 12 ἐρραψωδικῶς V 16 οὐ μὴν ἐγώ γε c. Garrer Obs. p. 39 17 ἀκούσητε πάντων LV ἀκούσηται τὰ πάντα M 18 ἔστι O ἔσται Sylburg | δεκαρχίας O δεκαδαρχίας Kiessling 20 καὶ ἐμοὶ cf. Aar. Progr. p. 14

ζειν ἐπεχείρει πράγματα οὐκ ἐπιτήδεια χλευασμῶν, οἷς παρακρουσάμενος ὑμᾶς τοὺς πολλοὺς ᾤχετο φέρων, ἐγὼ καὶ περὶ τοῦ μὴ ἀδύνατον εἶναι τὴν Κλαυδίου γνώμην διαλέξομαι πρὸς ὑμᾶς· ὡς μὲν γὰρ ἀσύμφορος, οὐδὲ τῶν διασυράντων αὐτὴν οὐδεὶς ἐτόλμησεν εἰπεῖν· καὶ διδάξω, πῶς ἂν ἥ τε χώρα δι' ἀσφαλείας γένοιτο, καὶ δίκην δοῖεν οἱ τολμήσαντες αὐτὴν κακῶς ποιεῖν, καὶ τὴν πάτριον ἀπολάβοιμεν ἀριστοκρατίαν, καὶ ταῦθ'
2203 ἅμα γένοιτο συναγωνιζομένων ἁπάντων τῶν ἐν τῇ πόλει καὶ μηδενὸς τἀναντία πράττειν ἀξιοῦντος, σοφίαν οὐδεμίαν ἀποδεικνύμενος ὑμῖν, τὰ δὲ πραχθέντα ὑφ' ὑμῶν αὐτῶν παραδείγματα φέρων. ἔνθα γὰρ ἡ πεῖρα διδάσκει τὸ συμφέρον, τί δεῖ στοχασμῶν ἐκεῖ;

XX. Μέμνησθε, ὅτι ἀπὸ τῶν αὐτῶν τούτων ἐθνῶν ὥσπερ νῦν δυνάμεις ἐνέβαλον, αἱ μὲν εἰς τὴν ἡμετέραν γῆν, αἱ δ' εἰς τὴν τῶν συμμάχων ἡμῶν, κατὰ τὸν αὐτὸν ἀμφότεραι χρόνον Γαΐου Ναυτίου καὶ Λευκίου Μινυκίου τὴν ὑπατείαν ἐχόντων, ἔνατον ἢ δέκατον
ἔτος οἶμαι τουτί. τότε τοίνυν ἀποστειλάντων ὑμῶν 2
νεότητα πολλὴν καὶ ἀγαθὴν ἐπ' ἀμφότερα τὰ ἔθνη τῷ μὲν ἑτέρῳ τῶν ὑπάτων εἰς δυσχωρίας ἀναγκασθέντι κατακλεῖσαι τὸ στρατόπεδον πρᾶξαι μὲν οὐδὲν ἐξεγένετο, πολιορκεῖσθαι δ' ἐν τῷ χάρακι καὶ κινδυνεύειν
2204 σπάνει τῶν ἐπιτηδείων ἁλῶναι· Ναυτίῳ δ' ἀντικαθημένῳ Σαβίνων μάχας ἀναγκαῖον ἦν τίθεσθαι πρὸς

2 ὑμῶν Sylburg 9 ἅμ' ἂν Krüger Index gr. gr. p. 263 11 οὐδεμίαν ἐμὴν ἀποδεικνύμενος c. Reiske οὐδ. ἰδίαν ἀποδ. c. Cobet Obs. p. 206 | ὑμῖν La ἡμῖν R 13 ἐκεῖ O εἰκῇ c. Reiske 15 ὥνπερ c. Sintenis Em. Dion. II 12 18 γεννυκίου O Μινυκίου Sylburg 25 Σαβίνων O Σαβίνοις Sylburg | ἦν O εἶναι Kiessling quam correcturam in adnot. crit. revocavit | πρὸς

τοὺς αὐτοὺς συνεχεῖς καὶ μηδ' οἵῳ τ' εἶναι τοῖς κάμνουσι τῶν σφετέρων βοηθεῖν. ἦν τ οὐκ ἄδηλον, ὅτι τῆς ἐν Αἰκανοῖς στρατιᾶς ἀναρπασθείσης οὐδ' ἡ Σαβίνους πολεμοῦσα ἀνθέξει συνελθόντων εἰς τὸ αὐτὸ
3 τῶν πολεμίων ἀμφοτέρων. τοιούτων δὴ κινδύνων τὴν πόλιν περιστάντων καὶ οὐδὲ τῶν ἐντὸς τείχους ὁμονοούντων τίνα βοήθειαν εὕρασθε ὑμεῖς περὶ μέσας νύκτας εἰς τὸ βουλευτήριον συνελθόντες; ἥπερ ὤνησεν ὁμολογουμένως πάντα τὰ πράγματα καὶ φερομένην τὴν πόλιν εἰς ἀτυχὲς πτῶμα ὤρθωσεν, ἀρχὴν ἀπεδείξατε μίαν αὐτοκράτορα πολέμου καὶ εἰρήνης, ἀπάσας τὰς ἄλλας καταλύσαντες ἀρχάς, καὶ πρὶν ἡμέραν γενέσθαι δικτάτωρ ἀπεδέδεικτο Λεύκιος Κοίντιος ὁ βέλτιστος,
4 οὐδ' ἐν τῇ πόλει τότ' ὤν, ἀλλ' ἐν ἀγρῷ. τὰ μετὰ 2205
ταῦτα ἴστε δήπου τοῦ ἀνδρὸς ἔργα, ὅτι καὶ δυνάμεις ἀξιοχρέους παρεσκευάσατο καὶ τὸ κινδυνεῦον στρατόπεδον ἐρρύσατο καὶ τοὺς πολεμίους ἐτιμωρήσατο καὶ τὸν στρατηγὸν αὐτῶν αἰχμάλωτον ἔλαβε· καὶ ταῦτα ἐν ἡμέραις τεσσαρεσκαίδεκα μόναις ἅπαντα διαπραξάμενος καὶ εἴ τι ἄλλο σαθρὸν ἦν τῆς πολιτείας ἐπανορθωσάμενος ἀπέθετο τὰς ῥάβδους· καὶ τὸ κωλῦον οὐδὲν ἐγένετο νέαν ἀρχὴν ἐν ἡμέρᾳ κυρωθῆναι μιᾷ βουλο-

τοὺς αὐτοὺς συνεχεῖς O unde τούτους in edit. Kiessling. ortum sit nescio 1 *μήθ' οἵῳ τε εἶναι O μηθὲν οἵῳ τε εἶναι Reiske καὶ μηδ' (ne-quidem) οἵῳ τ' ego 3 Σαβίνους πολεμοῦσα cf. Krebs Zur Rect. d. Cas. I 11 7 εὕρασθε O cf. W. Schmidt de Flav. Iosephi eloc. p. 456 εὕρεθ' Cobet Obs. p. 207 | post ὑμεῖς O praebent verba περὶ — συνελθόντες quae verba Kiesslingius post ὤρθωσεν transposuit 8 ἥπερ M ἤπερ L ἥπερ ex εἴπερ V 10 ἀποδεῖξαι LMV 11 πολέμου τῆς εἰρήνης LV π. καὶ εἰρήνης M 16 ἀξιοχρέους] cf. Aar. Progr. p. 37 18 αὐτῶν] αὐτὸν LV αὐτῶν R 20 καὶ εἴ τι ἄλλο LV καὶ εἴ τι καὶ ἄλλο R 21 κολύσον O praeter V qui cod. habet κολυεῦ (ον supra)

μένων ὑμῶν. τοῦτο δὴ τὸ παράδειγμα μιμησαμένους 5
ἡμᾶς οἴομαι δεῖν, ἐπειδὴ οὐδὲν ἄλλο ποιεῖν δυνάμεθα,
δικτάτορα ἑλέσθαι, πρὶν ἐντεῦθεν ἐξελθεῖν· ἐὰν γὰρ
ὑπερβαλώμεθα τοῦτον τὸν καιρόν, οὐκέτι συνάξουσιν
ἡμᾶς οἱ δέκα βουλευσομένους ὑπὲρ οὐδενός· ἵνα δὲ
καὶ κατὰ νόμους ἡ τοῦ δικτάτορος ἀνάρρησις γένηται,
τὴν μεσοβασίλειον ἀρχὴν ἑλέσθαι, τὸν ἐπιτηδειότατον
ἐκλέξαντας τῶν πολιτῶν· ὃ ποιεῖν σύνηθές ἐστιν ὑμῖν,
ὅταν μήτε βασιλεῖς ἔχητε μήτε ὑπάτους μήτ' ἄλλην
2206 νόμιμον ἀρχὴν μηδεμίαν, ὥσπερ νῦν οὐκ ἔχετε. τοῖς
γὰρ ἀνδράσι τούτοις παρελήλυθεν ὁ τῆς ἀρχῆς χρόνος,
καὶ τὰς ῥάβδους αὐτῶν ὁ νόμος ἀφῄρηται. ταῦτ' ἔστιν 6
ἃ παραινῶ πράττειν, ὦ πατέρες, ὑμῖν, καὶ συμφέροντα
καὶ δυνατά. ἣν δὲ Κορνήλιος εἰσηγεῖται γνώμην,
κατάλυσις ὁμολογουμένη τῆς ἀριστοκρατίας ὑμῶν ἐστιν.
ἐὰν γὰρ ἅπαξ ὅπλων οἱ δέκα γένωνται κύριοι τῇδε τῇ
προφάσει τοῦ πολέμου, δέδοικα μὴ καθ' ἡμῶν αὐτοῖς
χρήσωνται. οἱ γὰρ οὐκ ἀξιοῦντες ἀποθέσθαι τὰς ῥάβδους, ἦ που γε τὰ ὅπλα ἀποθήσονται; λογιζόμενοι
δὴ ταῦτα φυλάττεσθε τοὺς ἀνθρώπους, καὶ πᾶσαν
ἀπάτην αὐτῶν προβλέπετε. κρείττων γὰρ ἡ πρόνοια
τῆς μεταμελείας καὶ τὸ μὴ πιστεύειν τοῖς πονηροῖς
σωφρονέστερον τοῦ προπιστεύσαντας κατηγορεῖν.

XXI. Ταύτην ἀποδειξαμένου τὴν γνώμην Οὐαλερίου κεχαρισμένην τοῖς πλείοσιν, ὡς ἐκ τῆς φωνῆς αὐτῶν εἰκάσαι ῥᾴδιον ἦν, καὶ τῶν μετ' ἐκεῖνον ἀνιστα-

2 ὑμᾶς O ἡμᾶς Sylburg 4 ὑποβαλώμεθα LV 6 δικτάτωρος O 7 ἐπιτηδειότερον O corr. Reiske 8 ἐκλέξαντες O corr. Kiessling 9 μεσοβασιλεῖς O βασιλεῖς Sylburg 16 τῇ τοῦδε προφάσει c. Reiske 18 χρήσονται (ω supra) V 26 ῥᾴδιον ἦν del. Vassis Ἀθηνᾶ VIII p. 264 | ἦν] εἴη O corr. Sylburg

μένων — ἣν δ' αὐτῶν τὸ νέον τῆς βουλῆς μέρος τὸ 2207
λειπόμενον — ταῦτα ἡγουμένων κράτιστα εἶναι πλὴν
ὀλίγων, ἐπειδὴ πάντες ἀπεδείξαντο τὰς ἑαυτῶν γνώμας,
καὶ τέλος ἔδει τὰ βουλεύματα λαβεῖν, Οὐαλέριος μὲν
ἠξίου διαδικασίαν τοὺς δέκα προθεῖναι ταῖς γνώμαις,
αὖθις ἐξ ἀρχῆς πάντας τοὺς βουλευτὰς καλοῦντας, καὶ
πολλοῖς τῶν συνέδρων ἀναθέσθαι βουλομένοις τὰς
2 προτέρας ἀποφάσεις ταῦτα λέγων πιθανὸς ἦν· Κορ-
νήλιος δ' ὁ συμβουλεύων τοῖς δέκα τὴν ἡγεμονίαν
ἐπιτρέψαι τοῦ πολέμου κατὰ τὸ καρτερὸν ἀπεμάχετο
κεκρίσθαι τὸ πρᾶγμα ἤδη λέγων καὶ τέλος ἔχειν νό-
μιμον ἁπάντων ἐψηφικότων, ἠξίου τε διαριθμεῖν τὰς
3 γνώμας καὶ μηδὲν ἔτι καινουργεῖν. τούτων δὲ λεγο-
μένων ὑφ' ἑκατέρου μετὰ πολλῆς φιλοτιμίας τε καὶ
κραυγῆς, καὶ τοῦ συνεδρίου διαστάντος πρὸς ἑκάτερον,
τῶν μὲν ἐπανορθώσασθαι τὴν ἀκοσμίαν τοῦ πολιτεύ-
ματος βουλομένων τῷ Οὐαλερίῳ συλλαμβανόντων, τῶν 2208
δὲ τὰ χείρω προαιρουμένων καὶ ὅσοις κίνδυνός τις
ὑπωπτεύετο ἐκ τῆς μεταβολῆς ἔσεσθαι τῷ Κορνηλίῳ
συναγορευόντων· λαβόντες ἀφορμὴν οἱ δέκα τοῦ
πράττειν ὅ τι δόξειεν αὐτοῖς τὴν τοῦ συνεδρίου ταρα-
χήν, τῇ Κορνηλίου προστίθενται γνώμῃ. καὶ παρελθὼν
4 εἷς ἐξ αὐτῶν, Ἄππιος, ἔφη· Περὶ τοῦ πρὸς Αἰκανοὺς
καὶ Σαβίνους πολέμου συνεκαλέσαμεν ὑμᾶς, ὦ βουλή,
διαγνωσομένους, καὶ λόγον ἀπεδώκαμεν ἅπασι τοῖς
βουλομένοις ἀπὸ τῶν πρώτων ἄχρι τῶν νεωτάτων ἐν

1 αὐτῷ LV 5 ἀναδικασίαν c. Reiske | τῶν γνωμῶν c. Sylburg 9 συμβασιλεύων LVMa συμβουλεύων Mb 14 ἑκατέρου c. Kiessling ἑκατέρων O 19 τῶν Κορνηλίῳ L 22 προστίθεται V

τῷ προσήκοντι καλοῦντες ἕκαστον τόπῳ. τριῶν δ'
ἀποδειξαμένων γνώμας διαφόρους, Κλαυδίου τε καὶ
Κορνηλίου καὶ Οὐαλερίου τελευταίου, διέγνωτε περὶ
αὐτῶν ὑμεῖς οἱ λοιποί, καὶ παριὼν ἕκαστος ἀπεφήνατο
πάντων ἀκουόντων, ᾗ προσετίθετο γνώμῃ. ἁπάντων 5
2209 δὴ γεγονότων κατὰ νόμον, ἐπειδὴ τοῖς πλείοσιν ὑμῶν
Κορνήλιος ἐδόκει τὰ κράτιστα ὑποθέσθαι, τοῦτον
ἀπεφηνάμεθα νικᾶν καὶ τὴν ἀποδειχθεῖσαν ὑπὸ τούτου
γνώμην γράψαντες ἐκφέρομεν. Οὐαλέριος δὲ καὶ οἱ
μετ' αὐτοῦ ἑστῶτες ὅταν αὐτοὶ τύχωσιν ἐξουσίας ὑπα-
τικῆς, δίκας τ' ἤδη τέλος ἐχούσας ἀναδίκους ποιεί-
τωσαν, ἐὰν αὐτοῖς φίλον ᾖ, καὶ βουλεύματα διεγνωσμένα
ὑπὸ πάντων ὑμῶν ἄκυρα καθιστάτωσαν. Ταῦτ' εἰπὼν 6
καὶ τὸν γραμματέα κελεύσας ἀναγνῶναι τὸ προβού-
λευμα, ἐν ᾧ τὴν καταγραφὴν τοῦ στρατοῦ καὶ τὴν
ἡγεμονίαν τοῦ πολέμου τοὺς δέκα παραλαβεῖν ἐτέτακτο,
διέλυσε τὸν σύλλογον.

XXII. Μετὰ τοῦθ' οἱ μὲν τῆς ὀλιγαρχικῆς ἑταιρίας
σοβαροὶ καὶ θρασεῖς περιῄεσαν ὡς δὴ κρείττους τῶν
ἑτέρων γεγονότες καὶ διαπεπραγμένοι μηκέτι καταλυ-
θῆναι σφῶν τὴν δυναστείαν, ἐπειδὰν ἅπαξ ὅπλων καὶ
στρατιᾶς γένωνται κύριοι· οἱ δὲ τὰ βέλτιστα τῷ κοινῷ 2
φρονοῦντες ἀνιαρῶς διακείμενοι καὶ περιφόβως <ὡς>
2210 οὐδενὸς τῶν κοινῶν ἔτι γενησόμενοι κύριοι καὶ διέστη-
σαν εἰς μέρη πολλά, τῶν μὲν ἀγεννεστέρων τὰς

3 διέγνω τὰς LV διέγνωτε Sylburg | περὶ ὧν LV παριὼν Reiske 6 νόμων L νόμους M μ^{ομ} V νόμον Kiessling 10 μετ' αὐτοῦ συνεστῶτες c. Cobet Obs. p. 207 11 ποιήτωσαν V 15 post στρατοῦ Reiske addit ποιεῖσθαι 18 ἑτερίας V 19 δὲ V δὴ R 20 μηκέτι καταλυθῆναι σφῶν L μὴ σφῶν καταλυθῆναι R 21 καὶ στρατιᾶς om. O praeter L 23 ὡς add. Reiske 24 καὶ del. Kiessling

φύσεις ἅπαντα συγχωρεῖν τοῖς κρατοῦσιν ἀναγκαζο-
μένων καὶ κατανέμειν ἑαυτοὺς εἰς τὰς ὀλιγαρχικὰς
ἑταιρίας, τῶν δ' ἧττον ψοφοδεῶν ἀφισταμένων τῆς
ὑπὲρ τῶν κοινῶν φροντίδος καὶ τὸν ἀπράγμονα βίον
μεθαρμοττομένων· ὅσοις δὲ πολὺ τὸ γενναῖον ἐν τοῖς
τρόποις ἦν, ἰδίας ἑταιρίας κατασκευαζομένων καὶ συμ-
φρονούντων ἐπὶ φυλακῇ τε ἀλλήλων καὶ μεταστάσει
3 τῆς πολιτείας. τούτων δὲ τῶν ἑταιριῶν ἡγεμόνες ἦσαν
οἱ πρῶτοι τολμήσαντες ἐν τῷ συνεδρίῳ περὶ κατα-
λύσεως τῆς δεκαδαρχίας εἰπεῖν, Λεύκιος Οὐαλέριος καὶ
Μάρκος Ὁράτιος, φραξάμενοί τε τὰς οἰκίας ὅπλοις καὶ
φυλακὴν θεραπόντων καὶ πελατῶν καρτερὰν περὶ ἑαυ-
τοὺς ἔχοντες, ὡς μήτ' ἐκ τοῦ βιαίου παθεῖν μηθὲν
4 μήτ' ἐκ τοῦ δολίου. ὅσοις δ' οὔτε θεραπεύειν τὴν 2211
τῶν κρατούντων ἐξουσίαν βουλομένοις ἦν οὔτε μηδενὸς
ἐπιστρέφεσθαι τῶν κοινῶν οὐδ' ἐν ἀπράκτῳ ζῆν ἡσυχίᾳ
καλὸν ἐδόκει, πολεμεῖν τ' ἀνὰ κράτος οὐ ῥᾴδιον, ἐπεὶ
καθαιρεθῆναι δυναστείαν τηλικαύτην ἀνόητον ἐφαίνετο
εἶναι, κατέλιπον τὴν πόλιν. ἡγεμὼν δὲ τούτων ἀνὴρ
⟨ἦν⟩ ἐπιφανὴς Γάιος Κλαύδιος, ὁ τοῦ κορυφαιοτάτου

2 verba *καὶ κατανέμειν ἑαυτοὺς εἰς τὰς ὀλιγαρχικὰς ἑταιρίας* om. M (Elb. etiam); *ὀλιγαρχικὰς* LV *ὀλιγαρχίας* R 4 *καὶ εἰς τὸν* Cobet Obs. p. 207, sed cf. VII 56, 2 et Euripides Alc. 1157: *νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον τοῦ πρόσθεν* 7 *φυλακῆς* VL | *μεταναστάσει* O corr. Reiske 10 *δεκαρχίας* O corr. Kiessling 11 *μάρκιος ὡράτιος* O 13 *μήτε τι τοῦ* VM *μήτ' ἐκ τοῦ* L 14 *μήτ' ἐκ τοῦ δολίου* om. M pro his verbis, quae in M desunt, exstant *μήτ' ἐκ τοῦ φανεροῦ δειλίαν καταγνωσθῆναι* 16 **κοινῶν οὔτ'* O *κοινῶν καὶ* Cobet Obs. p. 207 *οὐδ'* ego 17 *καλῶς* O *καλὸν* Sylburg | *ἀνὰ κράτος οὐ ῥᾴδιον — τηλικαύτην ἀνόητον* O *ἀνὰ κράτος ἀνόητον — οὐ ῥᾴδιον ἐφαίνετο* c. Kiessling *ἐφαίνετο ἀδύνατον* nisi forsitan aliquid deesse videatur ante *καθαιρεθῆναι* c. Sylburg *ἐφαίνετο ἀνήνυτον* c. Reiske 19 *ἀνὴρ ἐπιφανὴς* O *ἦν* add. Sintenis Em. Dion. III 6

τῆς δεκαδαρχίας Ἀππίου θεῖος, ἐμπεδῶν τὰς ὑποσχέσεις, ἃς ἐπὶ τῆς βουλῆς ἐποιήσατο πρὸς τὸν ἀδελφιδοῦν, ὅτ' αὐτὸν ἀποθέσθαι τὴν ἀρχὴν ἀξιῶν οὐκ ἔπεισεν. ἠκολούθει δ' αὐτῷ πολὺς μὲν ἑταίρων ὄχλος, 5
πολὺς δὲ πελατῶν. τούτου δ' ἀρξαμένου καὶ τὸ ἄλλο πολιτικὸν πλῆθος οὐκέτι λάθρα καὶ κατ' ὀλίγους, ἀλλ' ἐκ τοῦ φανεροῦ καὶ ἀθρόον ἐξέλιπε τὴν πατρίδα, τέκνα καὶ γυναῖκας ἐπαγόμενον. οἱ δὲ περὶ τὸν Ἄππιον
2212 ἀγανακτοῦντες τοῖς γινομένοις ἐπεβάλοντο μὲν κωλύειν πύλας τ' ἀποκλείσαντες καὶ ἀνθρώπους τινὰς συναρπάσαντες, ἔπειτα — δέος γὰρ εἰσῆλθεν αὐτοῖς, μὴ πρὸς ἀλκὴν οἱ κωλυόμενοι τράπωνται, καὶ λογισμὸς ὀρθὸς ὡς κρεῖττον εἴη σφίσιν ἐκποδῶν εἶναι τοὺς ἐχθροὺς ἢ μένοντας ἐνοχλεῖν — ἀνοίξαντες τὰς πύλας ἀφῆκαν τοὺς θέλοντας ἀπιέναι, οἰκίας δ' αὐτῶν καὶ κλήρους καὶ ὅσα ἄλλα ὑπελείπετο ἀδύνατα ὄντα ἐν φυγαῖς φέρεσθαι λειποστρατίαν ἐπενεγκόντες ἐδήμευσαν τῷ λόγῳ, τὸ δ' ἀληθὲς τοῖς ἑαυτῶν ἑταίροις ὡσανεὶ παρὰ τοῦ δήμου πριαμένοις ἐχαρίσαντο. ταῦτα ⟨δὴ⟩ τὰ 6
ἐγκλήματα προστεθέντα τοῖς προτέροις πολλῷ δυσμενεστέρους ἐποίησε πρὸς τὴν δεκαδαρχίαν τοὺς πατρικίους καὶ τοὺς δημοτικούς. εἰ μὲν οὖν μηδὲν ἐπεξήμαρτον ἔτι πρὸς τοῖς εἰρημένοις, δοκοῦσιν ἄν μοι πολὺν ἐπὶ τῆς αὐτῆς ἐξουσίας διαμεῖναι χρόνον· ἡ γὰρ φυλάττουσα
2213 τὴν δυναστείαν αὐτῶν στάσις ἔτι διέμενεν ἐν τῇ πόλει,

1 δεκαρχίας O corr. Kiessling 7 ἀθρόον MV ἀθρόον L 15 θέλοντας] cf. Jacoby Obs. p. 314 17 λειποστρατίαν] λιποστράτιον c. Cobet Obs. p. 207 cf. III 30, 7 | ἐπενεγκόντες] cf. Jacoby Obs. p. 299 19 ταῦτα δὴ Portus δὴ om. O 20 προστιθέντα VM | δυσμενεστέραν M 21 δεκαρχίαν O corr. Kiessling | πατρίους L 22 εἰ μὲν γὰρ Sylburg 25 διέμεινεν MV

μένους ἀπέκτειναν, τοὺς δὲ πλείους ἐν τῷ διωγμῷ
διέφθειραν. οἱ δὲ διασωθέντες ἐκ τῆς φυγῆς τραυ-
ματίαι τε οἱ πλείους καὶ τὰ ὅπλα μικροῦ δεῖν πάντες
ἀπολωλεκότες εἰς πόλιν Τύσκλον ἀφικνοῦντο· σκηνὰς
δ' αὐτῶν καὶ ὑποζύγια καὶ χρήματα καὶ θεράποντας
καὶ τὴν ἄλλην τοῦ πολέμου παρασκευὴν οἱ πολέμιοι
6 διήρπασαν. ὡς δ' ἀπηγγέλη ταῦτα τοῖς κατὰ τὴν
πόλιν, ὅσοιπερ ἦσαν ἐχθροὶ τῆς ὀλιγαρχίας καὶ οἱ
τέως ἀποκρυπτόμενοι τὸ μῖσος, φανεροὺς ἐποίουν αὐ-
τοὺς τότε χαίροντες ἐπὶ ταῖς κακοπραγίαις τῶν στρα-
τηγῶν· καὶ ἦν ἤδη καρτερὰ χεὶρ περὶ τὸν Ὁράτιόν τε
καὶ τὸν Οὐαλέριον, οὓς ἔφην ἡγεμόνας εἶναι τῶν
ἀριστοκρατικῶν ἑταιρειῶν.

XXIIII. Οἱ δὲ περὶ τὸν Ἄππιον τοῖς μὲν ἐπὶ
στρατοπέδου συνάρχουσιν ὅπλα τε καὶ χρήματα καὶ
σῖτον καὶ τἆλλα ὧν ἐδέοντο ἐπεχορήγουν τά τε δη-
μόσια καὶ ἰδιωτικὰ ἐκ πολλῆς ὑπεροψίας λαμβάνοντες, 2217
καὶ ἀντὶ τῶν ἀπολωλότων ἀνδρῶν στρατολογήσαντες
ἐξ ἁπάσης φυλῆς τοὺς ὅπλα φέρειν δυναμένους ἀπ-
έστειλαν, ὥστ' ἐκπληρωθῆναι τοὺς λόχους· τῶν τε κατὰ
⟨τὴν⟩ πόλιν ἐπιμελῆ φυλακὴν ἐποιοῦντο φρουραῖς τοὺς
ἐπικαιροτάτους καταλαμβανόμενοι τόπους, μή τι λάθωσι
παρακινήσαντες οἱ μετὰ τοῦ Οὐαλερίου συνεστῶτες.
2 ἐπέσκηπτόν τε δι' ἀπορρήτων τοῖς ἐπὶ τῶν στρατοπέ-
δων συνάρχουσι τοὺς ἐναντιουμένους σφίσι διαφθεί-

7 *ἀπηγγέλλη* L priore littera λ erasa cf. Aar. progr. p. 35 *ἀπηγγέλθη* stulte Cobet Obs. p. 207  8 *ὅσοι γὰρ* O *ὅσοι μὲν* Sylburg *ὅσοιπερ* Kiessling  9 *φα⟨νερ⟩οὺς* Lb | *αὐτοὺς* L 11 *ὠράτιον* V  13 *ἑτεριῶν* La  de vv. 14—23 cf. Kayser Fleck. Ann. 1870, 725  16 *ἐπεχωρήγουν* LaV  17 post *ἐκ πολλῆς ὑπεροψίας* quod O praebent Reiskio videntur *δι' ἐπιμελείας* deesse  21 *τὴν* add. Ambrosch ad II 9, 1

αὐτοῖς Λατίνων τε καὶ ἄλλων συμμάχων ἐπικουρικὸν
οὐκ ἔλαττον τοῦ πολιτικοῦ πλήθους. ἀλλ' οὐδὲν αὐ-
τοῖς ἐχώρει κατὰ νοῦν τοσαύτην μὲν οἰκείαν δύναμιν
ἐπαγομένοις, τοσαύτην δὲ συμμαχίαν. οἱ γὰρ πολέμιοι 3
καταφρονήσαντες αὐτῶν, ὅτι νεοσύλλεκτοι ἦσαν οἱ
στρατευόμενοι, πλησίον ἀντεστρατοπεδεύσαντο καὶ τάς
2215 τ' ἀγορὰς ἀγομένας ἀφῃροῦντο λοχῶντες τὰς ὁδοὺς
καὶ ἐπὶ προνομὰς ἐξιοῦσιν ἐπετίθεντο, καὶ εἴ ποτε
ἱππεῖς εἰς χεῖρας ἔλθοιεν ἱππεῦσι καὶ πεζοὶ πεζοῖς
πρὸς φάλαγγα μαχόμενοι πανταχῇ πλέον ἔχοντες ἀπ-
ῄεσαν, ἐθελοκακούντων οὐκ ὀλίγων ἐν ταῖς συμπλοκαῖς
καὶ οὔτε τοῖς ἡγεμόσι πειθομένων οὔτε ὁμόσε χωρεῖν
τοῖς πολεμίοις βουλομένων. οἱ μὲν οὖν ἐπὶ Σαβίνους 4
στρατεύσαντες ἐν τοῖς ἐλάττοσι κακοῖς σωφρονισθέντες
ἑκόντες ἔγνωσαν ἐκλιπεῖν τὸν χάρακα· καὶ περὶ μέσας
νύκτας ἀναστήσαντες τὸν στρατὸν ἀπῆγον ἐκ τῆς πο-
λεμίας εἰς τὴν ἑαυτῶν φυγῇ παραπλησίαν ποιούμενοι
τὴν ἀνάζευξιν, ἕως ἐπὶ πόλιν Κρουστομέρειαν, ἥ ἐστιν
οὐ πρόσω τῆς Ῥώμης, ἀφίκοντο. οἱ δ' ἐν Ἀλγιδῷ τῆς
Αἰκανῶν χώρας θέμενοι τὴν παρεμβολὴν πολλὰς καὶ
αὐτοὶ λαμβάνοντες ὑπὸ τῶν πολεμίων πληγὰς καὶ παρὰ
τὰ δεινὰ μένειν ἀξιοῦντες ὡς ἐπανορθωσόμενοι τὰς
ἐλαττώσεις οἴκτιστα πράγματα ἔπαθον. ὠσάμενοι γὰρ 5
2216 ἐπ' αὐτοὺς οἱ πολέμιοι καὶ τοὺς ὑποστάντας τοῦ χάρα-
κος καταβαλόντες ἐπέβησαν τῶν ἐρυμάτων· καὶ κατα-
λαβόμενοι τὸ στρατόπεδον ὀλίγους μέν τινας ἀμυνο-

4 σύμμαχον vel συμμαχικὴν c. Reiske 9 post πεζοῖς add. Kiessling καὶ φάλαγξ 19 ἀργιδίῳ O 21 ὑπὸ τῶν πολεμίων L παρὰ τ. π. R ἀπὸ c. Tegge Quaest. de usu praep. 24 cf. Xen. r. p. L. 6, 2 παῖς πληγὰς λαβὼν ὑπ' ἄλλου 22 ἐπανορθωσάμενοι LV

μένους ἀπέκτειναν, τοὺς δὲ πλείους ἐν τῷ διωγμῷ
διέφθειραν. οἱ δὲ διασωθέντες ἐκ τῆς φυγῆς τραυ-
ματίαι τε οἱ πλείους καὶ τὰ ὅπλα μικροῦ δεῖν πάντες
ἀπολωλεκότες εἰς πόλιν Τύσκλον ἀφικνοῦντο· σκηνὰς
δ' αὐτῶν καὶ ὑποζύγια καὶ χρήματα καὶ θεράποντας
καὶ τὴν ἄλλην τοῦ πολέμου παρασκευὴν οἱ πολέμιοι
6 διήρπασαν. ὡς δ' ἀπηγγέλη ταῦτα τοῖς κατὰ τὴν
πόλιν, ὅσοιπερ ἦσαν ἐχθροὶ τῆς ὀλιγαρχίας καὶ οἱ
τέως ἀποκρυπτόμενοι τὸ μῖσος, φανεροὺς ἐποίουν αὐ-
τοὺς τότε χαίροντες ἐπὶ ταῖς κακοπραγίαις τῶν στρα-
τηγῶν· καὶ ἦν ἤδη καρτερὰ χεὶρ περὶ τὸν Ὀράτιόν τε
καὶ τὸν Οὐαλέριον, οὓς ἔφην ἡγεμόνας εἶναι τῶν
ἀριστοκρατικῶν ἑταιρειῶν.

XXIIII. Οἱ δὲ περὶ τὸν Ἄππιον τοῖς μὲν ἐπὶ
στρατοπέδου συνάρχουσιν ὅπλα τε καὶ χρήματα καὶ
σῖτον καὶ τἆλλα ὧν ἐδέοντο ἐπεχορήγουν τά τε δη-
μόσια καὶ ἰδιωτικὰ ἐκ πολλῆς ὑπεροψίας λαμβάνοντες, 2217
καὶ ἀντὶ τῶν ἀπολωλότων ἀνδρῶν στρατολογήσαντες
ἐξ ἁπάσης φυλῆς τοὺς ὅπλα φέρειν δυναμένους ἀπ-
έστειλαν, ὥστ' ἐκπληρωθῆναι τοὺς λόχους· τῶν τε κατὰ
<τὴν> πόλιν ἐπιμελῆ φυλακὴν ἐποιοῦντο φρουραῖς τοὺς
ἐπικαιροτάτους καταλαμβανόμενοι τόπους, μή τι λάθωσι
παρακινήσαντες οἱ μετὰ τοῦ Οὐαλερίου συνεστῶτες.
2 ἐπέσκηπτόν τε δι' ἀπορρήτων τοῖς ἐπὶ τῶν στρατοπέ-
δων συνάρχουσι τοὺς ἐναντιουμένους σφίσι διαφθεί-

7 ἀπηγγέλλη L priore littera λ erasa cf. Aar. progr. p. 35 ἀπηγγέλθη stulte Cobet Obs. p. 207 8 ὅσοι γὰρ O ὅσοι μὲν Sylburg ὅσοιπερ Kiessling 9 φα<νερ>οὺς Lb | αὐτοὺς L 11 ὡράτιον V 13 ἑτεριῶν La de vv. 14—23 cf. Kayser Fleck. Ann. 1870, 725 16 ἐπεχωρήγουν LaV 17 post ἐκ πολλῆς ὑπεροψίας quod O praebent Reiskio videntur δι' ἐπιμελείας deesse 21 τὴν add. Ambrosch ad II 9, 1

ρειν, τοὺς μὲν ἐπιφανεῖς ἀδήλως, ὧν δ' ἐλάττων ὁ
λόγος ἦν καὶ ἀπὸ τοῦ φανεροῦ, προφάσεις ἀεί τινας
ἐπιφέροντας, ἵνα δικαίως δόξωσιν ἀποθανεῖν. καὶ ἐγί-
νετο ταῦτα· οἱ μὲν γὰρ ἐπὶ προνομὰς ἀποστελλόμενοι
ὑπ' αὐτῶν, οἱ δ' ἀγορὰν παραπέμψαι κομιζομένην, οἱ
δ' ἄλλας τινὰς ἐπιτελέσασθαι πολεμικὰς χρείας, ἔξω
2218 γενόμενοι τοῦ χάρακος οὐδαμοῦ ἔτι ὤφθησαν. οἱ δὲ 3
ταπεινότατοι φυγῆς ἄρχειν κατηγορηθέντες ἢ τὰ ἀπόρ-
ρητα πρὸς τοὺς πολεμίους ἐκφέρειν ἢ τάξιν μὴ φυ-
λάττειν, ἐν τῷ φανερῷ καταπλήξεως ἕνεκα τῶν ἄλλων
ἀπώλλυντο. ἐγίνετο δὲ διχόθεν τῶν στρατιωτῶν ὄλε-
θρος, τῶν μὲν οἰκείων τῆς ὀλιγαρχίας ἐν ταῖς πρὸς
τοὺς πολεμίους συμπλοκαῖς διαφθειρομένων, τῶν δὲ
τὴν ἀριστοκρατικὴν ποθούντων κατάστασιν ὑπὸ τῶν
στρατηγῶν ἀπολλυμένων.

XXV. Πολλὰ δὲ τοιαῦτα καὶ κατὰ τὴν πόλιν ὑπὸ
τῶν περὶ τὸν Ἄππιον ἐγίνετο. τῶν μὲν οὖν ἄλλων
καίτοι συχνῶν ἀναιρουμένων ἐλάττων τοῖς πλήθεσι
λόγος ἦν, ἑνὸς δ' ἀνδρὸς ἐπιφανεστάτου τῶν δημοτι-
κῶν καὶ πλείστας ἀρετὰς ἐν τοῖς κατὰ πόλεμον ἔργοις
ἀποδειξαμένου θάνατος ὠμὸς καὶ ἀνόσιος ἐπιτελεσθεὶς
ἐν θατέρῳ τῶν στρατοπέδων, ἔνθα οἱ τρεῖς ἡγεμόνες
ἦσαν, ἅπαντας ἑτοίμους ἐποίησε πρὸς τὴν ἀπόστασιν
τοὺς ἐκεῖ. ἦν δ' ὁ φονευθεὶς Σίκκιος, ὁ τὰς ἑκατὸν 2
εἴκοσι μάχας ἀγωνισάμενος καὶ ἐξ ἁπασῶν ἀριστεῖα
2219 λαβών, ὃν ἔφην ἀπολελυμένον ἤδη στρατείας διὰ τὸν
χρόνον ἑκούσιον τοῦ πρὸς Αἰκανοὺς συνάρασθαι πο-

1 ὁ del. Cobet Obs. p. 207  2 καὶ add. LV om. R | ἐκ τοῦ φ. Cobet l. l.  7 οἱ δὲ M οὐδὲ LV  11 ἐγίνετο δὴ c. Kiessling  25 ἀριστεῖα] τἀριστεῖα c. Kiessling

λέμου, σπεῖραν ἀνδρῶν ὀκτακοσίων ἐκπεπληρωκότων
ἤδη τὰς κατὰ νόμον στρατείας εὐνοίᾳ τῇ πρὸς αὐτὸν
ἐπαγόμενον· μεθ' ὧν ἀποσταλεὶς ὑπὸ θατέρου τῶν
ὑπάτων ἐπὶ τὸ στρατόπεδον τῶν πολεμίων εἰς πρό-
δηλον ὄλεθρον, ὡς πᾶσιν ἐδόκει, τοῦ τε χάρακος ἐκρά-
τησε καὶ τῆς ὁλοσχεροῦς νίκης αἴτιος ἐγένετο τοῖς ὑπά-
3 τοις. τοῦτον δὴ τὸν ἄνδρα πολλοὺς ἐν τῇ πόλει
διεξιόντα λόγους κατὰ τῶν ἐπὶ στρατοπέδου στρατη-
γῶν, ὡς ἀνάνδρων τε καὶ ἀπείρων πολέμου, ἐκποδῶν
ποιῆσαι σπεύδοντες οἱ περὶ τὸν Ἄππιον εἰς ὁμιλίας
προὐκαλοῦντο φιλανθρώπους καὶ συνδιαπορεῖν σφίσιν
ἠξίουν ὑπὲρ τῶν ἐπὶ στρατοπέδου, καὶ πῶς ⟨ἂν⟩
ἐπανορθωθείη τὰ τῶν στρατηγῶν ἁμαρτήματα λέγειν
παρεκάλουν, καὶ τελευτῶντες ἔπεισαν ἐξελθεῖν ἐπὶ τὸν
ἐν Κρουστομερείᾳ χάρακα αὐτὸν ἐξουσίαν ἔχοντα πρε-
σβευτικήν. ἔστι δὲ πάντων ἱερώτατόν τε καὶ τιμιώτα-
τον ὁ πρεσβευτὴς παρὰ Ῥωμαίοις ἐξουσίαν μὲν ἄρ- 2220
χοντος ἔχων καὶ δύναμιν, ἀσυλίαν δὲ καὶ σεβασμὸν
4 ἱερέως. ὡς δ' ἀφίκετο, φιλοφρονουμένων αὐτὸν ἐκεῖ
τῶν ἡγεμόνων καὶ δεομένων συστρατηγεῖν μένοντα,
καί τινας καὶ δωρεὰς τὰς μὲν διδόντων ἤδη, τὰς δ'
ὑπισχνουμένων, ἐξαπατηθεὶς ὑπ' ἀνθρώπων πονηρῶν
καὶ τῇ γοητείᾳ τῶν λόγων οὐ συνειδὼς ὡς ἐξ ἐπι-
βουλῆς ἐγίνετο, στρατιωτικὸς ἀνὴρ καὶ τὸν τρόπον

4 verba *εἰς πρόδηλον* usque ad *αἴ|τιος* in lacuna L 6 *αἴτιος*] *αἴ* V 7 *δὴ* L *δὲ* V om. M 12 *πῶς ἂν* c. Kayser Fleck. Ann. 101 (1870) 725 *ἂν* om. O 20 *τῶν ἐκεῖ ἡγεμόνων* c. Sylburg 21 *καί τινας*] *καὶ τιμὰς* c. Naber Mnem. 30, 257 22 *ὑπὸ ἀνθρώπων* O 23 *τῇ γοητείᾳ* O *τὴν γοητείαν* Sylburg *τὴν γοητείαν συνιδὼν* Cobet Obs. p. 208 verbis Reiskii ut saepissime suppressis 24 *ἐγίνετο* L *ἐγένετο* R

ἁπλοῦς τά τ' ἄλλα ἐπείθετο αὐτοῖς, ὅσα συμφέρειν ὑπελάμβανε, καὶ πρῶτον ἁπάντων παρῄνει μετάγειν τὴν παρεμβολὴν εἰς τὴν πολεμίαν ἐκ τῆς σφετέρας· τάς τε βλάβας διεξιὼν τὰς τότε γινομένας καὶ τὰς ὠφελείας ἐπιλογιζόμενος, ὅσας ἔμελλον ἕξειν μεταστρατοπεδευσάμενοι.

XXVI. Οἱ δ' ἀσμένως δέχεσθαι τὰς παραινέσεις σκηψάμενοι· Τί οὖν, ἔφασαν, οὐκ αὐτὸς ἡγεμὼν γίνῃ
2221 τῆς ἀναζεύξεως τόπον ἐπιτήδειον προκατασκεψάμενος; ἐμπειρίαν δ' ἱκανὴν ἔχεις τῶν τόπων διὰ τὰς πολλὰς στρατείας, λόχον δέ σοι δώσομεν ἐπιλέκτων νέων εὐζώνῳ ἐσταλμένων ὁπλίσει· σοὶ δὲ ἵππος τε διὰ τὴν ἡλικίαν παρέστω, καὶ ὁπλισμὸς ὁ τοῖς τηλικούτοις πρέ-
πων. ὑποδεξαμένου δὲ τοῦ Σικκίου καὶ ψιλοὺς αἰτή- 2
σαντος ἑκατὸν ἐπιλέκτους οὐδένα χρόνον ἐπισχόντες ἐκπέμπουσιν αὐτὸν ἔτι νυκτὸς οὔσης καὶ σὺν αὐτῷ τοὺς ἑκατὸν ἄνδρας ἐκ τῶν ἰδίων ἑταίρων τοὺς ἰταμωτάτους ἐπιλεξάμενοι, οἷς ἐπέσκηψαν ἀποκτεῖναι τὸν ἄνδρα μεγάλους μισθοὺς τῆς ἀνδροφονίας ὑποσχόμενοι. ἐπεὶ δὲ πολὺ προελθόντες ἀπὸ τοῦ χάρακος εἰς χωρίον ἦλθον ὀχθηρὸν καὶ στενόπορον καὶ χαλεπὸν ἵππῳ διεξελθεῖν, ὅτι μὴ βάδην ἀνιόντι, διὰ τὴν τραχύτητα τῶν ὄχθων, σύνθημα δόντες ἀλλήλοις στίφος ἐποίουν
2222 ὡς ἅμα χωρήσοντες ἐπ' αὐτὸν ἀθρόοι. θεράπων δέ τις ὑπασπιστὴς τοῦ Σικκίου τὰ πολεμικὰ ἀγαθὸς εἰκά-

1 ἐπείθετο LM ὑπέθετο Sylburg 7 ἄσμενοι c. Garrer Obs. p. 28 10 ἐμπειρίαν γε — λόχον τε c. Grasberger Philol. 28, 349 cf. Kayser Fleck. Ann. 101 (1870) 722 11 εὐζώνων M 22 ἀνιόντι Lb ἀπιόντι LaMV ἐπιόντι Sylburg 24 ὡς ἀναχωρήσοντες LMV ἀναχωρήσοντες (ὡσ suprascr.) Lc ὡς suprascr. et ἀνα del. atque sic Reiske ὡς ἅμα χωρήσοντες Sintenis Em. Dion. III 14 25 πολεμικὰ O πολέμια c. Grasberger Tess. Herbip. p. 35

σας τὴν διάνοιαν αὐτῶν μηνυτὴς γίνεται τῷ δεσπότῃ.
3 κἀκεῖνος ὡς ἔγνω κατακλειόμενον αὐτὸν εἰς δυσχωρίας,
ἔνθα οὐκ ἦν δυνατὸν ἀνὰ κράτος ἐλάσαι τὸν ἵππον,
καθάλλεταί τε καὶ στὰς ἐπὶ τὸν ὄχθον, ἵνα μὴ κυκλω-
θείη πρὸς αὐτῶν, τὸν ὑπασπιστὴν μόνον ἔχων τοὺς
ἐπιόντας ὑπέμεινεν. ὁρμησάντων δὲ ἅμα πάντων πολ-
λῶν ὄντων ἐπ' αὐτὸν ἀποκτείνει μὲν περὶ πεντεκαί-
δεκα, τραυματίζει δὲ καὶ διπλασίους. ἐδόκει δ' ἂν καὶ
τοὺς ἄλλους ἅπαντας διαφθεῖραι μαχόμενος, εἰ συν-
4 ῄεσαν ὁμόσε. οἱ δ' ἄρα συμφρονήσαντες, ὡς ἄμαχον
εἴη χρῆμα, καὶ οὐκ ἂν ἕλοιεν αὐτὸν συστάδην, τῆς
μὲν ἐκ χειρὸς ἀπείχοντο μάχης, προσωτέρω δ' ἀπο-
στάντες ἔβαλλον οἱ μὲν σαυνίοις, οἱ δὲ χερμάσιν, οἱ
δὲ ξύλοις· τινὲς δ' αὐτῶν προσελθόντες ἐκ τῶν πλα-
γίων τῷ ὄχθῳ καὶ γενόμενοι κατὰ κεφαλῆς κατεκύλιον
ὑπερμεγέθεις ἄνωθεν πέτρας, ἕως ὑπὸ πλήθους τῶν 2223
ἐξ ἐναντίας βαλλομένων καὶ βάρους τῶν ἄνωθεν ἐπι-
καταραττομένων διέφθειραν αὐτόν. Σίκκιος μὲν δὴ
τοιαύτης καταστροφῆς ἔτυχεν.

XXVII. Οἱ δὲ διαπραξάμενοι τὸν φόνον ἧκον ἐπὶ τὸ στρατόπεδον ἄγοντες τοὺς τραυματίας καὶ διέσπειραν λόγον, ὡς ἐπιφανεὶς αὐτοῖς πολεμίων λόχος τόν τε Σίκκιον ἀποκτείνειε καὶ τοὺς ἄλλους ἄνδρας, οἷς πρώτοις ἐνέτυχεν, αὐτοί τε πολλὰ τραύματα λαβόντες

2 κἀκεῖνος ὡς in lacuna, add. Lc | αὐτὸν L 3 τὸν ἵππον del. Reudler Tir. p. 66 4 στὰς ἐπὶ τὸν ὄχθον ἵνα μὴ κυκλωθείη L in lac., add. Lc 6 ἅμα πολλῶν ἐπ' αὐτὸν L πάντων πολλῶν ὄντων ἐπ' αὐτὸν MV 7 ἀποκτείνει μὲν ἅμα περὶ LV 10 ἄμαχόν τι O praeter LV 14 *προσελθόντες ἐκ τῶν πλαγίων τῶν ὄχθων O περιελθόντες — τὸν ὄχθον Reiske τοῦ ὄχθου c. Grasberger Tess. Herbip. p. 36; idem Philol. 28, 346 τῷ ὄχθῳ ego 21 διέσπειραν O διέσπειρον Sylburg 24 ἐνέτυχεν L ἐνέτυχον R

μόλις αὐτοὺς ἀποφύγοιεν. καὶ ἐδόκουν ἅπασι πιστὰ λέγειν. οὐ μὴν ἔλαθέ γ' αὐτῶν τὸ ἔργον, ἀλλὰ καίπερ ἐν ἐρημίᾳ τοῦ φόνου γεγονότος καὶ μηδένα μηνυτὴν ἔχοντος ὑπὸ τοῦ χρεὼν αὐτοῦ καὶ τῆς ἅπαντα ἐπισκοπούσης τὰ θνητὰ πράγματα δίκης ἐξηλέγχθησαν
τεκμηρίοις ἀναμφισβητήτοις. οἱ γὰρ ἐν τῷ στρατοπέδῳ 2
ταφῆς τε δημοσίας ἄξιον ἡγούμενοι τὸν ἄνδρα καὶ τιμαῖς παρὰ τοὺς ἄλλους διαφόρου, διὰ πολλὰ μὲν
2224 καὶ ἄλλα, μάλιστα δ' ὅτι πρεσβύτης ὢν καὶ ὑπὸ τῆς ἡλικίας πολεμικῶν ἀγώνων ἀπολυόμενος εἰς κίνδυνον ἑκούσιον ἔδωκεν αὐτὸν ὑπὲρ τοῦ κοινῇ συμφέροντος, ψηφίζονται συνελθόντες εἰς ἓν ἀπὸ τῶν τριῶν ταγμάτων ἐξελθεῖν ἐπὶ τὴν ἀναίρεσιν τοῦ σώματος, ἵνα μετὰ πολλῆς ἀσφαλείας τε καὶ τιμῆς ἐπὶ τὴν παρεμβολὴν παρακομισθείη. συγχωρησάντων δὲ τῶν ἡγεμόνων δι' εὐλάβειαν, μή τινα παράσχοιεν αὐτοῖς ὑποψίαν περὶ τὸ πρᾶγμα ἐπιβουλῆς καλῷ καὶ προσήκοντι ἔργῳ ἐνιστάμενοι, λαβόντες τὰ ὅπλα ἐξῄεσαν.
ἐλθόντες δ' ἐπὶ 3
τὸν τόπον ὡς εἶδόν οὔτε δρυμοὺς οὔτε φάραγγας οὔτ' ἄλλο χωρίον, ἔνθα ὑποκαθίζειν ἐστὶ λόχους ἔθος, ἀλλὰ ψιλὸν καὶ περιφανῆ καὶ στενόπορον ὄχθον, δι' ὑποψίας ἔλαβον εὐθέως τὸ πραχθέν· ἔπειτα τοῖς νεκροῖς προσελθόντες ὡς ἐθεάσαντο τόν τε Σίκκιον αὐτὸν ἀσκύλευτον ἐρριμμένον καὶ τοὺς ἄλλους ἅπαντας, ἐν

6 τῷ O om. praeter V 8 τιμαῖς O τιμῆς Kiessling | διαφόρου LV διαφόροις M 11 αὐτὸν L ἑαυτὸν R 13 ἀναίρεσιν L ἀνεύρεσιν R 17 πρᾶγμα ἐπὶ μόνων δι' εὐλάβειαν βουλῆς L sed verba μόνων δι' εὐλάβειαν del. La περὶ τὸ πρᾶγμα ἐπιβουλῆς V (περι supra lin.) τῆς περὶ τὸ πρᾶγμα ἐπιβουλῆς Reiske 19 ὡς εἶδόν τε οὐδαμοῦ M 20 ὑποκαθίζειν ἐστὶ λόχους vel ὑποκαθίζεσθαι c. Grasberger Tess. Herbip. p. 36 cf. Dion. Hal. IX 56, 4

θαύματι ἦσαν, εἰ πολέμιοι κρατήσαντες ἐχθρῶν μήτε 2225
4 ὅπλα περιείλαντο μήτ' ἐσθῆτα περιέδυσαν. διερευ-
νώμενοί τε τὰ πέριξ ἅπαντα ὡς οὔτε στίβον ἵππων
οὔτ' ἴχνος ἀνθρώπων οὐδὲν εὕρισκον ἔξω τῶν διὰ
τῆς ὁδοῦ, πρᾶγμα ἀμήχανον ὑπελάμβανον εἶναι πο-
λεμίους ἐπιφανῆναι τοῖς σφετέροις ἀφανεῖς, ὥσπερ
πτηνούς τινας ἢ διοπετεῖς. ὑπὲρ ἅπαντα δὲ ταῦτα
καὶ τὰ ἄλλα μέγιστον αὐτοῖς ἐφάνη τεκμήριον τοῦ μὴ
πρὸς ἐχθρῶν, ἀλλ' ὑπὸ φίλων τὸν ἄνδρα ἀπολωλέναι,
5 τὸ μηδένα τῶν πολεμίων εὑρεθῆναι νεκρόν. οὐ γὰρ
ἀκονιτί γ' ἂν ἐδόκουν ἀποθανεῖν Σίκκιον, ἄνδρα καὶ
ῥώμην καὶ ψυχὴν ἀνυπόστατον, οὐδὲ τὸν ὑπασπιστήν,
οὐδὲ τοὺς ἄλλους τοὺς σὺν αὐτῷ πεσόντας ἄλλως τε
καὶ ἐκ χειρὸς γενομένης τῆς μάχης. ἐτεκμήραντο δὲ
τοῦτο ἐκ τῶν τραυμάτων. αὐτός τε γὰρ ὁ Σίκκιος
πολλὰς εἶχε πληγὰς τὰς μὲν ὑπὸ χερμάδων, τὰς δ'
ὑπὸ σαυνίων, τὰς δ' ὑπὸ μαχαιρῶν, καὶ ὁ ὑπασπιστής·
οἱ δ' ὑπ' ἐκείνων ἀνῃρημένοι πάντες μαχαιρῶν ἢ χερ-
6 μάδων ἢ σαυνίων, βέλους δὲ οὐδεμίαν. ἀγανάκτησις 2226
δὴ μετὰ τοῦτ' ἐγίνετο πάντων καὶ βοὴ καὶ πολὺς
ὀδυρμός· ὡς δὲ κατωλοφύραντο τὴν συμφορὰν ἀρά-
μενοι καὶ κομίσαντες τὸν νεκρὸν ἐπὶ τὸν χάρακα,
πολλὰ τῶν στρατηγῶν κατεβόων, καὶ μάλιστα μὲν
ἠξίουν κατὰ τὸν στρατιωτικὸν ἀποκτεῖναι νόμον τοὺς
ἀνδροφόνους· εἰ δὲ μή, δικαστήριον αὐτοῖς ἀποδοῦναι

2 εἵλαντο La περιείλαντο LbVM ἀφείλοντο c. Kiessling 9 φιλίων c. Cobet Obs. p. 208 11 ἀκονιτί τ' LVM 12 ἐνυπόστατον M 15 αὐτός γε LV 17 ὑπὸ βελῶν pro ὑπὸ μαχαιρῶν c. Reiske 18 Portus sic scribendum esse censet: πάντες μαχαιρῶν μέν, χερμάδων δὲ ἢ σαυνίων ἢ βέλους οὐδεμίαν πληγὴν εἶχον 19 οὐδὲ μιᾷ LV | ἀγανάκτησις δὲ L 20 καὶ πάντων V πολὺς ὁ δρόμος L

παραχρῆμα. καὶ πολλοὶ ἦσαν οἱ κατηγορεῖν μέλλοντες
αὐτῶν. ὡς δ' οὐδὲν αὐτῶν εἰσήκουον ἐκεῖνοι, ἀλλὰ 7
τούς τ' ἄνδρας ἀπεκρύψαντο καὶ τὰς δίκας ἀνεβάλοντο
φήσαντες ἐν Ῥώμῃ λόγον ἀποδώσειν τοῖς βουλομένοις
αὐτῶν κατηγορεῖν, μαθόντες ὅτι τῶν στρατηγῶν τὸ
ἐπιβούλευμα ἦν, τὸν μὲν Σίκκιον ἔθαπτον, ἐκκομιδήν
τε ποιησάμενοι λαμπροτάτην καὶ πυρὰν νήσαντες ὑπερ-
μεγέθη καὶ τῶν ἄλλων ἀπαρχόμενοι κατὰ δύναμιν, ὧν
νόμος ἐπ' ἀνδράσιν ἀγαθοῖς εἰς τὴν τελευταίαν τιμὴν
2227 φέρεσθαι· πρὸς δὲ τὴν δεκαδαρχίαν ἠλλοτριοῦντο
πάντες καὶ γνώμην εἶχον ὡς ἀποστησόμενοι. τὸ μὲν
δὴ περὶ Κρουστομέρειαν καὶ Φιδήνην στράτευμα διὰ
τὸν Σικκίου τοῦ πρεσβευτοῦ θάνατον ἐχθρὸν τοῖς
προεστηκόσι τῶν πραγμάτων ἦν.

XXVIII. Τὸ δ' ἐν Ἀλγιδῷ τῆς Αἰκανῶν χώρας
καθιδρυμένον καὶ τὸ ἐν τῇ πόλει πλῆθος ἅπαν διὰ
ταύτας ἐξεπολεμώθη τὰς αἰτίας πρὸς αὐτούς. ἀνὴρ
ἐκ τῶν δημοτικῶν, Λεύκιος Οὐεργίνιος, οὐδενὸς χεί-
ρων τὰ πολεμικά, λόχου τινὸς ἡγεμονίαν ἔχων ἐν τοῖς
πέντε τάγμασιν ἐτάχθη τοῖς ἐπ' Αἰκανοὺς στρατευσα-
μένοις. τούτῳ θυγάτηρ ἔτυχεν οὖσα καλλίστη τῶν ἐν 2
Ῥώμῃ παρθένων τὸ πατρῷον ὄνομα φέρουσα, ἣν ἐν-
εγγυήσατο Λεύκιος εἷς ἐκ τῶν δεδημαρχηκότων υἱὸς
2228 Ἰκιλλίου τοῦ πρώτου τε καταστησαμένου τὴν δημαρχι-

3 ἀνεβάλλοντο O corr. Cobet Obs. p. 208, sed iam in edit. Reiskiana 8 ἐπαρχόμενοι O corr. Sylburg 10 δεδαρχίαν (κα Lb) L | ἠλλοτριοῦντο] ἠλλοτρίωντο c. Cobet l. l. 11 ἅπαντες O 13 πρεσβυτάτου (ώ m. 2) MV 17 ἐξεπολεμηθη L ἐξεπολεμήθη V 19 πολέμια Grasberger Tess. Herbip. p. 36 20 στρατευσομένοις c. Cobet Obs. p. 208 22 ἐνεγυήσατο c. Cobet l. l. cf. Jacoby Aar. Progr. 32 23 ἐκ del. Cobet l. l.

2 ἔστι μοι θεράπαινα πατρικὴ πολλοὺς πάνυ δουλεύουσα
χρόνους. ταύτην κύουσαν ἡ Οὐεργινίου γυνὴ συνήθη
καὶ εἰσοδίαν οὖσαν ἔπεισεν ἐὰν τέκῃ, δοῦναι τὸ παιδίον
αὐτῇ. κἀκείνη φυλάττουσα τὰς ὑποσχέσεις γενομένης
αὐτῇ ταύτης ⟨τῆς⟩ θυγατρὸς πρὸς μὲν ἡμᾶς ἐσκήψατο
νεκρὸν τεκεῖν, τῇ δὲ Νομιτωρίᾳ δίδωσι τὸ παιδίον· ἡ
δὲ λαβοῦσα ὑποβάλλεται καὶ τρέφει παίδων οὔτ' ἀρρέ-
3 νων οὔτε θηλειῶν οὖσα μήτηρ. πρότερον οὖν ἐλάν-
θανέ με ταῦτα, νῦν δὲ διὰ μηνύσεως ἐπιγνοὺς καὶ 2232
μάρτυρας ἔχων πολλοὺς καὶ ἀγαθοὺς καὶ τὴν θεράπαι-
ναν ἐξητακὼς ἐπὶ τὸν κοινὸν ἁπάντων καταφεύγω
νόμον, ὃς οὐ τῶν ὑποβαλλομένων, ἀλλὰ τῶν μητέρων
εἶναι τὰ ἔκγονα δικαιοῖ, ἐλευθέρων μὲν οὐσῶν ἐλεύ-
θερα, δούλων δὲ δοῦλα, τοὺς αὐτοὺς ἔχοντα κυρίους,
4 οὓς ἂν καὶ αἱ μητέρες αὐτῶν ἔχωσι. κατὰ τοῦτον τὸν
νόμον ἀξιῶ τὴν θυγατέρα τῆς ἐμῆς θεραπαίνης ἄγειν
καὶ δίκας ὑπέχειν βουλόμενος, ἐὰν ἀντιποιῆταί τις
ἐγγυητὰς καθιστὰς ἀξιοχρέους ἄξειν αὐτὴν ἐπὶ τὴν
δίκην· εἰ δὲ ταχεῖαν βούλεταί τις γενέσθαι ⟨τὴν⟩ δι-
άγνωσιν, ἕτοιμος ἐπὶ σοῦ λέγειν τὴν δίκην αὐτίκα
μάλα, καὶ μὴ διεγγυᾶν τὸ σῶμα μηδ' ἀναβολὰς τῷ
πράγματι προσάγειν· ὁποτέραν δ' ἂν οὗτοι βουληθῶσι
τῶν αἱρέσεων, ἑλέσθωσαν.

3 εἰσόδιον c. Smit Obs. p. 58; cf. Cobet Obs. p. 209 5 *τῆς addidi 8 πρότερον μὲν οὖν c. Garrer Obs. p. 39 12 ὑποβαλομένων c. Cobet Obs. p. 209 13 ἔγγονα LV | ἐλευθέρων τε οὐσῶν O ἐλευθέρων μὲν οὐσῶν Reiske 14 δοῦλα] δουλεῖ V 15 ἔχ$^{ω}$ουσι V 17 ὑπέχειν τοῖς βουλομένοις c. Reiske 18 καθίστησιν O καταστήσειν c. Kiessling καθιστὰς Kayser Fleck. Ann. 101 (1870) p. 725 | ἀξιοχρέους L ἀξιόχρεως R cf. Jacoby Aar. Progr. p. 37 19 τὴν add. Kiessling 21 μήτε O μηδ' Kiessling 22 προσλέγειν O προσάγειν Reiske

XXX. Τοιαῦτ' εἰπόντος Κλαυδίου καὶ πολλὴν προσ-
2233 θέντος δέησιν ὑπὲρ τοῦ μηδὲν ἐλαττωθῆναι τῶν ἀντι-
δίκων, ὅτι πελάτης ἦν καὶ ταπεινός, παραλαβὼν τὸν
λόγον ὁ τῆς κόρης θεῖος ὀλίγα καὶ αὐτὰ τὰ πρὸς τὸν
ἄρχοντα εἰρῆσθαι προσήκοντα εἶπε· πατέρα μὲν οὖν
εἶναι τῆς κόρης λέγων Οὐεργίνιον ἐκ τῶν δημοτικῶν,
ὃν ἀποδημεῖν στρατευόμενον ὑπὲρ τῆς πόλεως· μητέρα
δὲ γενέσθαι Νομιτωρίαν τὴν ἀδελφὴν τὴν ἑαυτοῦ,
σώφρονα καὶ ἀγαθὴν γυναῖκα, ἣν οὐ πολλοῖς πρό-
τερον ἐνιαυτοῖς ἀποθανεῖν· τραφεῖσαν δὲ τὴν παρ-
θένον, ὡς ἐλευθέρᾳ καὶ ἀστῇ προσῆκεν, ἁρμοσθῆναι
κατὰ νόμον Ἰκιλίῳ, καὶ τέλος ἂν ἐσχηκέναι τὸν γάμον,
εἰ μὴ θᾶττον ὁ πρὸς Αἰκανοὺς ἀνέστη πόλεμος. ἐν 2
δὲ τοῖς μεταξὺ χρόνοις οὐκ ἐλαττόνων ἢ πεντεκαίδεκα
διεληλυθότων ἐτῶν οὐδὲν τοιοῦτον ἐπιχειρήσαντα πρὸς
αὐτοὺς εἰπεῖν Κλαύδιον, ἐπειδὴ [δὲ] γάμων ἡ παῖς
ἔσχεν ὥραν καὶ διαφέρειν δοκεῖ τὴν ὄψιν, ἐρῶντα ἥκειν
ἀναίσχυντον συκοφάντημα πλάσαντα, οὐκ ἀπὸ τῆς
2234 ἑαυτοῦ γνώμης, ἀλλὰ κατεσκευασμένον ὑπ' ἀνδρὸς
ἁπάσαις οἰομένου δεῖν ταῖς ἐπιθυμίαις ἐκ παντὸς τρό-
που χαρίζεσθαι. τὴν μὲν οὖν δίκην αὐτὸν ἔφη τὸν 3
πατέρα περὶ τῆς θυγατρὸς ἀπολογήσεσθαι παραγενό-
μενον ἀπὸ τῆς στρατιᾶς· τὴν δὲ τοῦ σώματος ἀντι-
ποίησιν, ἣν ἔδει γενέσθαι κατὰ τοὺς νόμους, αὐτὸς
ποιεῖσθαι θεῖος ὢν τῆς κόρης καὶ τὰ δίκαια ὑπέχειν,
οὐδὲν ἀξιῶν οὔτε ξένον οὔτε ὃ μὴ καὶ τοῖς ἄλλοις

5 *πατέρα μὲν οὖν ἦν εἶναι* L *π. μὲν οὖν εἶναι* MV *οὖν* del. Reiske; in *οὖν ἦν* latere *γνήσιον* vel tale quid c. Kiessling 10 *τραφεῖσα* L 13 *ἔστη* O *συνέστη* Casaubonus *ἀνέστη* Cobet Obs. p. 209 16 *δὲ* del. Reiske 23 *στρατείας* O *στρατιᾶς* Sylburg 25 *τὰ δίκαια* O *τὰς δίκας* Reiske

ἀποδίδοται Ῥωμαίοις δίκαιον, εἰ καὶ μὴ πᾶσιν ἀνθρώ-
ποις, σώματος εἰς δουλείαν ἐξ ἐλευθερίας ἀγομένου
μὴ τὸν ἀφαιρούμενον τὴν ἐλευθερίαν, ἀλλὰ τὸν φυ-
4 λάττοντα κύριον εἶναι μέχρι δίκης. ἔφη τε διὰ πολλὰς
αἰτίας προσήκειν τῷ Ἀππίῳ φυλάττειν τοῦτο τὸ δί-
καιον· πρῶτον μὲν ὅτι τὸν νόμον τοῦτον ἅμα τοῖς 2235
ἄλλοις ἐν ταῖς δώδεκα δέλτοις ἀνέγραψεν· ἔπειθ᾽ ὅτι
τῆς δεκαδαρχίας ἡγεμών· πρὸς δὲ τούτοις ὅτι μετὰ
τῆς ὑπατικῆς ἐξουσίας καὶ τὴν δημαρχίαν προσειλήφει,
ἧς εἶναι κράτιστον ἔργον τοῖς ἀσθενέσι καὶ ἐρήμοις
5 τῶν πολιτῶν βοηθεῖν. ἠξίου τε τὴν καταπεφευγυῖαν
ἐπ᾽ αὐτὸν ἐλεῆσαι παρθένον, μητρὸς μὲν ὀρφανὴν
οὖσαν ἔτι πάλαι, πατρὸς δ᾽ ἔρημον ἐν τῷ τότε χρόνῳ,
κινδυνεύουσαν οὐ χρημάτων ἀποστερηθῆναι προγονι-
κῶν, ἀλλὰ καὶ ἀνδρὸς καὶ πατρίδος καὶ ὃ πάντων
μέγιστον εἶναι δοκεῖ τῶν ἀνθρωπίνων ἀγαθῶν, τῆς
τοῦ σώματος ἐλευθερίας. ἀνακλαυσάμενος δὲ τὴν ὕβριν,
εἰς ἣν ἔμελλεν ἡ παῖς παραδοθήσεσθαι, καὶ πολὺν ἐκ
τῶν παρόντων κινήσας ἔλεον περὶ τοῦ χρόνου τῆς
6 δίκης ἔφη τελευτῶν· Ἐπειδὴ ταχεῖαν αὐτῆς βούλεται
γενέσθαι τὴν κρίσιν Κλαύδιος, ὁ μηδὲν ἠδικῆσθαι
φάμενος ἐν τοῖς πεντεκαίδεκα ἔτεσιν, ἕτερος μὲν ἄν
τις ὑπὲρ τηλικούτων ἀγωνιζόμενος δεινὰ πάσχειν ἔλεξε 2236
καὶ ἠγανάκτει κατὰ τὸ εἰκός, ὅταν εἰρήνη γένηται καὶ
πάντες ἔλθωσιν οἱ νῦν ὄντες ἐπὶ στρατοπέδου, τότε

1 ἀποδέδοται c. Kiessling, Reiske totum locum sic constituit: τοῖς ἄλλοις ἅπασι δέδοκται Ῥωμαίοις δίκαιον, εἰ δὲ μὴ δεῖ ὑποστέλλεσθαι πᾶσιν ἀνθρώποις 8 δεκαρχίας O corr. Kiessling 9 προσειλήφοι Hertlein Hermes X 412 15 καὶ πάντων ὁ O καὶ ὁ πάντων Portus καὶ ὁ μέγιστον εἶναι δοκεῖ πάντων Sylburg 21 ἠδικεῖσθαι LaV 23 ἔδοξε O ἔλεξε Casaubonus

τὴν δίκην ἀξιῶν ἀπολογεῖσθαι, ὅτε καὶ μαρτύρων
εὐπορία καὶ φίλων καὶ δικαστῶν ἀμφοτέροις ἔσται
τοῖς δικαζομένοις, πολιτικὰ καὶ μέτρια πράγματα προ-
φέρων καὶ τῇ Ῥωμαίων συνήθη πολιτείᾳ· ἡμεῖς δ', 7
ἔφη, λόγων οὐδὲν δεόμεθα οὔτ' εἰρήνης οὔτ' ὄχλου
φίλων καὶ δικαστῶν οὔτ' εἰς τοὺς δικασίμους χρόνους
τὸ πρᾶγμα ἀναβαλλόμεθα, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ
ἐν σπάνει φίλων καὶ οὐκ ἐν ἴσοις δικασταῖς καὶ
παραχρῆμα ὑπομένομεν ἀπολογεῖσθαι, τοσοῦτον αἰτη-
σάμενοι παρὰ σοῦ χρόνον, Ἄππιε, ὅσος ἱκανὸς ἔσται
τῷ πατρὶ τῆς κόρης ἀπὸ στρατοπέδου παραγενηθέντι
τὰς ἰδίας ἀποδύρασθαι τύχας, καὶ δι' ἑαυτοῦ τὴν δίκην
ἀπολογήσασθαι.

XXXI. Τοιαῦτα τοῦ Νομιτωρίου λέξαντος καὶ τοῦ
2237 περιεστηκότος ὄχλου μεγάλῃ βοῇ διασημήναντος, ὡς
δίκαια ἀξιοῖ, μικρὸν ἐπισχὼν χρόνον Ἄππιος· Ἐγὼ
τὸν μὲν νόμον, εἶπεν, οὐκ ἀγνοῶ τὸν ὑπὲρ τῆς δι-
εγγυήσεως τῶν εἰς δουλείαν ἀγομένων κείμενον, ὃς
οὐκ ἐᾷ παρὰ τοῖς ἀφαιρουμένοις εἶναι τὸ σῶμα μέχρι
δίκης, οὐδὲ καταλύσαιμι ἂν ὃν αὐτὸς ἔγραψα ἑκών·
ἐκεῖνο μέντοι δίκαιον ἡγοῦμαι, δυεῖν ὄντων τῶν ἀν-
τιποιουμένων, κυρίου καὶ πατρός, εἰ μὲν ἀμφότεροι
παρῆσαν, τὸν πατέρα κρατεῖν τοῦ σώματος μέχρι δίκης.
ἐπεὶ δ' ἐκεῖνος ἄπεστι, τὸν κύριον ἀπαγαγεῖν ἐγγυη- 2
τὰς ἀξιοχρέους δόντα καταστήσειν ἐπὶ τὴν ἀρχήν, ὅταν
ὁ πατὴρ αὐτῆς παραγένηται. περὶ δὲ τῶν ἐγγυητῶν

6 δεκασίμους O 17 τὸν δι' ὑπὲρ τῆς ἐγγυήσεως LM τὸν ὑπὲρ τῆς ἐγγ. R τὸν ὑπὲρ τῆς διεγγυήσεως c. Kiessling quod recipiendum est cf. XI 32, 3; Götzeler Animadv. I p. 72a 19 παρὰ τοὺς ἀφαιρουμένους LM 24 ἐκεῖνο L 25 ἀξιοχρέους L ἀξιόχρεως R cf. Jacoby Aar. Progr. p. 35

*καὶ τοῦ τιμήματος καὶ τοῦ μηδὲν ὑμᾶς ἐλαττωθῆναι
περὶ τὴν δίκην, πολλὴν ποιήσομαι πρόνοιαν, ὦ Νομι-
3 τώριε. νῦν δὲ παράδος τὴν κόρην. Τοῦτο τὸ τέλος
ἐξενέγκαντος Ἀππίου πολὺς μὲν ὀδυρμὸς ὑπὸ τῆς
παρθένου καὶ τῶν περὶ αὐτὴν γυναικῶν ἐγίνετο καὶ* 2238
*κοπετός, πολλὴ δὲ κραυγὴ καὶ ἀγανάκτησις ἐκ τοῦ
περιεστηκότος ὄχλου τὸ βῆμα. ὁ δὲ μέλλων ἄγεσθαι
τὴν κόρην Ἰκίλιος ἐμφύεταί τε αὐτῆς καί φησιν· Οὐκ
4 ἐμοῦ γε ζῶντος, Ἄππιε, ταύτην ἀπάξεταί τις. ἀλλ᾽ εἴ
σοι δέδοκται τοὺς νόμους καταλύειν, τὰ δὲ δίκαια
συγχεῖν καὶ τὴν ἐλευθερίαν ἡμῶν ἀφαιρεῖσθαι, μηκέτι
τὴν ὀνειδιζομένην ὑμῖν ἀρνοῦ τυραννίδα, ἀλλὰ τὸν
ἐμὸν ἀποκόψας τράχηλον ταύτην τε ἀπαγαγεῖν, ὅπου
σοι δοκεῖ, καὶ τὰς ἄλλας παρθένους καὶ γυναῖκας,
ἵνα δὴ μάθωσιν ἤδη ποτὲ Ῥωμαῖοι δοῦλοι γεγονότες
ἀντ᾽ ἐλευθέρων, καὶ μηδὲν ἔτι μεῖζον φρονῶσι τῆς
5 τύχης. τί οὖν ἔτι μέλλεις, ἀλλ᾽ οὐ τοὐμὸν ἐκχεῖς αἷμα
πρὸ τοῦ βήματος ἐν τοῖς ἁπάντων ὀφθαλμοῖς; ἴσθι
μέντοι σαφῶς, ⟨ὅτι⟩ ἤτοι μεγάλων κακῶν ἄρξει Ῥω-* 2239
*μαίοις ὁ θάνατος οὑμὸς ἢ μεγάλων ἀγαθῶν.*

XXXII. *Ἔτι δ᾽ αὐτοῦ βουλομένου λέγειν οἱ μὲν ῥαβδοῦχοι κελευσθέντες ὑπὸ τῆς ἐξουσίας ἀνεῖργον αὐτοὺς ἀπὸ τοῦ βήματος καὶ πειθαρχεῖν τοῖς κεκρι-*

4 *ὑπὸ* LV *ὑπὲρ* M  9 *ἀπέξεται* L  11 *συγχέειν* O  12 *ἀρνοῦ* om. M | *τὸν ἐμὸν κέλευε ἀποκόψαι* c. Sylburg; forsan *ἀπαγαγεῖν* per *ἐναλλαγὴν* pro *ἄπαγε*, quod Jonibus est familiare Portus; *ἄπαγε ὅποι σοι δοκεῖ* Cobet Obs. p. 209. Ego cum Porto censeo infinitivum *ἀπαγαγεῖν* hoc loco pro imperativo usurpatum neque quidquam mutandum esse cf. Schmid Attic. II 57, W. Schmidt de Jos. eloc. p. 421 sqq.  17 *ἐκχέεις* O  19 *ἤτοι ἢ μεγάλων* LV *ὅτι ἢ μεγ.* M *ἤτοι μεγ.* Kiessling **ὅτι ἤτοι μεγ.* ego  23 *ἀπὸ*] *ὑπὸ* L

μένοις ἐκέλευον· ὁ δὲ Κλαύδιος ἐπιλαβόμενος τῆς
παιδὸς ἀπάγειν ἐβούλετο τοῦ θείου καὶ τοῦ μνηστῆ-
ρος ἀντεχομένην. ἰδόντες δὲ πένθος ἐλεεινὸν οἱ περὶ
τὸ βῆμα πάντες ἀνέκραγον ἅμα καὶ παρ᾽ οὐδὲν ἡγη-
σάμενοι τὴν τοῦ κρατοῦντος ἐξουσίαν ὠθοῦνται τοῖς
βιαζομένοις ὁμόσε, ὥστε δείσαντα τὴν ἐπιφορὰν αὐ-
τῶν τὸν Κλαύδιον τήν τε κόρην ἀφεῖναι καὶ ὑπὸ
τοὺς πόδας τοῦ στρατηγοῦ καταφυγεῖν. ὁ δ᾽ Ἄππιος 2
καταρχὰς μὲν εἰς πολλὴν ταραχὴν κατέστη ἠγριωμέ-
νους ἅπαντας ὁρῶν καὶ πολὺν ἠπόρει χρόνον, ὅ τι
χρὴ ποιεῖν, ἔπειτα τὸν Κλαύδιον καλέσας ἐπὶ τὸ βῆμα
καὶ μικρὰ διαλεχθεὶς πρὸς αὐτὸν ὡς ἐδόκει, τοῖς τε
περιεστῶσι διασημήνας ἡσυχίαν παρασχεῖν λέγει τοιάδε·
2240 Ἐγὼ τὸ μὲν ἀκριβές, ὦ δημόται, περὶ τῆς διεγγυή- 3
σεως τοῦ σώματος, ἐπειδὴ τραχυνομένους ὑμᾶς πρὸς
τὴν ἀπόφασιν ὁρῶ, παρίημι· χαρίζεσθαι δ᾽ ὑμῖν βου-
λόμενος πέπεικα τὸν ἐμαυτοῦ πελάτην ἐᾶσαι μὲν τοῖς
συγγενέσι τῆς παρθένου δοῦναι τὴν διεγγύησιν, ἕως ὁ
πατὴρ αὐτῆς παραγένηται. ἀπάγεσθε οὖν, ὦ Νομι- 4
τώριε, τὴν κόρην, καὶ τὴν ἐγγύην ὁμολογεῖτε περὶ
αὐτῆς εἰς τὴν αὔριον ἡμέραν. ἀπόχρη γὰρ ὁ χρόνος
ὑμῖν οὗτος ἀπαγγεῖλαί τε Οὐεργινίῳ τήμερον καὶ τριῶν
ἢ τεττάρων ὡρῶν αὔριον ἐκ τοῦ χάρακος δεῦρο ἀγα-
γεῖν. πλείονα δ᾽ αὐτῶν χρόνον αἰτουμένων οὐδὲν ἔτι
ἀποκρινάμενος ἀνέστη καὶ τὸν δίφρον ἐκέλευσεν ἆραι.

XXXIII. Ὡς δ᾽ ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς ἀδημονῶν
καὶ μαινόμενος ὑπὸ τοῦ πάθους, ἔγνω μηκέτι μεθέσθαι

3 πένθος O πάθος Kiessling 17 ἐᾶσαι μὲν τοῖς συγγενέσιν τὴν παρθένον, δοῦναι δὲ ἐγγύησιν c. Sintenis Em. Dion. II 10 23 ὡρῶν αὔριον O ὡρῶν αὐτὸν Kiessling 27 μεθεῖσθαι O μεθίεσθαι Sylburg μεθεῖσθαι Reiske

τῆς παρθένου τοῖς συγγενέσιν, ἀλλ' ὅταν ἐπὶ τὴν ἐγ-
γύην προαχθῇ, μετὰ βίας αὐτὴν ἀπάγειν, ἑαυτῷ τε 2241
πλείονα φυλακὴν περιστησάμενος, ὡς μηδὲν ὑπὸ τῶν
ὄχλων βιασθείη, καὶ τὰ πέριξ τοῦ βήματος ἑταίρων τε
2 καὶ πελατῶν ὄχλῳ προκαταλαβών. ἵνα δὲ σὺν εὐσχή-
μονι δίκης τοῦτο πράττῃ προφάσει, μὴ παραγενηθέν-
τος ἐπὶ τὴν ἐγγύην τοῦ πατρός, ἐπιστολὰς δοὺς τοῖς
πιστοτάτοις ἱππεῦσιν ἔπεμψεν ἐπὶ τὸν χάρακα [καὶ]
πρὸς Ἀντώνιον τὸν ἡγεμόνα τοῦ τάγματος, ὑφ' οὗ ἦν
Οὐεργίνιος, ἀξιῶν αὐτὸν κατέχειν τὸν ἄνδρα ἐν ἐπι-
μελεῖ φυλακῇ, μὴ λάθῃ πυθόμενος τὰ περὶ τὴν θυ-
3 γατέρα καὶ διαδρὰς ἐκ τοῦ χάρακος. ἔφθησαν δ' αὐ-
τὸν οἱ τῇ κόρῃ προσήκοντες, Νομιτωρίου τε υἱὸς καὶ
ἀδελφὸς Ἰκιλίου, προαποσταλέντες ὑπὸ τῶν ἄλλων
ἀρχομένης ἔτι τῆς καταστάσεως, νεανίαι λήματος πλή-
ρεις ἀπὸ ῥυτῆρος καὶ μετὰ μάστιγος ἐλαθεῖσι τοῖς
ἵπποις πρότερον διανύσαντες τὴν ὁδὸν καὶ τῷ Οὐερ-
4 γινίῳ τὰ πεπραγμένα διασαφηνίσαντες. ὁ δὲ τὴν μὲν
ἀληθῆ πρὸς Ἀντώνιον αἰτίαν ἀποκρυψάμενος, ἀναγ- 2242
καίου δέ τινος συγγενοῦς σκηψάμενος πεπύσθαι θά-
νατον, οὗ τὴν ἐκκομιδήν τε καὶ ταφὴν αὐτὸν ἔδει
ποιήσασθαι κατὰ τὸν νόμον, ἀφίεται καὶ περὶ λύχνων
ἀφὰς ἤλαυνε μετὰ τῶν μειρακίων κατ' ἄλλας ὁδοὺς
διωγμὸν ἔκ τε τοῦ στρατοπέδου καὶ ἀπὸ τῆς πόλεως
5 δεδοικώς· ὅπερ καὶ συνέβη. ὅ τε γὰρ Ἀντώνιος τὰς
ἐπιστολὰς δεξάμενος περὶ πρώτην μάλιστα φυλακήν,

1 τοῖς παρθένου L 6 δίκη τοῦτο πράττῃ O δοκῇ τοῦτο πράττειν c. Kiessling δίκης τοῦτο πράττῃ c. Kayser Fleck. Ann. 101 (1871) p. 725 8 καὶ del. Sylburg 9 ὑφ' ὃν O 10 αὐτοῦ ibi c. Reiske 12 καὶ ante διαδρὰς del. Portus 25 ὁ γὰρ O praeter V

ἴλην ἀπέστειλεν ἱππέων ἐπ' αὐτόν, ἔκ τε τῆς πόλεως ἕτεροι πεμφθέντες ἱππεῖς δι' ὅλης νυκτὸς ἐφρούρουν τὴν ἀπὸ στρατοπέδου φέρουσαν ὁδόν. ὡς δὲ ἀπήγγειλεν Ἀππίῳ τις τὸν Οὐεργίνιον ἐληλυθότα παρὰ τὴν ὑπόληψιν, ἔξω τῶν φρενῶν γενόμενος παρῆν μετὰ πολλοῦ στίφους ἐπὶ τὸ βῆμα καὶ προσάγειν ἐκέλευσε τοὺς τῆς κόρης συγγενεῖς. προσελθόντων δ' αὐτῶν ὁ 6
μὲν Κλαύδιος τοὺς αὐτοὺς πάλιν διεξελθὼν λόγους ἠξίου τὸν Ἄππιον γενέσθαι δικαστὴν τοῦ πράγματος μηδεμίαν ἀναβολὴν ποιησάμενον, τόν τε μηνυτὴν παρεῖναι λέγων καὶ τοὺς μάρτυρας καὶ τὴν θεράπαιναν
2243 αὐτὴν παραδούς· ἐφ' οἷς ἅπασι πολὺς δ' προσποιητὸς σχετλιασμὸς ἦν, εἰ μὴ τεύξεται τῶν ἴσων τοῖς ἄλλοις, ὡς πρότερον, ὅτι πελάτης ἦν αὐτοῦ· καὶ παράκλησις, [ἵνα] μὴ τοῖς ἐλεεινότερα λέγουσιν, ἀλλὰ τοῖς δικαιότερα ἀξιοῦσι βοηθεῖν.

XXXIIII. Ὁ δὲ τῆς κόρης πατὴρ καὶ οἱ λοιποὶ συγγενεῖς ἀπελογοῦντο περὶ τῆς ὑποβολῆς πολλὰ καὶ δίκαια καὶ ἀληθῆ λέγοντες, ὡς οὔτ' αἰτίαν οὐδεμίαν εἶχεν ὑποβολῆς εὔλογον ἡ Νομιτωρίου μὲν ἀδελφή, Οὐεργινίου δὲ γυνή, παρθένος γαμηθεῖσα νέῳ ἀνδρὶ καὶ οὐ μετὰ πολλοὺς τοῦ γάμου τεκοῦσα χρόνους· οὔτ' εἰ τὰ μάλιστα ἐβούλετο γένος ἀλλότριον εἰς τὸν ἴδιον οἶκον εἰσαγαγεῖν, δούλης ἀλλοτρίας ἂν ἐλάμβανε παιδίον μᾶλλον ἢ οὐ γυναικὸς ἐλευθέρας κατὰ γένος ἢ φιλίαν αὐτῇ προσηκούσης, παρ' ἧς πιστῶς τε ἅμα

13 τεύξωνται LV τεύξεται Sylburg 15 ἵνα — βοηθοῖ vulgo, sed βοηθεῖν O ἵνα del. Kiessling 22 καὶ οὐ μετὰ πολλοὺς O καὶ μετ' οὐ πολλούς? cf. Aar. Progr. p. 19; Sintenis Em. Dion. III 11 23 τὰ ante μάλιστα om. O praeter L 24 ἀνελάμβανε O corr. Reiske

2 καὶ βεβαίως ἕξει τὸ ληφθέν. ἐξουσίαν τε ἔχουσαν
ὁποῖον ἐβούλετο λαβεῖν, ἄρρεν ⟨ἂν⟩ ἑλέσθαι παιδίον
μᾶλλον ἢ θῆλυ. τεκοῦσαν μὲν γὰρ ἀνάγκην τῶν
τέκνων δεομένην στέργειν καὶ τρέφειν, ὅ τι ἂν ἡ 2244
φύσις ἐξενέγκῃ, ὑποβαλλομένην δὲ τὸ κρεῖττον ἀντὶ
3 τοῦ χείρονος εἰκὸς εἶναι λαβεῖν. πρός τε τὸν μηνυ-
τὴν καὶ τοὺς μάρτυρας, οὓς ὁ Κλαύδιος ἔφη πολλοὺς
καὶ ἀξιοχρέους παρέξεσθαι, τὸν ἐκ τῶν εἰκότων παρ-
είχοντο λόγον, ὡς οὐκ ἄν ποτε ἡ Νομιτωρία πρᾶγμα
σιγῆς δεόμενον καὶ δι' ἑνὸς ὑπηρετηθῆναι προσώπου
δυνάμενον, φανερῶς ἔπραττε καὶ μετὰ μαρτύρων ἐλευ-
θέρων, ἵν' ἐκτραφεῖσαν τὴν κόρην ὑπὸ τῶν κυρίων
4 τῆς μητρὸς ἀφαιρεθείη. τόν τε χρόνον οὐ μικρὸν
ἔλεγον εἶναι τεκμήριον τοῦ μηδὲν ὑγιὲς λέγειν τὸν
κατήγορον· οὔτε γὰρ ἂν τὸν μηνυτὴν οὔτε τοὺς μάρ-
τυρας κατασχεῖν ἐν πεντεκαίδεκα ἔτεσιν ἀπόρρητον
5 ⟨τὴν⟩ ὑποβολήν, ἀλλ' ἔτι πρότερον εἰπεῖν. διαβάλλον-
τες δὲ τὰς τῶν κατηγόρων πίστεις οὔτ' ἀληθεῖς οὔτε
πιθανὰς ἀντιπαρεξετάζειν ταύταις ἠξίουν τὰς ἑαυτῶν, 2245
πολλὰς καὶ οὐκ ἀσήμους γυναῖκας ὀνομάζοντες, ἃς
ἔφασαν εἰδέναι Νομιτωρίαν ἐγκύμονα γενομένην ἐκ
τοῦ περὶ τὴν γαστέρα ὄγκου. χωρὶς δὲ τούτων τὰς
ἐπὶ τοῦ τόκου καὶ τῆς λοχείας παραγενομένας διὰ

1 ἕξειν LM 2 ὁποίαν L | ἂν add. Kiessling 3 ἀνάγκη O ἀνάγκην Stephanus ἀνάγκη ἦν c. Cobet Obs. p. 209 | τῶν τέκνων δεομένην Reiskio auctore Kiesslingius sana non esse censet, τὴν τέκνων δεομένην c. Cobet Obs. p. 210, ἀνάγκῃ τῶν τέκνων ἐχομένην Smit Obs. p. 58; cf. Kayser Fleck. Ann. 101 (1870) 726, Schenkl Bursiani Litt. ann. breviar. p. 280, mea quidem sententia nihil mutandum est 8 ἀξιοχρέους L ἀξιοχρέως R | παρέξεσθαι O παρέχεσθαι Naber Mnem. 30, 257 17 τὴν add. Kiessling 18 πίστεις ὡς οὔτ' Sylburg

τὸ συγγενὲς καὶ τικτόμενον τὸ παιδίον ἰδούσας ἐπ-
εδείκνυντο καὶ ἀνακρίνειν ἠξίουν. ὃ δὲ πάντων 6
τεκμήριον ἦν περιφανέστατον ἔκ τε τῶν ἀνδρῶν πολ-
λῶν καὶ γυναικῶν μαρτυρούμενον οὐ μόνον ἐλευθέ-
ρων, ἀλλὰ καὶ δούλων, τοῦτ' ἔλεγον τελευτῶντες, ὅτι
τῷ γάλακτι τῆς μητρὸς ἐτράφη τὸ παιδίον· ἀμήχανον
δ' εἶναι γάλακτος πληρωθῆναι μαστοὺς γυναικὶ μὴ
τεκούσῃ.

XXXV. Ταῦτα καὶ πολλὰ τούτοις ὅμοια παρεχομέ-
νων αὐτῶν ἰσχυρὰ καὶ οὐδένα λόγον ἐναντίον δέξα-
σθαι δυνάμενα καὶ πολὺν ἐν ταῖς συμφοραῖς τῆς
κόρης ἔλεον καταχεομένων, οἱ μὲν ἄλλοι πάντες, ὅσοι
συνήκουον τῶν λόγων, τῆς τε μορφῆς οἶκτον ἐλάμβα-
2246 νον, ὁπότ' εἰς τὴν παρθένον ἴδοιεν· καὶ γὰρ ἐν ἐσθῆτι 2
οὖσα πιναρᾷ καὶ κατηφὲς ὁρῶσα καὶ τὸ καλὸν τῶν
ὀμμάτων ἐκτήκουσα τὰς ἁπάντων ἥρπαζεν ὄψεις, οὕτως
ὑπεράνθρωπός τις ὥρα περὶ αὐτὴν καὶ χάρις ἦν· καὶ
τὸ τῆς τύχης ἀνεκλαίοντο παράλογον, εἰς οἵας ὕβρεις
καὶ προπηλακισμοὺς ἐλεύσοιτο ἐξ οἵων ἀγαθῶν. εἰσῄει 3
τ' αὐτοὺς λογισμός, ὅτι τοῦ περὶ τῆς ἐλευθερίας νόμου
καταλυθέντος οὐδὲν ἔσται τὸ κωλῦον καὶ τὰς αὐτῶν
γυναῖκας καὶ θυγατέρας τὰ αὐτὰ ἐκείνῃ παθεῖν. ταῦτά
τε δὴ καὶ πολλὰ τούτοις ὅμοια ἐπιλογιζόμενοι καὶ πρὸς
ἀλλήλους διαλαλοῦντες ἔκλαιον. ὁ δὲ Ἄππιος, οἷα δὴ 4

1 τὸ παιδίον delendum esse c. Kiessling falso | ἐπεδείκνυντο O corr. Sylburg 2 ἠξίους L 3 πολλῶν O πολλοῖς Reiske πολλῶν praedic. positum est: in großer Menge; cf. Kühner gram. graec. II p. 549, 11 11 ἐν O ἐπὶ Kiessling 13 τὸν λόγον La 15 καλλὸν La κάλλος Kiessling 16 post ἐκτήκουσα excidisse videtur δάκρυσιν Kayser Ann. phil. 101 (1870) 726, nihil mutandum est, sed cf. VIII 45, 1 18 ψυχῆς L cf. Cobet Obs. p. 83 21 τὸ κωλῦσον Reudler Tiroc. crit. p. 27

φύσιν τε οὐ φρενήρης ἀνὴρ καὶ ὑπὸ μεγέθους ἐξουσίας διεφθαρμένος, οἰδῶν τε τὴν ψυχὴν καὶ ζέων τὰ σπλάγχνα διὰ τὸν ἔρωτα τῆς παιδός, οὔτε τοῖς λόγοις τῶν ἀπολογουμένων προσεῖχεν οὔτε τοῖς δάκρυσιν αὐ- 2247
τῆς ἐπεκλᾶτο, τήν τε συμπάθειαν τῶν παρόντων δι' ὀργῆς ἐλάμβανεν, ὡς αὐτὸς δὴ πλείονος ὢν ἄξιος ἐλέου καὶ δεινότερα ὑπὸ τῆς δεδουλωμένης αὐτὸν
5 εὐμορφίας πεπονθώς. διὰ δὴ ταῦτα πάντα οἰστρῶν λόγον τε ὑπέμεινεν εἰπεῖν ἀναίσχυντον, ἐξ οὗ καταφανὴς ἐγένετο τοῖς ὑπονοοῦσιν, ὅτι τὸ συκοφάντημα κατὰ τῆς κόρης αὐτὸς ἔγραψε καὶ ἔργον ἐτόλμησε τυραννικὸν πρᾶξαι καὶ ὠμόν.

XXXVI. Ἔτι γὰρ αὐτῶν λεγόντων ἡσυχίαν γενέσθαι κελεύσας, ἐπειδὴ σιωπή τ' ἐγένετο, καὶ πᾶς ὁ κατὰ τὴν ἀγορὰν ὄχλος τὴν ὁρμὴν ἐλάμβανεν ἐπιθυμίᾳ γνώσεως τῶν ὑπ' αὐτοῦ λεχθησομένων προαχθείς, πολλάκις ἐπιστρέψας τὸ πρόσωπον τῇδε καὶ τῇδε καὶ τὰ στίφη τῶν ἑταίρων, οἷς διειλήφει τὴν ἀγοράν, τοῖς 2248
2 ὄμμασι διαριθμησάμενος τοιάδ' εἶπεν· Ἐγὼ δὲ περὶ τοῦδε τοῦ πράγματος, ὦ Οὐεργίνιε, καὶ ὑμεῖς οἱ σὺν τούτῳ παρόντες, οὐ νῦν πρῶτον ἀκήκοα, ἀλλὰ παλαίτερον ἔτι πρὶν ἢ τήνδε τὴν ἀρχὴν παραλαβεῖν. ὃν τρόπον δ' ἔγνων, ἀκούσατε. ὁ πατὴρ ὁ Μάρκου Κλαυ-

2 διεφθαρμένον L 5 post ἐπεκλᾶτο addunt O praeter LV τῆς κόρης, quod Kiessling in textum recepit 6 πλείονος ἦν LV 9 καταφανὴς O καταφανὲς falso Kiessling 10 τοῖς τἀληθὲς ὑπονοοῦσιν c. Reiske 11 ἔγραψε LV ἔπλασε M ἐπλάσατο c. Grasberger Tess. Herbip. p. 37 ἔρραψε c. Kiessling, quod ingeniose sed praeter necessitatem excogitatum est 15 ἐλάμβανεν O τὴν ὀργὴν ἐπελάμβανεν Casaubonus, τὴν ὁρμὴν ἐπελάμβανεν per errorem Kiessling; nihil mutandum esse Sylburg vidit; τὴν ὁρμὴν ἐλάμβανε idem est quod προσώρμα

δίου τουδὶ τελευτῶν τὸν βίον ἠξίωσέ με τὸν υἱὸν αὐτοῦ [παῖδα] καταλειπόμενον ἐπιτροπεῦσαι· πελάται δ' εἰσὶ τῆς οἰκίας ἡμῶν ἐκ προγόνων. ἐν δὲ τῷ χρόνῳ 3
τῆς ἐπιτροπείας μήνυσις ἐγένετό μοι περὶ τῆς παιδός, ὡς ὑποβάλοιτο αὐτὴν Νομιτωρία λαβοῦσα παρὰ τῆς Κλαυδίου δούλης, καὶ τὸ πρᾶγμα ἐξετάσας ἔμαθον οὕτως ἔχον. ἐφάπτεσθαι μὲν οὖν ἐμαυτοῦ προσῆκέ μοι, βέλτιον δὲ ἡγησάμην τούτῳ τὴν ἐξουσίαν καταλιπεῖν, ὁπότε γένοιτο ἀνήρ, εἴτε βουληθείη τὴν παιδίσκην ἀπάγειν, εἴτε διαλύσασθαι πρὸς τοὺς τρέφοντας
2249 αὐτὴν χρηματισθεὶς ἢ χαρισάμενος. ἐν δὲ τοῖς μεταξὺ 4
χρόνοις ἐγὼ μὲν εἰς τὰς πολιτικὰς πράξεις ἐγκυλισθεὶς οὐδὲν ἔτι τῶν Κλαυδίου πραγμάτων εἶχον ἐν φροντίδι. τούτῳ δ', ὡς ἔοικε, τὸν ἴδιον ἐξετάζοντι βίον καὶ περὶ τῆς παιδίσκης ἡ μήνυσις ἀπεδόθη καθάπερ ἐμοὶ πρότερον, καὶ οὐδὲν ἄδικον ἀξιοῖ τὴν ἐκ τῆς ἑαυτοῦ θεραπαίνης γεγονυῖαν ἀπάγειν βουλόμενος. εἰ 5
μὲν οὖν ἀλλήλους ἔπεισαν αὐτοί, καλῶς ἂν εἶχεν· ἐπεὶ δ' εἰς ἀμφισβήτησιν ἦλθε τὸ πρᾶγμα, μαρτυρῶ τ' αὐτῷ ταῦτα καὶ κρίνω εἶναι τοῦτον τῆς παιδίσκης κύριον.

XXXVII. Ὡς δὲ ταῦτ' ἤκουσαν, ὅσοι μὲν ἦσαν ἀκέραιοί τε καὶ τῶν τὰ δίκαια λεγόντων παράκλητοι τὰς χεῖρας ἄραντες εἰς τὸν οὐρανὸν ἀνέκραγον ὀδυρμῷ

1 τὸν υἱὸν αὐτοῦ παῖδα O τ. υἱὸν αὐτοῦ νήπιον Kiessling *παῖδα delevi 5 παρὰ] περὶ LV 7 *ἐμαυτῷ οὐ προσήκει μοι LV ἐμαυτὸν οὐ προσῆκέ μοι R ἐφάπτεσθαι μὲν οὖν ἐμαυτὸν οὐ προσῆκέ μοι vulgo, ἐφάπτεσθαι μ. οὖν ἐμοὶ τῷ ἐπιτρόπῳ προσῆκε Cobet Obs. p. 210 ἐμαυτοῦ προσῆκέ μοι ego ἐφάπτεσθαι verbum iurisconsultorum est: mein Recht wahrnehmen 11 χρήμασι πεισθεὶς c. Reiske 12 ἐκκυλισθεὶς Cobet Obs. p. 210 18 εἶχον O corr. Sylburg

*καὶ ἀγανακτήσει μεμιγμένην κραυγήν, οἱ δὲ τῆς ὀλιγ-
αρχίας κόλακες τὴν ἐπικελεύουσάν τε καὶ θάρσος ἐμ-
ποιῆσαι δυναμένην τοῖς κρατοῦσι φωνήν. ἠρεθισμένης
δὲ τῆς ἀγορᾶς καὶ παντοδαπῶν γεμούσης λόγων τε
καὶ παθῶν σιωπὴν γενέσθαι κελεύσας Ἄππιος ἔλεξεν·* 2250
2 *Εἰ μὴ παύσεσθε διαστασιάζοντες τὴν πόλιν καὶ ἀντι-
στρατηγοῦντες ἡμῖν οἱ ταραχώδεις, μηδαμῇ χρήσιμοι
μήτ' ἐν εἰρήνῃ μήτε κατὰ πολέμους, ὑπὸ τῆς ἀνάγκης
σωφρονισθέντες εἴξετε. μὴ τούτους οἴεσθε τοὺς ἐπὶ
τοῦ Καπετωλίου καὶ τῆς ἄκρας φρουροὺς ἐπὶ τοὺς
ἔξωθεν πολεμίους ἡμῖν παρεσκευάσθαι μόνον, ὑμᾶς δὲ
τοὺς ἔνδον ὑποκαθημένους καὶ πάντα σήποντας τὰ τῆς
3 πόλεως πράγματα ἐάσειν. γνώμην δὴ λαβόντες κρείτ-
τονα ἧς ἔχετε νῦν ἄπιτε, οἷς μή τι πρᾶγμα, καὶ
πράσσετε τὰ ἑαυτῶν, εἰ σωφρονεῖτε· σὺ δ' ἄγου τὴν
παιδίσκην ἔχων, Κλαύδιε, μηδένα δεδοικὼς δι' ἀγορᾶς·
4 οἱ γὰρ Ἀππίου σε προπέμψουσι δώδεκα πελέκεις. Ὡς
δὲ ταῦτ' εἶπεν, οἱ μὲν ἄλλοι στένοντες καὶ τὰ μέτωπα
παίοντες καὶ τὰ δάκρυα κατέχειν οὐ δυνάμενοι παρ-
εχώρουν ἐκ τῆς ἀγορᾶς, ὁ δὲ Κλαύδιος ἀπῆγε τὴν
παῖδα τῷ πατρὶ περιπεπλεγμένην καὶ καταφιλοῦσαν
καὶ ταῖς ἡδίσταις φωναῖς ἀνακαλοῦσαν. ἐν τοιούτοις* 2251
*δὴ κακοῖς Οὐεργίνιος ὢν ἔργον εἰς νοῦν βάλλεται
πατρὶ μὲν ταλαίπωρον καὶ πικρόν, ἐλευθέρῳ δ' ἀνδρὶ
5 καὶ μεγαλόφρονι πρέπον. αἰτησάμενος γὰρ ἐξουσίαν
ἀσπάσασθαι τὴν θυγατέρα τοὺς τελευταίους ἀσπασμοὺς
ἐπ' ἐξουσίας καὶ διαλεχθῆναι μόνῃ μόνος, ὁπόσα βού-*

6 *παύσησθε* LV 10 *κατὰ πετωλίου* L 11 *παρασκευάσαι* O *παρασκευασθα*$^{αι}$ V Heylbut *παρεσκευάσθαι* Sylburg 19 *παρ-εχώρουν*] *ὑπεχώρουν* vel *ἀνεχώρουν* vel *ἀπεχώρουν* Reiske

λεται, πρὶν ἐκ τῆς ἀγορᾶς αὐτὴν ἀπαχθῆναι, συγχω-
ρήσαντος τοῦ στρατηγοῦ καὶ τῶν ἐχθρῶν μικρὸν ἀνα-
χωρησάντων ὑπολαβὼν εἰς τὴν ἐκλυομένην τε καὶ
καταρρέουσαν καὶ κατέχουσαν τέως μὲν ἀνεκαλεῖτό τε
καὶ κατεφίλει καὶ τὰς λιβάδας ἐξέματτε τῶν δακρύων,
ἔπειτα κατὰ μικρὸν ὑπάγων, ὡς ἦν ἐγγὺς ἐργαστηρίου
μαγειρικοῦ, μάχαιραν ἐξαρπάσας ἀπὸ τῆς τραπέζης
παίει τὴν θυγατέρα διὰ τῶν σπλάγχνων τοσοῦτον
εἰπών· Ἐλευθέραν σε καὶ εὐσχήμονα, τέκνον, ἀπο- 6
2252 στέλλω τοῖς κατὰ γῆς προγόνοις· ζῶσα γὰρ ταῦτα
οὐκ ἐξῆν ἔχειν ἀμφότερα διὰ τὸν τύραννον. κραυγῆς
δὲ γενομένης ἡμαγμένην ἔχων τὴν σφαγίδα καὶ αὐτὸς
ἀνάμεστος αἵματος γενόμενος, ᾧ προσέφυρεν αὐτὸν ἡ
σφαγὴ τῆς κόρης, ἔθει διὰ τῆς πόλεως ἐμμανὴς ἐπὶ
τὴν ἐλευθερίαν τοὺς πολίτας καλῶν. διεκπαισάμενος 7
δὲ τὰς πύλας ἀνέβη τὸν ἵππον, ὃς ἦν παρεσκευασμένος
αὐτῷ, καὶ συνέτεινεν ἐπὶ τὸ στρατόπεδον, Ἰκιλίου τε
καὶ Νομιτωρίου τῶν ἀγαγόντων αὐτὸν ἐκ τοῦ χάρακος
νεανίσκων καὶ τότε συμπροπεμπόντων. ἠκολούθει δ'
αὐτοῖς καὶ ἄλλος ὄχλος δημοτῶν οὐκ ὀλίγος, ὥστε
τοὺς σύμπαντας ἀμφὶ τετρακοσίους γενέσθαι.

3 εἰς τὴν ἐκλυομένην O αὐτὴν ἐκλ. Portus 4 κατέχουσαν O κατέχων Reiske καὶ κατέχουσαν del. Cobet Obs. p. 211 falso, nam κατέχειν est idem atque 'cessare, impetum cohibere'; cf. Aristoph. εἰρ. v. 934 6 ἦν om. L 9 ἀποστέλλω add. Lb in lacuna 10 κατὰ γῆν O κατὰ γῆς Sylburg; cf. Jacoby Obs. p. 330 11 οὐχὶ Kiessling | ἔχειν om. O praeter L | διὰ τὸν τύραννον add. Lb in lac. 12 τὴν σφραγίδα La in mge τὴν μάχαιραν Lc et MV corr. Kiessling | οὗτος O αὐτὸς Cobet Obs. p. 211 cf. Liv. III 50: respersusque ipse cruore 13 ὃ προσέφυσεν O ᾧ προσέφυρεν Casaubonus; cf. Götzeler Animadv. II 33 14 ἐμμανὴς Lb in lac.

XXXVIII. Ὁ δὲ Ἄππιος, ὡς τὸ περὶ τὴν κόρην
ἐπέγνω πάθος, ἀναπηδᾷ τε ἀπὸ τοῦ δίφρου καὶ διώκειν
τὸν Οὐεργίνιον ἐβούλετο πολλὰ καὶ λέγων καὶ πράτ- 2253
των ἄκοσμα. περιστάντων δ' αὐτὸν τῶν φίλων καὶ
μηδὲν ἐξαμαρτάνειν ἀξιούντων ἀπῄει πρὸς ἅπαντας
2 ἀγανακτῶν. ἤδη δ' αὐτῷ κατ' οἰκίαν ὄντι προσαγγέλ-
λουσι τῶν ἑταίρων τινές, ὅτι περὶ τὸ πτῶμα τῆς κόρης
Ἰκίλιός τε ὁ κηδεστὴς καὶ Νομιτώριος ὁ θεῖος σὺν
τοῖς ἄλλοις ἑταίροις τε καὶ συγγενέσιν ἑστῶτες ῥητὰ
καὶ ἄρρητα κατ' αὐτοῦ λέγουσι καὶ καλοῦσι τὸν δῆμον
3 ἐπὶ τὴν ἐλευθερίαν. ὁ δ' ὑπ' ὀργῆς ὡς εἶχε πέμπει
τῶν ῥαβδούχων τινὰς κελεύσας ἀπάγειν εἰς τὸ δεσμω-
τήριον τοὺς κεκραγότας καὶ τὸ πτῶμα μεταφέρειν ἐκ
τῆς ἀγορᾶς· ἀφρονέστατον πρᾶγμα ποιῶν καὶ τοῖς τότε
καιροῖς ἥκιστα ἁρμόττον. δέον γὰρ ἀποθεραπεύειν τὸν
ὄχλον ὀργῆς εἰληφότα δικαίαν πρόφασιν, εἴξαντα μὲν
ἐν τῷ παραχρῆμα χρόνῳ, ὕστερον δὲ τὰ μὲν ἀπολογού-
μενον, τὰ δὲ παραιτούμενον, τὰ δ' ἑτέραις τισὶν εὐερ-
γεσίαις ἀναλαβόντα, ἐπὶ τὸ βιαιότερον ἐνεχθεὶς εἰς
4 ἀπόνοιαν αὐτοὺς ἠνάγκασε τραπέσθαι. οὐ γὰρ ἀν- 2254
έσχοντο τῶν ἐπιβαλλομένων ἕλκειν τὴν νεκρὰν ἢ τοὺς
ἄνδρας εἰς τὸ δεσμωτήριον ἀπάγειν, ἀλλ' ἐμβοήσαντες
ἑαυτοῖς σὺν ὠθισμῷ τε καὶ πληγαῖς τῶν βιαζομένων
ἐξέβαλον αὐτοὺς ἐκ τῆς ἀγορᾶς. ὥστ' ἠναγκάσθη ἀκού-

11 ὑπ' ὀργῆς ὡς εἶχε πέμπει O ὑπ' ὀργῆς ὡς εἶχε τάχους πέμπει Sylburg ὡς εἶχεν ὀργῆς verbis ὑπ' ὀργῆς omissis c. Grasberger Tess. Herbip. p. 37; nihil mutandum esse docet Herodotus I 61: ὀργῇ δὲ ὡς εἶχε 16 εἴξαντα δ' ἐν O εἴξ. μὲν ἐν c. Portus 17 ὕστερον τὰ O ὕστερον δὲ τὰ Portus 20 ἀνέσχοντο cf. Jacoby Aar. Progr. p. 31 21 περιβαλλομένων O ἐπιβαλλομένων Sylburg 24 ἐξέβαλ' L

σας ταῦθ' ὁ Ἄππιος ἅμα συχνοῖς ἑταίροις καὶ πελάταις
εἰς τὴν ἀγορὰν πορεύεσθαι παίειν κελεύων καὶ ἀνείρ-
γειν ἐκποδὼν τοὺς ἐν τοῖς στενωποῖς. πυθόμενοι δὲ 5
τὴν διάνοιαν αὐτοῦ τῆς ἐξόδου Οὐαλέριός τε καὶ
Ὁράτιος, οὓς ἔφην ἡγεμονικωτάτους εἶναι τῶν ἀντι-
ποιουμένων τῆς ἐλευθερίας, πολλὴν καὶ ἀγαθὴν νεό-
τητα περὶ αὐτοὺς ἄγοντες ἵστανται πρὸ τοῦ νεκροῦ
καὶ ἐπειδὴ πλησίον αὐτῶν οἱ περὶ τὸν Ἄππιον ἐγί-
νοντο, πρῶτον μὲν εἰς λόγους ἐπαχθεῖς καὶ προ-
πηλακιστὰς κατὰ τῆς ἐξουσίας αὐτῶν ἐχώρουν, ἔπειτα
καὶ τὰ ἔργα ὅμοια τοῖς λόγοις παρείχοντο παίοντές τε
καὶ ἀνατρέποντες τοὺς ὁμόσε χωροῦντας.

XXXVIIII. Ὁ δ' Ἄππιος ἀδημονῶν ἐπὶ τῷ παρ'
2256 ἐλπίδα τῆς κολάσεως καὶ οὐκ ἔχων, ὅ τι χρήσεται τοῖς
ἀνδράσι τὴν ὀλεθριωτάτην ἔγνω βαδίζειν ὁδόν. ὡς
γὰρ ἔτι τοῦ πλήθους αὐτῷ διαμένοντος οἰκείου ἀναβὰς
ἐπὶ τοῦ Ἡφαίστου τὸ ἱερὸν ἐκάλει τὸν δῆμον εἰς
ἐκκλησίαν καὶ κατηγορεῖν ἐπειρᾶτο τῶν ἀνδρῶν παρα-
νομίαν τε καὶ ὕβριν, ἐξουσίᾳ δημαρχικῇ καὶ ἐλπίδι
κούφῃ ἐπαιρόμενος, ὅτι συναγανακτήσας ὁ δῆμος αὐτῷ
παρήσει ῥίψαι τοὺς ἄνδρας κατὰ τῆς πέτρας. οἱ δὲ 2
περὶ τὸν Οὐαλέριον ἕτερον τόπον τῆς ἀγορᾶς κατα-
λαβόμενοι καὶ τὸ πτῶμα τῆς παρθένου θέντες, ὅθεν
ὑπὸ πάντων ὀφθήσεσθαι ἔμελλεν, ἑτέραν συνῆγον ἐκ-
κλησίαν καὶ πολλὴν ἐποιοῦντο τοῦ τ' Ἀππίου καὶ τῶν
ἄλλων ὀλιγαρχῶν κατηγορίαν. ἔμελλέ τε, ὅπερ εἰκὸς 3

1 *ταῦτα Ἄππιος LV ταῦθ' ὁ Ἄ. ego 2 κελεύευειν L 3 Γαλέριος LbV 7 ἄγοντες] ἔχοντες Sylburg 8 ἐγίνοντο] ἐγένοντο Kiessling 9 προπηκαλιστὰς L προπηκαλισμοὺς R 13 ἐπὶ τὸ V 14 κολάσεως O κωλύσεως Sylburg 17 ἐπὶ τὸν Ηφαίστου La 26 ὀλιγαρχῶν O ὀλιγαρχικῶν Portus cf. XI 43, 4

ἦν, οὓς μὲν τὸ ἀξίωμα τῶν ἀνδρῶν, οὓς δ' ὁ τῆς
κόρης ἔλεος δεινὰ καὶ πέρα δεινῶν διὰ τὸ ἀτυχὲς
κάλλος παθούσης, οὓς δ' αὐτὸς ὁ τῆς ἀρχαίας κατα- 2256
στάσεως πόθος εἰς ταύτην τὴν ἐκκλησίαν παρακαλῶν
πλείους τῶν ἑτέρων συνάξειν, ὥστ' ὀλίγους τινὰς ὑπο-
λειφθῆναι περὶ τὸν Ἄππιον, αὐτοὺς δὴ τοὺς ὀλιγαρ-
χικούς, ἐν οἷς ἦσάν τινες οὐκέτι τῆς ὀλιγαρχικῆς
αὐτῶν ἀκροώμενοι, διὰ πολλὰς προφάσεις, ἀλλ', εἰ
γένοιτο ἰσχυρὰ τὰ τῶν ἐναντίων, ἄσμενοι χωρήσειν ἐπ'
4 ἐκείνους. ἐρημούμενον δὴ θεωρῶν ἑαυτὸν ὁ Ἄππιος
ἠναγκάσθη μεταγνῶναι καὶ ἀπελθεῖν ἐκ τῆς ἀγορᾶς,
ὃ καὶ μάλιστ' ὤνησεν αὐτόν. ἐπιβαλλόμενος γὰρ ὑπὸ
τοῦ δημοτικοῦ πλήθους καλὰς ἔτισεν ⟨ἂν⟩ αὐτῷ τὰς
5 δίκας. μετὰ τοῦτ' ἐξουσίας ὅσης ἐβούλοντο τυχόντες
οἱ περὶ τὸν Οὐαλέριον ἐνεφοροῦντο τῶν κατ' ὀλιγαρ-
χίας λόγων καὶ τοὺς ἔτι ἐνδοιάζοντας ἐξεδημαγώγουν.
ἔτι δὲ μᾶλλον ἐξηλλοτρίωσαν τὸν πολιτικὸν ὄχλον οἱ 2257
τῆς κόρης συγγενεῖς κλίνην τε κομίσαντες εἰς τὴν
ἀγορὰν καὶ τὸν ἄλλον κόσμον τὸν ἐπιτάφιον οἷον
ἐδύναντο πολυτελέστατον παρασκευάσαντες, καὶ τὴν
ἐκφορὰν τοῦ σώματος διὰ τῶν ἐπιφανεστάτων τῆς
πόλεως ποιησάμενοι στενωπῶν, ὅθεν ὑπὸ πλείστων
6 ὀφθήσεσθαι ἔμελλον. ἐξεπήδων γὰρ ἐκ τῶν οἰκιῶν
γυναῖκές τε καὶ παρθένοι τὸ πάθος ἀποδυρόμεναι, αἱ
μὲν ἄνθη καὶ στεφάνους βάλλουσαι κατὰ τῆς κλίνης,
αἱ δὲ τελαμῶνας ἢ μίτρας, αἱ δὲ ἀθύρματα [κόμης]

6 αὐτοὺς δὴ τοὺς M 7 ὀλιγαρχικῆς O ὀλιγαρχίας Reiske post ὀλιγαρχικῆς supplendum est καταστάσεως 9 γένοιτο O 12 ἐπιβαλλόμενος O βαλλόμενος Reiske 13 ἂν add. Sylburg 15 κατὰ τῆς ὀλιγαρχίας Reiske 23 ἔμελλεν Kiessling 26 ἀθύρματα κόμης παρθενικὰ O ἀ. κομίζουσαι π. Lobeck Aglaophamus

παρθενικά, καί που τινὲς καὶ πλοκάμων ἀποκειράμεναι
βοστρύχους. ἄνδρες τε συχνοὶ λαμβάνοντες ἐκ τῶν 7
πλησίον ἐργαστηρίων τὰ μὲν ὠνῇ, τὰ δὲ χάριτι συν-
επεκόσμουν τοῖς προσφόροις δωρήμασι τὴν ἐκκομιδήν,
ὥστε περιβόητον ἀνὰ τὴν πόλιν γενέσθαι τὸ κῆδος,
καὶ προθυμίαν ἅπαντας καταλαβεῖν τῆς τῶν ὀλιγαρχι-
2258 κῶν καταλύσεως. ἀλλ' οἱ φρονοῦντες τὰ τῆς ὀλιγαρ-
χίας ὅπλα ἔχοντες μέγα παρεῖχον αὐτοῖς δέος, οἵ τε
περὶ τὸν Οὐαλέριον οὐκ ἠξίουν αἵματι πολιτικῷ τὸ
νεῖκος διαιρεῖν.

XXXX. Τὰ μὲν δὴ κατὰ πόλιν ἐν τοιαύταις ἦν
ταραχαῖς. Οὐεργίνιος δ', ὃν ἔφην αὐτόχειρα γενέσθαι
τῆς ἑαυτοῦ θυγατρός, ἀπὸ ῥυτῆρος ἐλαύνων τὸν ἵππον
ἀφικνεῖται περὶ λύχνων ἀφὰς ἐπὶ τὸν πρὸς Ἀλγιδῷ
χάρακα, τοιοῦτος οἷος ἐκ τῆς πόλεως ἐξέδραμεν, αἵματι
πεφυρμένος ἅπας καὶ τὴν μαγειρικὴν σφαγίδα διὰ
χειρὸς ἔχων. ἰδόντες δ' αὐτὸν οἱ πρὸ τοῦ στρατοπέδου 2
τὰς φυλακὰς φυλάττοντες ἐν ἀπόρῳ τ' ἦσαν ὅ τι
πέπονθεν εἰκάσαι, καὶ παρηκολούθουν ὡς ἀκουσόμενοι
μέγα πρᾶγμα καὶ δεινόν. ὁ δὲ τέως μὲν ἐπορεύετο
κλαίων καὶ διασημαίνων τοῖς ὁμόσε χωροῦσιν ἀκολου-
2259 θεῖν· ἐξέτρεχον δ' ἐκ τῶν σκηνῶν ἃς διεπορεύετο
μεταξὺ δειπνοῦντες ἅπαντες ἀθρόοι φανοὺς ἔχοντες
καὶ λαμπάδας, ἀγωνίας πλήρεις καὶ θορύβου περιεχό-

p. 1095, κόμης delevit Casaubonus; equidem nescio an ad πλοκάμων adscriptum sit 1 ἀποραμεναι (και supra) L ἀποκράμενοι V 6 ὀλιγαρχιῶν O ὀλιγαρχικῶν c. Kiessling 13 τὸν ἵππον del. Cobet Obs. p. 17 16 σφαγίδα La μάχαιραν Lb in mge VM 24 θορύβου La θορύβῳ Lb θυρύβων VM | περιεχόμενοι O περιχεόμενοι τε Sylburg, quod τε voce omissa in textum Reiske et Kiessling receperunt; περιέχεσθαι schützend umgeben, umdrängen alienum mihi videtur non esse

3 μενοι περὶ αὐτὸν ἠκολούθουν. ἐπεὶ δ' εἰς τὸν ἀναπεπταμένον τοῦ στρατοπέδου τόπον ἦλθεν, ἐπὶ μετεώρου τινὸς στάς, ὥσθ' ὑπὸ πάντων ὁρᾶσθαι, διηγεῖτο τὰς καταλαβούσας αὐτὸν συμφοράς, μάρτυρας τῶν λόγων παρεχόμενος τοὺς σὺν αὐτῷ παρόντας ἐκ τῆς πόλεως. ὡς δὲ κατέμαθεν ὀλοφυρομένους τε πολλοὺς καὶ δακρύοντας, εἰς ἱκεσίας καὶ δεήσεις αὐτῶν ἐτράπετο, μὴ περιιδεῖν μήτ' αὐτὸν ἀτιμώρητον γενόμενον μήτε τὴν πατρίδα προπηλακιζομένην. λέγοντι δ' αὐτῷ ταῦτα πολὺ τὸ βουλόμενον ἐξ ἁπάντων ἀκούειν καὶ ἐπι-
4 κελευόμενον λέγειν ἐγίνετο. τοιγάρτοι καὶ θρασύτερον ἤδη καθήπτετο τῆς ὀλιγαρχίας διεξιών, ὡς πολλῶν μὲν ἀφείλοντο τὰς οὐσίας οἱ δέκα, πολλῶν δὲ πληγαῖς ᾐκίσαντο τὰ σώματα, παμπόλλους δὲ φυγεῖν ἠνάγκασαν ἐκ τῆς πατρίδος οὐδὲν ἀδικήσαντας, γυναικῶν τε ὕβρεις καὶ παρθένων ἐπιγάμων ἁρπαγὰς καὶ παίδων ἐλευθέρων προπηλακισμοὺς καὶ τὰς ἄλλας αὐτῶν παρανομίας
5 τὲ καὶ ὠμότητας ἐκλογιζόμενος· Καὶ ταῦτ', ἔφη, προπηλακίζουσιν ἡμᾶς οἱ μήτε νόμῳ τὴν ἐξουσίαν ἔχοντες μήτε ψηφίσματι βουλῆς ἢ δήμου συγχωρήματι λαβόντες, — ὁ γὰρ ἐνιαύσιος αὐτοῖς τῆς ἀρχῆς χρόνος, ὃν ἐχρῆν αὐτοὺς ἄρξαντας ἑτέροις παραδοῦναι τὰ κοινά, παρελήλυθεν, — ἀλλ' ἐκ τοῦ βιαιοτάτου τῶν τρόπων, πολλὴν δειλίαν καὶ μαλακίαν καταγνόντες ἡμῶν ὥσπερ
6 γυναικῶν. εἰσελθέτω δὴ λογισμὸς ἕκαστον ὑμῶν ὧν τ' αὐτὸς πέπονθε καὶ ὧν οἶδεν ἑτέρους παθόντας· καὶ εἴ τις ὑμῶν δελεαζόμενος ὑπ' αὐτῶν ἡδοναῖς τισιν ἢ χάρισιν οὐ πεφόβηται τὴν ὀλιγαρχίαν οὐδὲ δέδοικε,

2 ἐπὶ μ. στάς τινος O praeter L 18 ἐκλογιζόμενος O ἐπιλογιζόμενος Kiessling 19 *μὴ O μήτε ego

μὴ καὶ ἐπ' αὐτὸν ἔλθοι ποτὲ σὺν χρόνῳ τὰ δεινά, μαθὼν ὅτι τυράννοις οὐδέν ἐστι πιστόν, οὐδ' ἀπ' εὐνοίας αἱ τῶν κρατούντων δίδονταί τισι χάριτες, καὶ πάντα τὰ ὅμοια τούτοις, μεταγνώτω· καὶ μιᾷ διανοίᾳ 7
2261 χρησάμενοι πάντες ἐλευθεροῦτε ἀπὸ τῶν τυράννων τὴν πατρίδα, ἐν ᾗ θεῶν τε ὑμῖν ἱερὰ ἵδρυται καὶ θῆκαι προγόνων εἰσίν, οὓς ὑμεῖς τιμᾶτε μετὰ θεούς, καὶ γηραιοὶ πατέρες τροφεῖα πολλὰ καὶ ἄξια τῶν πόνων ἀπαιτοῦντες, γυναῖκές τε κατὰ νόμους ἐγγυηθεῖσαι καὶ θυγατέρες ἐπίγαμοι φροντίδος οὐ μικρᾶς δεόμεναι τοῖς ἔχουσι καὶ γοναὶ παίδων ἀρρένων, οἷς ὀφείλεται ⟨τὰ⟩ δίκαια φύσεως προγόνων. οἰκίας γὰρ δὴ καὶ κλήρους 8
καὶ χρήματα σὺν πολλοῖς κτηθέντα πόνοις ὑπὸ πατέρων καὶ ὑμῶν αὐτῶν σιωπῶ· ὧν οὐδὲν ὑμῖν ἔξεστι βεβαίως ἔχειν, ἕως ἂν ὑπὸ τῶν δέκα τυραννῆσθε.

XXXXI. Οὔτε σωφρόνων οὔτε γενναίων ἐστὶν ἀνθρώπων τὰ μὲν ἀλλότρια κτᾶσθαι δι' ἀνδραγαθίαν, τὰ δ' οἰκεῖα περιορᾶν ἀπολλύμενα διὰ μαλακίαν οὐδὲ πρὸς μὲν Αἰκανοὺς καὶ Οὐολούσκους καὶ Σαβίνους καὶ τοὺς ἄλλους περιοίκους ἅπαντας πολεμεῖν μακροὺς
2262 καὶ ἀδιαλείπτους πολέμους ὑπὲρ ἀρχῆς καὶ δυναστείας, πρὸς δὲ τοὺς παρὰ νόμον ἄρχοντας ὑμῶν μὴ θέλειν ἄρασθαι τὰ ὅπλα ὑπὲρ ἀσφαλείας τε καὶ ἐλευθερίας.

1 ἔλθῃ Kayser Ann. phil. 1870, 726   2 ὑπ' εὐνοίας M Reudler Tiroc. crit. p. 52   3 τισι] σφίσι c. Kiessling   6 ὑμῖν add. L | ἵδρυνται V   11 *ὀφείλεται δίκαια φύσεως προγόνων O καὶ προγόνων Reiske οἰκεῖα φύσεως προγόνων c. Sintenis Em. Dion. III 24 τὰ δίκαια φύσεως voce προγόνων deleta Kayser Ann. phil. 1870, 722 mea sententia τὰ addendum, προγόνων retinendum, προγόνων cum ὀφείλεται coniungendum est: die Rechte der Geburt werden den Vorfahren verdankt   15 τυραννεῖσθε MV   20 ἄλλους LV om. R

2 οὐκ ἀναλήψεσθε τὸ φρόνημα τῆς πατρίδος; οὐ παρα-
στήσεται λογισμὸς ὑμῖν τῆς ἀρετῆς τῶν γονέων ἄξιος,
οἳ διὰ μιᾶς γυναικὸς ὕβριν ὑφ' ἑνὸς τῶν Ταρκυνίου
παίδων ὑβρισθείσης καὶ διὰ τὴν συμφορὰν ταύτην
ἑαυτὴν διαχρησαμένης, οὕτως ἠγανάκτησαν ἐπὶ τῷ
πάθει καὶ παρωξύνθησαν καὶ κοινὴν ἁπάντων ἡγή-
σαντο τὴν ὕβριν, ὥστ' οὐ μόνον Ταρκύνιον ἐξέβαλον
ἐκ τῆς πόλεως, ἀλλὰ καὶ τὸ βασιλικὸν πολίτευμα κατ-
έλυσαν, καὶ τὸ λοιπὸν ἀπεῖπον μηδένα Ῥωμαίων ἄρχειν
διὰ βίου τὴν ἀνυπεύθυνον ἀρχήν, αὐτοί τε τοὺς με-
γίστους ὀμόσαντες ὅρκους, καὶ κατὰ τῶν ἐγγόνων ἀράς,
3 ἐάν τι παρὰ ταῦτα ποιῶσι, καταρασάμενοι; ἔπειτ'
ἐκεῖνοι μὲν ἑνὸς οὐκ ἤνεγκαν ἀκολάστου μειρακίου
τυραννικὴν ὕβριν εἰς ἓν σῶμα ἐλεύθερον γενομένην,
ὑμεῖς δὲ πολυκέφαλον τυραννίδα πάσῃ παρανομίᾳ τε 2268
καὶ ἀσελγείᾳ χρωμένην καὶ ἔτι μᾶλλον χρησομένην,
4 ἐὰν νῦν ἀνάσχησθε, ὑπομενεῖτε; οὐκ ἐμοὶ μόνῳ θυ-
γάτηρ ἐγένετο διαφέρουσα τὴν ὄψιν ἑτέρων, ἣν ἀπὸ
τοῦ φανεροῦ βιάζεσθαι καὶ προπηλακίζειν Ἄππιος ἐπ-
εβάλετο, ἀλλὰ καὶ ὑμῶν εἰσι πολλαὶ τοῖς μὲν θυγα-
τέρες, τοῖς δὲ γαμεταί, τοῖς δὲ νεανίαι παῖδες εὐπρε-
πεῖς, οὓς τί κωλύσει πρὸς ἄλλου τινὸς τῶν δέκα
τυράννων ἢ πρὸς αὐτοῦ τοῦ Ἀππίου ταὐτὰ παθεῖν;
εἰ μή τις ἄρα θεῶν ἐστιν ἐγγυητής, ὡς, ἐὰν τὰς ἐμὰς
ταύτας συμφορὰς ἀτιμωρήτους ἐάσητε, οὐκ ἐφ' ὑμῶν
πολλοὺς τὰ ὅμοια δεινὰ ἥξει, ἀλλὰ μέχρι τῆς ἐμῆς

5 διαχειρισαμένης MV | ἠγανάκτησαν καὶ παρωξύνθησαν ἐπὶ τῷ πάθει L 7 ἐξέβαλλον V 9 *ἀπεῖπαν O cf. Jacoby Obs. p. 300 17 ὑπομείνετε M 20 πολλαὶ O πολλοῖς Sylburg 23 ἢ καὶ πρὸς c. Reiske | ἢ πρὸς αὐτοῦ τούτου Ἀππίου L ἢ πρὸς αὐτοῦ τοῦ Ἀ. R 25 ἐάσετε V | ἡμῶν L

θυγατρὸς ὁ τυραννικὸς ἔρως προελθὼν στήσεται, καὶ
περὶ τὰ λοιπὰ σώματα παίδων τε καὶ παρθένων
σωφρονήσει. πολλῆς μέντοι μωρίας καὶ σκαιότητος, 5
σαφῶς ἴστε, τὰ νοούμενα ταῦθ' ὡς οὐκ ἔσται λέγειν.
2264 ἀόριστοι γὰρ αἱ τῶν τυράννων ἐπιθυμίαι κατὰ τὸ
εἰκός, οἷα δὴ μήτε νόμον ἔχουσαι κωλυτὴν μήτε φόβον.
ἐμοί τε δὴ πράττοντες τιμωρίαν δικαίαν καὶ ὑμῖν αὐ-
τοῖς ἀσφάλειαν, ἵνα μὴ ταὐτὰ πάθητε, παρασκευαζό-
μενοι διαρρήξατε ἤδη ποτὲ τοὺς χαλινούς, ὦ σχέτλιοι·
ἀναβλέψατε ὀρθοῖς ὄμμασι πρὸς τὴν ἐλευθερίαν. ἐπὶ 6
τίνι γὰρ ἑτέρᾳ προφάσει μᾶλλον ἀγανακτήσετε ἢ ταύτῃ,
ὅτε τὰς τῶν πολιτῶν θυγατέρας ὡς δούλας ἀπάγουσιν
οἱ τύραννοι καὶ μετὰ μαστίγων νυμφαγωγοῦσιν; ἐν
ποίῳ δὲ τὸ ἐλεύθερον φρόνημα ἀναλήψεσθε καιρῷ
τὸν νῦν παρέντες, ἐν ᾧ τὰ ὅπλα περὶ τοῖς σώμασιν
ἔχετε;

XXXXII. Ἔτι δ' αὐτοῦ λέγοντος ἀνεβόησαν οἱ
πολλοὶ τιμωρήσειν ὑπισχνούμενοι καὶ τοὺς ἡγεμόνας
τῶν λόχων ἐξ ὀνόματος ἐκάλουν ἀξιοῦντες ἔργου ἔχε-
2265 σθαι, καὶ ἐκ τοῦ φανεροῦ πολλοὶ παριόντες ἐθάρρουν
λέγειν, εἴ τι δεινὸν ἦσαν πεπονθότες. μαθόντες δὲ 2
τὰ γενόμενα οἱ πέντε ἄνδρες, οὓς ἔφην ἡγεῖσθαι τῶν
ταγμάτων, δείσαντες, μή τις ἐπ' αὐτοὺς τῶν ὄχλων
ὁρμὴ γένηται, συνέδραμον εἰς τὸ στρατήγιον πάντες
καὶ μετὰ τῶν φίλων ἐσκόπουν, ὅπως παύσουσι τὴν
ταραχήν, τὰ οἰκεῖα ὅπλα περιστησάμενοι. ὡς δ' ἐπύ- 3

3 σκαιότητος] κακότητος LVM in mge 4 νοούμενα O ὑπονοούμενα Reiske 12 ὅτε O ὅτι Kiessling 22 γενόμενα O 23 πραγμάτων C 24 πάντες O 25 παύσωσι O παύσουσι Krüger Index gr. gr. p. 263

θοντο ἀπεληλυθότας ἐπὶ τὰς σκηνὰς λήξαντά τε καὶ παυσάμενον τὸν θόρυβον, ἀγνοοῦντες, ὅτι τῶν ἑκατοντάρχων τοῖς πλείοσι δεδογμένον ἦν δι' ἀπορρήτων συνωμοσιῶν ἀπόστασιν πράττειν καὶ συνελευθεροῦν τὴν πατρίδα, ἔκριναν, ἐπειδὰν ἡμέρα τάχιστα γένηται, τὸν μὲν ἐκταράττοντα τοὺς ὄχλους Οὐεργίνιον συλλαβόντας ἔχειν ἐν φυλακῇ, τὰς δὲ δυνάμεις ἀναστήσαντας ἐκ τοῦ χάρακος ἄγειν ἐπὶ τοὺς πολεμίους, καὶ τὴν κρατίστην αὐτῶν τῆς χώρας ἐγκαθημένους δῃοῦν, περὶ τῶν ἐν τῇ πόλει πραττομένων μηδὲν τοὺς σφετέρους ἔτι ἐῶντας πολυπραγμονεῖν, τὰ μὲν διὰ τὰς ὠφελείας, τὰ δὲ διὰ τοὺς ἐσομένους ὑπὲρ αὐτῶν ἑκάστοτε ἀγῶνας. 2266

4 ἐγίνετο δ' αὐτοῖς οὐδὲν τῶν ἐκ διαλογισμοῦ· οὐδὲ γὰρ τὸν Οὐεργίνιον εἴασαν οἱ λοχαγοὶ καλούμενον εἰς τὸ στρατήγιον ἀπελθεῖν, ὑποπτεύ[οντες, μή τι πάθοι δεινόν, ἀλλὰ καὶ τὸν] διαληφθέντ[α λόγον, ὡς] ἐπὶ τοὺς πολεμίους ἀγαγεῖν τοὺς λόχους ἐβούλοντο, [κατωνείδιζον] λέγοντες· Ὡς καλῶς ἡμῶν ἐστρατηγήκατε καὶ πρότερον, ἵνα καὶ νῦν λαβόντες ἐλπίδας ἀκολουθῶμεν ὑμῖν, οἵτινες ὅσην οὔπω πρότερον ἕτεροι Ῥωμαίων

1 ἀπεληλυθότες — λήξαντες — παυσάμενοι C 6 συλλαβόντες — ἀναστήσαντες — ἐγκαθήμενοι — ἐῶντες c. stulte Naber Mnem. 30, 257 7 ἀναστήσοντας C 10 μηδὲν τοῖς σφετέροις ἔτι LVCa Ma μ. τοὺς σφετέρους ἔτι CbMb 11 ἐῶντας om. L sed lacuna quattuor litterarum relicta 12 post ἐσομένους eadem lacuna, sed nihil deest L 13 γὰρ om. VM 15 vocabula uncis inclusa hinc usque ad capitis finem desunt in lacunis LV, addita sunt in CM vulgo e foedissima interpolatione. Post ὑποπτεύ lacuna septem fere litterarum V 16 post διαληφθέντ lacuna 13 litt. LV cf. Sintenis Em. Dion. I 23 17 τοὺς ὄχλους ἐβούλοντο λέγοντες sine lacuna LV λόχους c. Kiessling | κατωνείδιζον add. CM cf. Götzeler Animadv. II 23 18 ὅτι καλῶς LV ὡς καλῶς CM | ἐστρατηγήσατε Sintenis Em. Dion. I 23 19 χρηστὰς λαβόντες ἐλπίδας c. Kiessling

*ἡγεμόνες ἔκ τ' αὐτῆς ἄγοντες τῆς πόλεως στρατιὰν καὶ ἀπὸ τῶν συμμάχων ἀγείραντες, οὔτε [τινὰ νίκην ἢ βλάβην ἐποιήσατε κατὰ] τῶν ἐχθρῶν, ἀλλὰ δι' ἀνανδρίαν τε καὶ ἀπειρίαν [ἀπεδείξασθε, κακῶς] στρατοπεδευσάμενοι, καὶ τὴν ἑαυτῶν χώραν ὡς ὑπὸ τῶν*
2267 *πολεμίων [καταδῃωθεῖσαν] πτωχοὺς καὶ ἀπόρους ἡμᾶς ἐποιήσατε ἁπάντων, ὅσοι κ[ρατοῦντες τοῖς ὅπλοις τῶν ἐναντίων] ἐνικῶμεν ταῖς μάχαις, ὅτε ὑμῶν κρείττους ἦσαν στρατηγοί· τρόπαιά τε καθ' ἡμῶν ἀνιστᾶσι καὶ σκηνὰς καὶ ἀνδράποδα καὶ ὅπλα καὶ χρήματα διηρπακότες ἔχουσι τὰ ἡμέτερα.*

XXXXIII. *Ὁ δὲ Οὐεργίνιος ὑπό τ' ὀργῆς καὶ ἐκ τοῦ μηδὲν ἔτι δεδοικέναι τοὺς ἡγεμόνας αὐθαδέστερον αὐτῶν καθήπτετο λυμεῶνας τε καὶ ὀλέθρους τῆς πατρίδος ἀποκαλῶν καὶ παραινῶν τοῖς λοχαγοῖς ἅπασιν ἀραμένους τὰ σημεῖα οἴκαδε ἀπάγειν τὴν στρατιάν.*
*ὀρρωδούντων δ' ἔτι τῶν πολλῶν τὰ ἱερὰ σημεῖα κινεῖν,* 2
*ἔπειτα τοὺς ἡγεμόνας καὶ τοὺς στρατηγοὺς καταλιπεῖν οὔτε ὅσιον οὔτ' ἀσφαλὲς εἶναι πᾶσι νομιζόντων· ὅ τε*
2268 *γὰρ ὅρκος ὁ στρατιωτικός, ὃν ἁπάντων μάλιστα ἐμπεδοῦσι Ῥωμαῖοι, τοῖς στρατηγοῖς ἀκολουθεῖν κελεύει τοὺς στρατευομένους, ὅποι ποτ' ἂν ἄγωσιν, ὅ τε νόμος*

2 post *οὔτε* lacuna fere 20 litt. VL sed in L c mge additum est *ἐποιήσατο κατὰ* 3 *ἀλλὰ δι' ἀνδρίαν* L *ἀλλὰ δ' ἀνδρίαν* corr. ex *ἀλλ' ἀνδρίαν* V *ἀλλὰ δ' ἀνανδρίαν* in edit. Kiesslingiana error typographicus est pro *ἀλλὰ δι' ἀνανδρίαν* 4 *ἀπεδείξατε* C 6 post *πολεμίων* lac. 14 litterarum | post *καταδῃωθεῖσαν* videtur Reiskio *διαθέντες* deesse, *καταδῃωθῆναι ἐάσαντες πτωχοὺς* c. Sintenis Em. Dion. I 23 7 *ὅσοι κ* et lacuna 16 litt. LV *ὅσοις* M 15 *ἅπασιν* O *ἅπασαν* Naber Mnem. 30, 257 16 *σημ⟨εῖα⟩* L 19 *εἶναι πᾶσιν νομιζόντων* L *εἶναι νομιζόντων τοῖς πᾶσιν* V *εἶναί σφισι νομ.* c. Kayser Ann. phil. 1870 (101) 726

ἀποκτείνειν ἔδωκε τοῖς ἡγεμόσιν ἐξουσίαν τοὺς ἀπ-
3 ειθοῦντας ἢ τὰ σημεῖα καταλιπόντας ἀκρίτως· ταῦτα
δὴ δι' εὐλαβείας αὐτοὺς ἔχοντας ὁρῶν Οὐεργίνιος ἐδί-
δασκεν, ὅτι λέλυκεν αὐτῶν τὸν ὅρκον ὁ νόμος, ἐπειδὴ
νόμῳ μὲν ἀποδειχθέντα δεῖ τὸν στρατηγὸν ἄρχειν τῶν
δυνάμεων, ἡ δὲ τῶν δέκα ἀνδρῶν ἐξουσία παράνομος
ἦν ὑπερβαλοῦσα τὸν ἐνιαύσιον χρόνον, εἰς ὃν ἀπ-
εδείχθη. τὸ δὲ τοῖς μὴ κατὰ νόμον ἄρχουσι ποιεῖν τὸ
κελευόμενον οὐκ εὐπείθειαν εἶναι καὶ εὐσέβειαν, ἀλλ'
4 ἄνοιαν καὶ μανίαν. ταῦτ' ἀκούσαντες ὀρθῶς λέγεσθαι
ἡγούμενοι καὶ παρακελευόμενοί τε ἀλλήλοις καί τι καὶ
θάρσος ἐκ τοῦ δαιμονίου λαβόντες αἴρονται τὰ σημεῖα
καὶ προῆγον ἐκ τοῦ χάρακος. ἔμελλον δ', ὅπερ εἰκὸς
ἐν ποικίλοις τ' ἤθεσι καὶ οὐχ ἅπασι τὰ κράτιστα δια-
νοουμένοις, ἔσεσθαί τινες οἱ μένοντες ἅμα τοῖς ὀλιγάρ-
χαις καὶ στρατιῶται καὶ λοχαγοί, πλὴν οὐ τοσοῦτοι τὸ
5 πλῆθος, ἀλλ' ἐλάττους παρὰ πολὺ τῶν ἑτέρων. οἱ δ' 2269
ἐξελθόντες ἐκ τοῦ στρατοπέδου δι' ὅλης ἡμέρας ἐπι-
πορευθέντες ἑσπέρας καταλαβούσης παρῆσαν εἰς τὴν
πόλιν οὐδενὸς ἐξαγγείλαντος αὐτῶν τὴν ἔφοδον, καὶ
συνετάραξαν τοὺς ἔνδον οὐ μετρίως πολέμιον οἰομένους
στρατὸν εἰσεληλυθέναι· κραυγή τε καὶ δρόμος ἄτακτος
ἀνὰ τὴν πόλιν ἦν. οὐ μὴν ἐπὶ πολύν γε διέμεινεν ἡ
ταραχὴ χρόνον, ὥστε κακόν τι γενέσθαι δι' αὐτήν.
διεξιόντες γὰρ τοὺς στενωποὺς ἐβόων, ὅτι φίλοι τ'
εἰσὶ καὶ ἐπ' ἀγαθῷ τῆς πόλεως εἰσεληλύθασι, καὶ τὰ
ἔργα ὅμοια παρείχοντο τοῖς λόγοις ἀδικοῦντες οὐδένα.

2 ἀκρίτους Cobet Obs. p. 211 11 ἡγούμενοι καὶ om. VM 14 ἤθεσι] πλήθεσι c. Kiessling 16 τοσοῦτο L 18 πορευθέντες c. Reiske 27 οὐδὲν ἀφικόμενοι O οὐδένα οὐδὲν ἀφ. Reiske οὐδένα ἀφικόμενοι Kiessling

ἀφικόμενοι δ' εἰς τὸν καλούμενον Ἀουεντῖνον — ἔστι 6
δὲ τῶν ἐμπεριεχομένων ἐν τῇ Ῥώμῃ λόφων οὗτος ἐπι-
τηδειότατος ἐνστρατοπεδεύεσθαι — περί τε τὸ τῆς
Ἀρτέμιδος ἱερὸν τίθενται τὰ ὅπλα, τῇ δ' ἑξῆς ἡμέρᾳ
κρατυνάμενοι τὸν χάρακα καὶ χιλιάρχους δέκα τῶν
κοινῶν ἀποδείξαντες κυρίους, ὧν ἡγεμὼν ἦν Μάρκος
Ὄππιος, ἔμενον ἐφ' ἡσυχίας.
2270 XXXXIIII. Ἧκον δ' αὐτοῖς ἐπίκουροι μετ' οὐ πολὺ
καὶ ἀπὸ τῆς ἐν Φιδήνῃ στρατιᾶς οἱ κράτιστοι τῶν
τριῶν ταγμάτων λοχαγοὶ πολλὴν δύναμιν ἐπαγόμενοι,
ἀλλοτρίως μὲν ἔτι πάλαι διακείμενοι πρὸς τοὺς ἐκεῖ
στρατηγούς, ἐξ οὗ Σίκκιον τὸν πρεσβευτὴν ἀπέκτειναν,
ὥσπερ ἔφην, δεδιότες δ' ἄρξαι τῆς ἀποστάσεως πρό-
τεροι, ὡς οἰκείων ὄντων τῇ δεκαδαρχίᾳ τῶν ἐν Ἀλγιδῷ
πέντε ταγμάτων, τότε δ', ἐπειδὴ τὴν ἐκείνων ἀπόστασιν
ἐπέγνωσαν, ἀγαπητῶς τὸ συμβὰν ἀπὸ τῆς τύχης δεξά-
μενοι. ἡγεμόνες δὲ καὶ τούτων τῶν ταγμάτων ἦσαν 2
δέκα χιλίαρχοι καθ' ὁδὸν ἀποδειχθέντες, ὧν ἐπιφα-
νέστατος Σέξτος Μάλιος ἦν. ἐπεὶ δὲ συνέμιξαν ἀλλή-
λοις, θέμενοι τὰ ὅπλα τοῖς εἴκοσι χιλιάρχοις ἐπέτρεψαν
ἅπαντα ὑπὲρ τοῦ κοινοῦ λέγειν τε καὶ πράττειν. ἐκ
δὲ τῶν εἴκοσι τοὺς ἐπιφανεστάτους ἀπέδειξαν δύο προ-
βούλους, Μάρκον Ὄππιον καὶ Σέξτον Μάλιον· οὗτοι
βουλευτήριον ἐξ ἁπάντων καταστησάμενοι τῶν λοχαγῶν,
2271 μετ' ἐκείνων ἅπαντα διετέλουν πραγματευόμενοι. ἀδή- 3
λου δ' ἔτι τοῖς πολλοῖς τῆς διανοίας αὐτῶν οὔσης
Ἄππιος μέν, οἷα δὴ συγγινώσκων ἑαυτῷ τῆς παρούσης

1 λουεντῖνον O 4 τῇ δ' ἑξῆς O τῇ θ' ἑξῆς Kiessling
7 ἄππιος O ὄππιος Sylburg 13 πρότερον O πρότεροι Sylburg
22 προβόλους LV 28 ἄππιος corr. Sylburg

ταραχῆς αἰτίῳ γεγονότι καὶ τῶν προσδοκωμένων δι' αὐτὴν ἔσεσθαι κακῶν, οὐκέτι τῶν κοινῶν οὐδὲν ἠξίου πράττειν, ἀλλὰ κατ' οἶκον ἔμενεν· ὁ δὲ σὺν αὐτῷ τεταγμένος ἐπὶ τῆς πόλεως Σπόριος Ὄππιος, διαταραχθεὶς κατ' ἀρχὰς καὶ αὐτός, ὡς αὐτίκα μάλα τῶν ἐχθρῶν σφίσιν ἐπιθησομένων καὶ ἐπὶ τούτῳ ἡκόντων, ἐπειδὴ κατέμαθεν οὐδὲν νεωτερίσαντας αὐτούς, ὑφέμενος τοῦ δέους ἐκάλει τὴν βουλὴν εἰς τὸ συνέδριον ἐκ τῶν

4 οἰκιῶν κατ' ἄνδρα μεταπεμπόμενος. ἔτι δ' αὐτῶν συλλεγομένων ἧκον ⟨οἱ⟩ ἐκ τῆς ἐν Φιδήνῃ στρατιᾶς ἡγεμόνες ἀγανακτοῦντες ἐπὶ τῷ καταλελεῖφθαι τοὺς χάρακας ὑπὸ τῶν στρατιωτῶν ἀμφοτέρους, καὶ τὴν βουλὴν πείθοντες ἀξίαν τοῦ πράγματος ὀργὴν κατ' αὐτῶν λαβεῖν. ἐπεὶ δ' ἀγορεύειν γνώμην ἕκαστον ἔδει, Λεύκιος μὲν Κορνήλιος ἔφη δεῖν ἀπεῖναι τοὺς ταχ- 2272
θέντας ⟨εἰς⟩ τὸν Ἀουεντῖνον αὐθημερὸν ἐπὶ τοὺς ἑαυτῶν χάρακας, καὶ τὰ κελευόμενα ὑπὸ τῶν στρατηγῶν ἐπιτελεῖν μηδενὸς ὄντας τῶν γεγονότων ὑποδίκους, πλὴν τῶν αἰτίων τῆς ἀποστάσεως μόνων·

5 τούτοις δὲ προσθεῖναι δίκας τοὺς στρατηγούς. ἐὰν δὲ μὴ ποιῶσι ταῦτα, βουλεύειν περὶ αὐτῶν τὸ συνέδριον ὡς ἐκλελοιπότων τὴν τάξιν, ἐφ' ἣν ἐτάχθησαν ὑπὸ τῶν ἡγεμόνων, καὶ περὶ τὸν στρατιωτικὸν ἠσεβηκότων ὅρκον. Λεύκιος δὲ Οὐαλέριος * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * *

4 ἄππιος corr. Sylburg 6 ἐπὶ τούτῳ O ἐπὶ τοῦτο Naber Mnem. 30, 257 7 τὸ δέος M 10 οἱ add. Sylburg 13 πείσοντες Naber Mnem. 30, 257 15 ἀπεῖναι O ἀπιέναι Sylburg | ταχθέντας O κατέχοντας Kiessling ταχθέντας τὸν O ταχθ. ἐπὶ τὸν vulgo τ. εἰς τὸν ego cf. Herod. VII 212 postiert auf 20 προθεῖναι Kayser Ann. phil. 1870 (101) 726 24 post οὐαλέριος in omni-

ἀλλ' ὑπὲρ τῶν Ῥωμαϊκῶν νόμων, οὓς ἐν ταῖς δώδεκα δέλτοις ἀναγεγραμμένους εὕρομεν, οὔτε μηδένα ποιήσασθαι λόγον ἥρμοττεν, οὕτω σεμνῶν ὄντων καὶ
2273 τοσαύτην ἐχόντων διαφορὰν παρὰ τὰς Ἑλληνικὰς νομοθεσίας, οὔτε περαιτέρω τοῦ δέοντος προβαίνειν ἐκμηκύναντας τὴν περὶ αὐτῶν ἱστορίαν.

XXXXV. Οἱ δὲ μετὰ τὴν κατάλυσιν τῆς δεκαδαρχίας τὴν ὕπατον ἀρχὴν πρῶτοι παρὰ τοῦ δήμου λαβόντες ἐπὶ τῆς λοχίτιδος ἐκκλησίας, ὥσπερ ἔφην, Λεύκιος Οὐαλέριος Ποτῖτος καὶ Μάρκος Ὁράτιος Βαρβᾶτος, αὐτοί τε δημοτικοὶ τὰς φύσεις ὄντες καὶ παρὰ τῶν προγόνων ταύτην διαδεδεγμένοι τὴν πολιτείαν, τὰς ὑποσχέσεις φυλάττοντες, ἃς ἐποιήσαντο πρὸς τοὺς δημοτικούς, ὅτ' ἀποθέσθαι τὰ ὅπλα συνέπειθον αὐτούς, ὡς πάντα τὰ συμφέροντα τῷ δήμῳ πολιτευσόμενοι, νόμους ἐκύρωσαν ἐν ἐκκλησίαις λοχίτισι, δυσχεραινόντων μὲν τῶν πατρικίων, αἰδουμένων δ' ἀντιλέγειν, ἄλλους τέ τινας, οὓς οὐ δέομαι γράφειν, καὶ τὸν κελεύοντα τοὺς ὑπὸ τοῦ δήμου τεθέντας ἐν ταῖς φυλετικαῖς ἐκκλησίαις νόμους ἅπασι κεῖσθαι Ῥωμαίοις ἐξ ἴσου, τὴν αὐτὴν ἔχοντας δύναμιν τοῖς ἐν ταῖς λοχίτισιν ἐκκλησίαις τεθησομένοις. τιμωρίαι δὲ προσέκειντο τοῖς καταλύουσιν ἢ παραβαίνουσι τὸν νόμον,
2274 ἐὰν ἁλῶσι, θάνατος καὶ δήμευσις τῆς οὐσίας. οὗτος 2
ὁ νόμος ἐξέβαλε τὰς ἀμφισβητήσεις τῶν πατρικίων, ἃς ἐποιοῦντο πρὸς τοὺς δημοτικοὺς πρότερον, οὐκ ἀξιοῦν-

bus libris lacuna sequitur; fol. 387 inane est; in L nota exstat λείπει φύλλα β, quam excipiunt verba fol. 388 μηδὲν δὲ αὐτῶν cap. 52 usque ad finem libri; ordinem Sylburg restituit 3 ἥρμοττον LV 7 δεκαρχίας O corr. Ambrosch ad II 14, 4 18 λέγειν La γράφειν LbR 22 προέκειντο c. Sylburg

τες τοῖς ὑπ' ἐκείνων τεθεῖσι νόμοις πειθαρχεῖν, οὐδ'
ὅλως τὰ ἐν ταῖς φυλετικαῖς ἐκκλησίαις ἐπικυρούμενα
κοινὰ τῆς πόλεως ἁπάσης δόγματα νομίζοντες, ἀλλ'
αὐτὸ μόνοις ἐκείνοις ἴδιον· ὅ τι δ' ἂν ἡ λοχῖτις ἐκ-
κλησία γνῷ, τοῦθ' ἡγούμενοι σφίσι τ' αὐτοῖς καὶ τοῖς
3 ἄλλοις πολίταις τετάχθαι. εἴρηται δὲ καὶ πρότερον,
ὅτι ἐν μὲν ταῖς φυλετικαῖς ἐκκλησίαις οἱ δημοτικοὶ καὶ
πένητες ἐκράτουν τῶν πατρικίων, ἐν δὲ ταῖς λοχίτισιν
ἐκκλησίαις οἱ πατρίκιοι παρὰ πολὺ τῶν ἄλλων ἐλάττους
ὄντες περιῆσαν τῶν δημοτικῶν.

XXXXVI. Τούτου κυρωθέντος ὑπὸ τῶν ὑπάτων
τοῦ νόμου σὺν ἄλλοις τισὶν ὥσπερ ἔφην δημοτικοῖς
εὐθὺς οἱ δήμαρχοι καιρὸν ἐπιτήδειον ἥκειν νομίζοντες,
ἐν ᾧ τιμωρήσονται τοὺς περὶ τὸν Ἄππιον, εἰσαγγελίας
ᾤοντο δεῖν ποιήσασθαι κατ' αὐτῶν, οὐχ ἅμα πάντας 2275
ὑπάγοντες ὑπὸ τὴν δίκην, ἵνα μηδὲν ἀλλήλους ὠφε-
λῶσιν, ἀλλὰ καθ' ἕνα· ῥᾷον γὰρ οὕτως ὑπελάμβανον
2 εὐμεταχειρίστους ἔσεσθαι. σκοπούμενοι δ' ἀπὸ τίνος
ἂν ἄρξαιντο ἐπιτηδειοτάτου, τὸν Ἄππιον πρῶτον
ἔγνωσαν εὐθύνειν τῶν τ' ἄλλων ἀδικημάτων ἕνεκα
μισούμενον ὑπὸ τοῦ δήμου, καὶ τῶν νεωστὶ περὶ τὴν
παρθένον γενομένων παρανομιῶν. ἑλόντες μὲν γὰρ
τοῦτον εὐπετῶς ἐδόκουν καὶ τῶν ἄλλων κρατήσειν, εἰ
δ' ἀπὸ τῶν ταπεινοτέρων ἄρξαιντο, μαλακωτέρας ὑπ-
ελάμβανον τὰς ὀργὰς τῶν πολιτῶν πρὸς τοὺς ἐπι-
φανεστάτους καὶ τελευταίους κρινομένους ἔσεσθαι,

4 αὐτὸν μόνοις O αὐτονόμοις vel αὐτοῖς μόνοις vel τι μόνοις Reiske αὐτὸ vulgo | ἴδιον O ἴδια Kiessling 13 τὸν καιρὸν ἐπιτήδειον εἶναι νομίζοντες c. Grasberger tess. Herbip. p. 10 16 ἐπὶ O ὑπὸ corr. Reiske ὑπὸ δίκην Garrer Obs. p. 75 25 τῶν πολλῶν c. dubitanter Kiessling 26 καὶ del. Reiske

συντονωτέρας οὔσας ἐπὶ τοῖς προτέροις ἀγῶσιν, ὃ
πολλάκις ἤδη συνέβη. ταῦτα βουλευσάμενοι συνέσχον 3
τοὺς ἄνδρας, Ἀππίου δὲ Οὐεργίνιον ἔταξαν ἄνευ κλή-
ρου κατηγορεῖν. εἰσαγγέλλεται δὴ μετὰ τοῦτο εἰς τὸν
δῆμον Ἄππιος ὑπὸ τοῦ Οὐεργινίου κατηγορηθεὶς ἐπὶ
τῆς ἐκκλησίας καὶ αἰτεῖται χρόνον εἰς ἀπολογίαν.
2276 ἀπαχθεὶς δ' εἰς τὸ δεσμωτήριον, ἵνα φυλάττηται μέχρι
δίκης — οὐ γὰρ ἐδόθη διεγγύησις αὐτῷ — πρὶν ἐπι-
στῆναι τὴν ἀποδειχθεῖσαν ἡμέραν τῆς κρίσεως ἐν τοῖς
δεσμοῖς ἀποθνήσκει, ὡς μὲν ἡ τῶν πολλῶν ὑπόληψις
ἦν ἐξ ἐπιταγῆς τῶν δημάρχων, ὡς δ' οἱ τὴν αἰτίαν
ἀπολύσασθαι βουλόμενοι διεφήμιζον, αὐτὸς ἑαυτὸν
ἀναρτησάμενος βρόχῳ. μετ' ἐκεῖνον Σπόριος Ὄππιος 4
εἰσαχθεὶς εἰς τὸν δῆμον ὑφ' ἑτέρου τῶν δημάρχων
Ποπλίου Νομιτωρίου καὶ τυχὼν ἀπολογίας ἁπάσαις
ἁλίσκεται ταῖς ψήφοις καὶ παραδοθεὶς εἰς τὸ δεσμω-
τήριον αὐθημερὸν ἀποθνήσκει. οἱ δὲ λοιποὶ τῶν δέκα
πρὶν εἰσαγγελθῆναι φυγαῖς αὐτοὺς ἐζημίωσαν. τὰς δ'
οὐσίας τῶν ἀνῃρημένων καὶ τῶν πο........ οἱ ταμίαι
τῆς πόλεως ἀνέλαβον εἰς τὸ δημόσιον. εἰσαγγέλλεται 5
δὲ καὶ Μάρκος Κλαύδιος ὁ τὴν παρθένον ἐπιβαλόμενος
ὡς δούλην ἀπάγειν ὑπὸ τοῦ μνηστῆρος αὐτῆς Ἰκιλίου·
2277 καὶ τὴν αἰτίαν εἰς τὸν ἐπιτάξαντα παρανομεῖν Ἄππιον
ἀναφέρων θανάτου μὲν ἀπολύεται, φυγῇ δ' ἀιδίῳ
ζημιοῦται, τῶν δ' ἄλλων τῶν ὑπηρετησάντων τι παρά-
νομον τοῖς ὀλιγάρχαις οὐδεὶς ἔσχεν ἀγῶνα δημόσιον,

8 ἐγγύησις O διεγγύησις Götzeler Anim. I 72 9 ἐπιδειχ-θεῖσαν O ἀποδειχθεῖσαν Reiske 13 ἄππιος O 19 καὶ τῶν πο........ (lac. 8 litt.) οἱ L καὶ τῶν πολιτικῶν οἱ V καὶ τῶν πεφευγότων M ἀποφυγόντων Kiessling; recte Cobet Obs. p. 211 iudicavit; an ἀπόλεων? 21 ἐπιλαβόμενος MV 22 αὐτῆς] αὐτὴν V

ἀλλὰ πᾶσιν ἄδεια ἐδόθη. ὁ δὲ τοῦτο τὸ πολίτευμα εἰσηγησάμενος ἦν Μάρκος Δοέλλιος ὁ δήμαρχος ἀχθομένων ἤδη τῶν πολιτῶν καὶ ⟨τῶν⟩ πολεμίων γενέσθαι προσδοκώντων.

XXXXVII. Ἐπεὶ δ' αἱ κατὰ πόλιν ἐπαύσαντο ταραχαί, συναγαγόντες τὴν βουλὴν ⟨οἱ ὕπατοι⟩ δόγμα κυροῦσιν ἐξάγειν τὸν στρατὸν ἐπὶ τοὺς πολεμίους διὰ ταχέων. ἐπικυρώσαντος δὲ τοῦ δήμου τὰ ψηφισθέντα ὑπὸ τῆς βουλῆς Οὐαλέριος μὲν ἅτερος τῶν ὑπάτων τὴν ἡμίσειαν ἔχων τοῦ στρατοῦ μοῖραν ἐξῆγεν ἐπί τ' Αἰκανοὺς καὶ Οὐολούσκους· συνῆλθε γὰρ ἀμφότερα
2 τὰ ἔθνη. ἐπιστάμενος δὲ τοὺς Αἰκανοὺς ἐκ τῶν προτέρων κατορθωμάτων αὔχημα προσειληφότας καὶ εἰς
πολλὴν καταφρόνησιν τῆς Ῥωμαίων δυνάμεως προ- 2278
ελθόντας, ἔτι μᾶλλον ἐβούλετο ἐπᾶραι καὶ θρασυτέρους ποιῆσαι δόξαν οὐκ ἀληθῆ παρασχών, ὡς ὀρρωδῶν εἰς χεῖρας ἰέναι πρὸς αὐτοὺς καὶ πάντα δεδιότως
3 ἐποίει. χωρίον τε γὰρ εἰς στρατοπεδείαν ὑψηλὸν καὶ δυσπρόσιτον ἐξελέξατο τάφρον τε βαθεῖαν περιεβάλετο καὶ χάρακας ἤγειρεν ὑψηλούς. προκαλουμένων δὲ τῶν πολεμίων αὐτὸν εἰς μάχην πολλάκις καὶ κακιζόντων

1 πολιτῶν O πολλῶν Kiessling festinantius ut ipse dixit 3 καὶ πολεμίων γενέσθαι O καὶ τῶν πολεμίων . . . . . γενέσθαι c. Kiessling ἐν πολεμίῳ γενέσθαι λόγῳ c. Grasberger Philol. 28, 349 καὶ τῶν πολεμίων ἔφοδον γενήσεσθαι προσδοκώντων Hertlein Hermes X (1876) 421 τῶν πολεμίων ⟨τὰς στρατιὰς ταχέως ἐγγὺς⟩ γενέσθαι (vel γενήσεσθαι) προσδοκώντων Kayser Ann. phil. 1870 (101) 726. Mea quidem sententia nihil post πολεμίων supplendum, fortasse τῶν cum Kiesslingio addendum est 5 κατὰ πόλεις LV κατὰ πόλιν R κατὰ τὴν πόλιν Ambrosch ad II 9, 1 6 τὴν βουλὴν om. L in lacuna, οἱ ὕπατοι add. Reiske 14 παρόντας O προιόντας vel προελθόντας Sylburg ἐπαρθέντας Reiske 17 διδιότος O δεδιότως Reiske πάντα τὰ δεδιότος Hertlein Hermes X 421; cf. Cassius Dio 42, 17

τὴν ἀνανδρίαν ἠνείχετο μένων ἐφ' ἡσυχίας. ἐπεὶ δ' ἔγνω τὴν κρατίστην τῶν πολεμίων δύναμιν ἐπὶ προνομὴν τῆς Ἑρνίκων τε καὶ Λατίνων γῆς ἐξεληλυθυῖαν, ἐν δὲ τῷ χάρακι φυλακὴν οὔτε πολλὴν καταλειπομένην οὔτ' ἀγαθήν, τοῦτον εἶναι νομίσας τὸν καιρὸν ἐπιτήδειον ἐξῆγε κεκοσμημένην τὴν στρατιὰν καὶ παρέστησεν ὡς εἰς μάχην. οὐδενός τ' ἀντεπιόντος ἐκείνην μὲν τὴν 4
2279 ἡμέραν ἐπεῖχε, τῇ δ' ἐξῆς ἐπὶ τὴν ἀποσκευὴν αὐτῶν ἦγεν οὐ σφόδρα ὀχυρὰν οὖσαν. μαθόντες δὲ πολιορκούμενον τὸν χάρακα οἱ προεξεληλυθότες ἐπὶ τὰς προνομὰς ταχέως ἧκον, πλὴν οὐχ ἅμα καὶ ἐν κόσμῳ, σποράδες δὲ καὶ κατ' ὀλίγους ὡς ἕκαστοι εἶχον ἐπιφαινόμενοι· οἵ τ' ἐκ τοῦ χάρακος ἐπεὶ τοὺς σφετέρους προσιόντας ἐθεάσαντο, θρασύτεροι γεγονότες ἐξῆλθον ἀθρόοι. καὶ γίνεται μέγας ἀγὼν καὶ φόνος ἐξ ἀμφοτέρων 5
πολύς, ἐν ᾧ νικήσαντες οἱ Ῥωμαῖοι τούς τε συστάδην μαχομένους ἐτρέψαντο καὶ τοὺς φεύγοντας ἐπιδιώκοντες, οὓς μὲν ἀπέκτειναν, οὓς δ' αἰχμαλώτους ἔλαβον, τοῦ δὲ χάρακος αὐτῶν κρατήσαντες χρήματα πολλὰ καὶ λείαν ἄφθονον περιεβάλοντο. Οὐαλέριος μὲν δὴ ταῦτα διαπραξάμενος ἀδεῶς ἤδη τὴν γῆν τῶν πολεμίων ἐπιὼν ἐδῄου.

XXXXVIII. Μάρκος δ' Ὁράτιος ἐπὶ τὸν κατὰ Σαβίνων πόλεμον ἐπειδὴ τὰ κατὰ τὸν συνάρχοντα ἔγνω προαγαγὼν καὶ αὐτὸς ἐκ τοῦ χάρακος τὰς δυνάμεις

1 τὴν ἀν.... lacuna L 4 καταλιπομένην LV 6 παρέστησεν O παρέταξεν Kiessling 8 ἐξῆς om. L in lac. | ἀποσκευὴν O παρεμβολὴν Hertlein Hermes X 421 11 τοῦ ἄστεος ἧκον VM om. L in lac. ταχέως ἧκον c. Reiske, verba depravata sunt 12 εἶχον om. L in lac. 18 verba τοῦ δὲ—περιεβάλοντο om. O praeter L 25 προαγαγὼν Kiessling post πόλεμον v. 24 transposuit

ἀντεπῆγε θᾶττον ὅλῃ δυνάμει πρὸς οὐκ ἐλάττους ἀριθμὸν τοὺς Σαβίνους καὶ τὰ πολέμια [ἐμπειροτάτους· ἐνεδείξαντο γὰρ] φρόνημά τε καὶ τόλμαν ἐκ τῶν 2280
προτέρων κατορθωμάτων πολλὴν πρὸς τοὺς ἀντιμαχομένους, καὶ κοινῶς πάντες καὶ ἰδίως ὁ τούτων προηγούμενος· ἦν γὰρ οὐ μόνον στρατηγὸς ἀγαθός, ἀλλὰ καὶ
2 πολεμιστὴς κατὰ χεῖρα γενναῖος· καὶ τῶν ἱππέων μεγάλην προθυμίαν παρασχομένων νίκην ἀναιρεῖται λαμπροτάτην, πολλοὺς μὲν ἀποκτείνας τῶν πολεμίων, πολλῷ δ' ἔτι πλειόνων αἰχμαλώτων τετυχηκὼς τοῦ τε χάρακος αὐτῶν ἐρήμου κρατήσας, ἐν ᾧ τήν τ' ἀποσκευὴν τῶν πολεμίων πολλὴν εὗρε καὶ τὴν λείαν ἅπασαν, ἣν ἐκ τῆς Ῥωμαίων γῆς ἐληίσαντο, αἰχμαλώτους τε πάνυ πολλοὺς τῶν σφετέρων ἀνεσώσατο. οὐ γὰρ ἔφθασαν ἀνασκευασάμενοι τὰς
3 ὠφελείας οἱ Σαβῖνοι διὰ καταφρόνησιν. τὰ μὲν οὖν τῶν πολεμίων χρήματα τοῖς στρατιώταις ὠφέλειαν ἐφῆκε ποιεῖσθαι προεξελόμενος ἐκ τῶν λαφύρων, ὅσα τοῖς θεοῖς καθιερώσειν ἔμελλε· τὴν δὲ λείαν τοῖς ἀφαιρεθεῖσιν ἀπέδωκε.

XXXXVIIII. Ταῦτα διαπραξάμενος ἀπῆγεν εἰς 2281
Ῥώμην τὰς δυνάμεις, καὶ κατὰ τὸν αὐτὸν χρόνον Οὐαλέριος ἧκεν, ἥν τ' ἀμφοτέροις μέγα φρονοῦσιν ἐπὶ ταῖς νίκαις ἐλπὶς ἐπιφανεῖς κατάξειν θριάμβους.

1 ὅλῃ δυνάμει om. L in lac. 2 verba ἐμπειροτάτους ἐνεδείξαντο γὰρ om. L add. R, sed manifestam interpolationem redolent 4 verba πρὸς — προηγούμενος om. L ita, ut πρ[ὸς] — κοινῶς in lacuna, πάντες — προηγούμενος in mge addita sint a Lb; verba interpolata esse apparet, cum ἦν γὰρ ad Romanorum ducem referenda sint | ἀντεχομένους LM ἀντιμαχομένους V 10 τετυχηκὼς om. L in lac. | αὐτῶν LV αὐτοῦ M 11 ἀποσκευὴν . . . . . ων πολλὴν L 14 ante ἀνεσώσατο in VM εὗρε καὶ adduntur, quae L om. 22 post νίκαις lac. L καὶ ἣν VM καλὴ ἣν Grasberger Philol. 28, 349 καὶ per dittograph. post νίκαις ortum omisi cum L | ἐπιφανὴς M

οὐ μὴν ἐχώρησέ γε αὐτοῖς κατ' ἐλπίδα τὸ ἔργον. 2
συναχθεῖσα γὰρ κατ' αὐτῶν ἡ βουλὴ κατεστρατο-
πεδευκότων ἔξω τῆς πόλεως ⟨εἰς⟩ τὸ καλούμενον
Ἄρειον πεδίον, καὶ τὰ πραχθέντα ὑπ' ἀμφοτέρων
μαθοῦσα τὴν ἐπινίκιον οὐκ ἐπέτρεψε ποιήσασθαι
θυσίαν πολλῶν μὲν καὶ ἄλλων ἐναντιωθέντων αὐτοῖς
ἐκ τοῦ φανεροῦ, μάλιστα δὲ Κλαυδίου Γαΐου· θεῖος 3
δ' ἦν οὗτος, ὥσπερ ἔφην, Ἀππίῳ τῷ καταστησαμένῳ
τὴν ὀλιγαρχίαν καὶ νεωστὶ ὑπὸ τῶν δημάρχων ἀναιρε-
θέντι· τούς τε κυρωθέντας ὑπ' αὐτῶν νόμους προ-
βαλλομένου, δι' ὧν ἠλάττωσαν τὸ τῆς βουλῆς κράτος,
καὶ τἆλλα πολιτεύματα, ὅσα οὗτοι πολιτευόμενοι
διετέλεσαν· τελευταίαν δὲ τὴν τῶν δέκα ἀνδρῶν, οὓς
προὔδωκαν τοῖς δημάρχοις, τῶν μὲν ἀπώλειαν, τῶν
2282 δὲ δήμευσιν, ὡς παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας,
διεξιόντος. τὰ γὰρ ἐπὶ τῶν ἱερῶν συνομολογηθέντα 4
τοῖς πατρικίοις πρὸς τοὺς δημοτικοὺς ἐπ' ἀδείᾳ τε
πάντων γενέσθαι καὶ ἀμνηστίᾳ τῶν προτέρων· τόν τ'
Ἀππίου θάνατον οὐκ αὐτοχειρίᾳ γενέσθαι λέγοντος,
ἀλλ' ἐπιβούλως ὑπὸ τῶν δημάρχων πρὸ δίκης, ἵνα
μήτε λόγου τύχῃ κρινόμενος μήτ' ἐλέου, ὡς, εἰ κατέστη
γοῦν εἰς κρίσιν ἀνήρ, ⟨ἀπέφυγεν ἂν⟩ γένους ἀξίωμα
παρεχόμενος καὶ πολλὰ τὸ κοινὸν εὖ πεποιηκὼς ὅρκους
τε καὶ πίστεις ἐπιβοώμενος, αἷς ἄνθρωποι πιστεύοντες

1 γε] τε L 3 εἰς add. Kiessling 12 ὅσα του . . . . . πολιτευόμενοι L ὅσα οὗτοι π. VM ὅσα ὑπὲρ τοῦ δήμου π. c. Kiessling 15 συνθήκας γενομένην c. Kiessling dubitanter 21 ἐλέους O ἐλέου Grasberger Philol. 28, 349 22 ἀνὴρ O ἀνήρ Kiessling | post ἀνὴρ add. ἀπέφυγεν ἂν Reiske 23 πολλὰ ἃ τὸ κοινὸν ἐφαίνετο εὖ πεποιηκὼς c. Reiske 24 ἄνθρωποι O οἱ ἄνθρωποι vulgo ἄνθρωποι Kiessling

εἰς διαλλαγὰς συνέρχονται, τέκνα τε καὶ συγγένειαν
καὶ αὐτὸ τὸ ταπεινὸν σχῆμα καὶ ἄλλα πολλὰ [φέρων]
5 εἰς οἶκτον ἐφελκόμενα τὸ πλῆθος. ταῦτα δὴ πάντα
κατηγορήματα τῶν ὑπάτων [κατ' αὐτῶν ἐκχέαντος 2283
Κλαυδίου Γαΐου, καὶ πάντων] τῶν παρόντων, ἔδοξεν
ἀγαπᾶν αὐτοὺς εἰ μὴ δώσουσι δίκας· θριάμβων δὲ
καταγωγῆς ἢ τινων τοιούτων συγχωρήσεων οὐδὲ κατὰ
μικρὸν ἀξίους εἶναι τυγχάνειν.

L. Ἀποψηφισαμένης δὲ τῆς βουλῆς τὸν θρίαμβον
ἀγανακτοῦντες οἱ περὶ τὸν Οὐαλέριον καὶ δεινὴν ὕβριν
ὑπολαμβάνοντες ὑβρίζεσθαι συνεκάλεσαν εἰς ἐκκλησίαν
τὸ πλῆθος· καὶ πολλὰ τῆς βουλῆς κατηγορήσαντες,
συναγορευσάντων αὐτοῖς τῶν δημάρχων καὶ νόμον
εἰσηγησαμένων, παρὰ τοῦ δήμου λαμβάνουσι τὴν κατα-
γωγὴν τοῦ θριάμβου, πρῶτοι Ῥωμαίων ἁπάντων τοῦτο
2 εἰσηγησάμενοι τὸ ἔθος. ἐκ δὲ τούτου πάλιν εἰς
ἐγκλήματα καὶ διαφορὰς οἱ δημοτικοὶ καθίσταντο
πρὸς τοὺς πατρικίους· παρώξυνον δ' αὐτοὺς οἱ δή-
μαρχοι καθ' ἡμέραν ἐκκλησιάζοντες καὶ πολλὰ κατὰ
τῆς βουλῆς λέγοντες. ἦν δ' ἡ μάλιστα ἐρεθίζουσα
τοὺς πολλοὺς ὑπόληψις, ἣν ἐκεῖνοι παρεσκεύασαν 2284
ἰσχυρὰν γενέσθαι, φήμαις τ' ἀδεσπότοις καὶ εἰκασμοῖς

1 συνέρχονται] ἔρχονται c. Kayser Ann. phil. 1870, 726 2 ἄλλα LVM | φέρων om. L 3 εἰς οἶκτον . . . . ομένου τὸ π. L | δὴ VM δὲ L 4 ὑπάτων πολ . . . . . τῶν παρόντων L cum lac. fere 20 litt., ὑπάτων πολλὰ κατ' αὐτῶν ἐκχέαντος Κλαυδίου Γαίου καὶ αὐτῶν παρόντων V ὑπάτων πολλὰ φέρων εἰς οἶκτον ἐφελκόμενα τὸ πλῆθος κατ' αὐτῶν ἐκχέαντος Κλαυδίου Γαίου καὶ αὐτῶν παρόντων M lacunam sic supplendam esse: ὑπάτων [ἐκχέαντος Κλαυδίου καὶ ἐπαινεσάντων ἁπάντων] τῶν π. c. Kiessling 5 ἔδοξεν δεῖν ἀγαπᾶν αὐτοὺς Reiske 7 τινῶν τοιούτων συγχωρήσεων O τιμῶν τοσούτων συγχωρήσεως Kiessling | οὐδὲ] οὔτε L 13 νόμων O νόμον Reiske

αὐξηθεῖσα οὐκ ὀλίγοις, ὡς καταλυσόντων τῶν πατρικίων τοὺς νόμους, οὓς ἐκύρωσαν οἱ περὶ Οὐαλέριον ὕπατοι· δόξα τ' ἰσχυρὰ καὶ οὐ πολὺ ἀπέχουσα ⟨τοῦ⟩ πίστις εἶναι τοὺς πολλοὺς κατεῖχε. καὶ τὰ μὲν ἐπὶ τούτων πραχθέντα τῶν ὑπάτων ταῦτ' ἦν.

LI. Οἱ δὲ τὸν ἑξῆς ὑπατεύσαντες ἐνιαυτὸν Λάρος Ἑρμίνιος καὶ Τίτος Οὐεργίνιος· καὶ οἱ παρὰ τούτων τὴν ἀρχὴν παραλαβόντες, Μάρκος Γεγάνιος

* * * * * * * * * * * * * * * * * *

* * * * * * * * * * * * * * * * * *

2285 LII. Μηδὲν δ' αὐτῶν ἀποκρινομένων, ἀλλ' ἀγα-
νακτούντων παρελθὼν αὖθις Σκάπτιος ἐπὶ τὸ βῆμα·
Ἔχετ', ἔφη, παρακεχωρημένον, ἄνδρες πολῖται, παρ'
αὐτῶν τῶν διαφερομένων, ὅτι τῆς ἡμετέρας χώρας
ἑαυτοῖς μηδὲν προσηκούσης ἀντιποιοῦνται· πρὸς ταῦτα
δρῶντες τὰ δίκαια καὶ τὰ εὔορκα ψηφίσασθε. Ταῦτα 2
τοῦ Σκαπτίου λέγοντος αἰδὼς εἰσῄει τοὺς ὑπάτους
ἐνθυμουμένους, ὡς οὔτε δίκαιον οὔτ' εὐπρεπὲς ἡ δίκη
λήψεται τέλος, ἄν τινα ἀμφισβητουμένην ὑφ' ἑτέρων
χώραν δικαστὴς αἱρεθεὶς ὁ Ῥωμαίων δῆμος μηδέποτ'
αὐτῆς ἀντιποιησάμενος ἑαυτῷ προσδικάσῃ τοὺς ἀμφισβη-
2286 τοῦντας ἀφελόμενος· καὶ πολλοὶ σφόδρα ἐλέχθησαν εἰς
ἀποτροπὴν τοῦ πράγματος ὑπὸ τῶν ὑπάτων καὶ τῶν
ἡγουμένων τῆς βουλῆς λόγοι διακενῆς. οἱ γὰρ ἀνει- 3

1 *αὐξηθεῖσαν* c. Reiske | *οὐκ ὀλίγοις* O *οὐκ ἀληθέσιν* Reiske *οὐκ ἀλόγοις* Kiessling 3 *δόξα δὲ αὕτη ἰσχυρὰ* c. Reiske | *τοῦ* add. Reiske 7 *ἑρουίνιος* O Ἑρμίνιος Sylburg 8 *μάρκος γε* omnes libri hic in medio versu desinunt; dimidia pagina vacua est; cf. pag. 188, 24 11 *ἀλλὰ ἀγανακτούντων* L 12 *κάπτιος* LV *κάτλιος* M 16 *δρῶντες* del. Cobet Obs. p. 194 et p. 212 | *τὰ* ante *εὔορκα* idem l. l. et Var. Lect. p. 378 seq. 17 *Καπτίου* LV

ληφότες τὰς ψήφους πολλὴν μωρίαν εἶναι λέγοντες
ἑτέρους περιορᾶν τὰ σφέτερα κατέχοντας, καὶ οὐκ
εὐσεβὲς ἐξοίσειν τέλος ὑπολαμβάνοντες, ἐὰν Ἀρικηνοὺς
ἢ Ἀρδεάτας κυρίους ἀποδείξωσι τῆς ἀμφισβητησίμου
γῆς ὀμωμοκότες ὧν ἂν εὕρωσιν αὐτὴν οὖσαν τούτων
ἐπικρινεῖν· τοῖς τε δικαζομένοις ὀργὴν ἔχοντες, ὅτι
τοὺς ἀποστερουμένους αὐτῆς δικαστὰς ἠξίωσαν λαβεῖν,
ἵνα μηδ' ὕστερον ἔτι σφίσιν ἐγγένηται τὴν ἑαυτῶν
ἀνακομίσασθαι κτῆσιν, ἣν αὐτοὶ μεθ' ὅρκου δικάσαντες
4 ἑτέρων ἐπέγνωσαν εἶναι. ταῦτα δὴ λογιζόμενοι καὶ
ἀγανακτοῦντες τρίτον ἐκέλευσαν τεθῆναι καδίσκον
ὑπὲρ τῆς πόλεως Ῥωμαίων καθ' ἑκάστην φυλήν, εἰς 2287
ὃν ἀποθήσονται τὰς ψήφους· καὶ γίνεται πάσαις ταῖς
ψήφοις ὁ Ῥωμαίων δῆμος τῆς ἀμφιλόγου χώρας κύριος.
ταῦτα μὲν ἐπὶ τούτων τῶν ὑπάτων ἐπράχθη.

LIII. Μάρκου δὲ Γενυκίου καὶ Γαΐου Κοιντίου
τὴν ἀρχὴν παρειληφότων αἱ πολιτικαὶ πάλιν ἀνίσταντο
διαφοραὶ τῶν δημοτικῶν ἀξιούντων ἅπασι Ῥωμαίοις
ἐξεῖναι τὴν ὕπατον ἀρχὴν λαμβάνειν — τέως γὰρ οἱ
πατρίκιοι μόνοι μετῇεσαν αὐτὴν ἐν ταῖς λοχίτισιν
ἐκκλησίαις ἀποδεικνύμενοι — νόμον τε συγγράψαντες
ὑπὲρ τῶν ὑπατικῶν ἀρχαιρεσιῶν εἰσέφερον οἱ τότε
δημαρχοῦντες ἐκτὸς ἑνὸς Γαΐου Φουρνίου πάντες οἱ
λοιποὶ συμφρονήσαντες, ἐν ᾧ τὸν δῆμον ἐποιοῦντο 2288

4 ἀμφισβήτου μὴ γῆς L ἀμφισβήτου γῆς VM ἀμφισβητουμένης γῆς Kiessling ἀμφισβητησίμου Xylander cf. III 11, 10  6 ἐπικρίνειν O ἐπικρινεῖν Cobet Obs. p. 212  7 αὐτῆς] αὐτοὺς Reiske  10 ἑτέρων L ἑτέροις VM  11 καδδείσσιον V καδδίσιον M  16 μάρκου Lb αιου La | μενυκίου V μινουκίου M | pro Κοιντίου legendum esse Κυρτίου c. Sigonius  24 ἐποιοῦντο] ἐποίουν c. Cobet Obs. p. 212

κύριον τῆς διαγνώσεως καθ' ἕνα ἕκαστον ἐνιαυτόν, εἴτε πατρικίους βούλοιτο μετιέναι τὴν ὑπατείαν εἴτε δημοτικούς. ἐφ' οἷς ἠγανάκτουν οἱ τοῦ βουλευτικοῦ 2 μετέχοντες συνεδρίου καταλυομένην τὴν ἑαυτῶν δυναστείαν ὁρῶντες καὶ πάντα ὑπομένειν ᾤοντο δεῖν πρότερον ἢ τὸν νόμον κύριον ἐᾶσαι γενέσθαι· ὀργαί τε καὶ κατηγορίαι καὶ ἀντιπράξεις ἐγίνοντο συνεχεῖς ἔν ἰδίοις τε συλλόγοις καὶ κατὰ τὰς κοινὰς συνόδους, ἁπάντων τῶν πατρικίων πρὸς ἅπαντας ἠλλοτριωμένων τοὺς δημοτικούς. καὶ λόγοι πολλοὶ μὲν ἐν τῷ συν- 3 εδρίῳ, πολλοὶ δὲ κατὰ τὰς ἐκκλησίας ὑπὸ τῶν προϊσταμένων τῆς ἀριστοκρατίας ἐλέχθησαν, ἐπιεικέστεροι μὲν ὑπὸ τῶν οἰομένων ἀγνοίᾳ τοῦ συμφέροντος ἁμαρτάνειν τοὺς δημοτικούς, τραχύτεροι δ' ὑπὸ τῶν νομιζόντων ἐξ ἐπιβουλῆς καὶ φθόνου τοῦ πρὸς αὐτοὺς τὸ πρᾶγμα συγκεῖσθαι.

LIIII. Ἑλκομένου δὲ τοῦ χρόνου διακενῆς ἧκον εἰς τὴν πόλιν ἀπὸ τῶν συμμάχων ἄγγελοι λέγοντες, ὅτι πολλῇ στρατιᾷ μέλλουσιν ἐλαύνειν ἐπ' αὐτοὺς
2289 Αἰκανοί τε καὶ Οὐολοῦσκοι, δεόμενοι βοήθειαν ἀποστεῖλαι σφίσι διὰ ταχέων ὡς ἐν τρίβῳ τοῦ πολέμου κειμένοις. ἐλέγοντο δὲ καὶ Τυρρηνῶν οἱ καλούμενοι 2 Οὐιεντανοὶ παρασκευάζεσθαι πρὸς ἀπόστασιν, Ἀρδεᾶται τ' αὐτῶν οὐκέτι ἦσαν ὑπήκοοι τῆς ἀμφιλόγου χώρας ὀργὴν ἔχοντες, ἣν ὁ Ῥωμαίων δῆμος αἱρεθεὶς δικαστὴς αὑτῷ προσεδίκασεν ἐν τῷ παρελθόντι ἐνιαυτῷ. ταῦτα 3 ἡ βουλὴ μαθοῦσα ψηφίζεται στρατιὰν καταγράφειν

20 καὶ δεόμενοι c. Reiske 24 οὐκέτι O 26 αὐτῷ L αὑτῷ R 27 στρατιὰν L στρατεῖαν M

καὶ τοὺς ὑπάτους ἀμφοτέρους ἐξάγειν δυνάμεις. ἀντ-
έπραττον δὲ τοῖς γνωσθεῖσιν ὑπ' αὐτῶν οἱ τὸν νόμον
εἰσφέροντες [ἔχουσι δ' ἐξουσίαν ἐναντιοῦσθαι δήμαρχοι
τοῖς ὑπάτοις] ἀφαιρούμενοί τε τοὺς ἀγομένους ὑπ'
αὐτῶν ἐπὶ τὸν στρατιωτικὸν ὅρκον, καὶ τιμωρίαν οὐ-
δεμίαν ἐῶντες λαμβάνειν παρὰ τῶν ἀπειθούντων.
4 πολλὰ δὲ τῆς βουλῆς ἀξιούσης ἐν μὲν τῷ παρόντι
χρόνῳ τὴν φιλονεικίαν καταβαλεῖν, ὅταν δὲ τέλος οἱ
πόλεμοι λάβωσι, τότε προτιθέναι τὸν περὶ τῶν ἀρχαι-
ρεσιῶν νόμον, οἵδε τοσούτου ἐδέησαν εἶξαι τοῖς και-
ροῖς, ὥστε καὶ περὶ τῶν ἄλλων ἐναντιώσεσθαι τοῖς 2290
δόγμασι τῆς βουλῆς ἔλεγον, καὶ οὐδὲν ἐάσειν δόγμα
περὶ οὐδενὸς κυρωθῆναι πράγματος, ἐὰν μὴ τὸν ὑπ'
5 αὐτῶν εἰσφερόμενον προβουλεύσῃ νόμον. καὶ οὐ μό-
νον ἐν τῷ συνεδρίῳ πρὸς τοὺς ὑπάτους ταῦτ' ἀπει-
λῆσαι προήχθησαν, ἀλλὰ καὶ ἐπὶ τῆς ἐκκλησίας, ὅρκους,
οἵπερ εἰσὶ μέγιστοι παρ' αὐτοῖς, κατὰ τῆς ἑαυτῶν
πίστεως διομοσάμενοι, ἵνα μηδέ τι τῶν ἐγνωσμένων
αὐτοῖς πεισθεῖσιν ἐξῇ καταλύειν.

LV. Πρὸς δὴ τὰς ἀπειλὰς ταύτας ἐσκόπουν, ὅ
τι χρὴ ποιεῖν, οἱ πρεσβύτατοί τε καὶ κορυφαιότατοι 2291
τῶν προεστηκότων τῆς ἀριστοκρατίας, συναχθέντες

2 ὑπ' αὐτῶν O ὑπὸ τῶν ὑπάτων c. Kiessling 3 verba ἔχουσι e. q. s. cum glossema sapere viderentur Kiessling seclusit 9 προτιθέναι LM προστιθέναι V | τὸν om. VM 10 οἱ δὲ O οἱ δήμαρχοι c. Kiessling οἱ δὲ in simili redditione pro οἵδε seu οὗτοι etiam apud Pausaniam legi Sylburg adnotavit *οἵδε in textum recepi | τοσούτου LV τοσοῦτον R 12 ἐάσειν LaR ἐλεῖν Lb 13 ὑπὲρ αὐτῶν O ὑπ' αὐτῶν Sylburg 18 διομοσάμενοι LM διωμοσάμενοι V διωμόσαντο Sylburg cf. Kayser Ann. phil. 1870, 726 | ἵνα μηδέ τι τῶν LVM μηδὲν τῶν Kiessling 19 καταλύειν M om. LV 20 πρὸς δὴ τὰς ἀπειλὰς post ἐξῇ bis in L legitur

εἰς τὸν ἰδιωτικὸν σύλλογον ὑπὸ τῶν ὑπάτων αὐτοὶ καθ' ἑαυτούς. Γάϊος μὲν οὖν Κλαύδιος ἥκιστα δημοτικὸς ὢν 2
καὶ ταύτην διαδεδεγμένος ἐκ προγόνων τὴν αἵρεσιν τῆς πολιτείας αὐθαδεστέραν γνώμην εἰσέφερε, μήτε ὑπατείας μήτ' ἄλλης ἀρχῆς τῷ δήμῳ παραχωρεῖν μηδεμιᾶς· τοὺς δὲ τἀναντία πράττειν ἐπιχειροῦντας ὅπλοις κωλύειν, ἐὰν μὴ πείθωνται τοῖς λόγοις, φειδὼ μηδεμίαν ποιουμένους μήτ' ἰδιώτου μήτ' ἄρχοντος. ἅπαντας γὰρ τοὺς ἐπιχειροῦντας τὰ πάτρια κινεῖν ἔθη καὶ τὸν κόσμον τοῦ πολιτεύματος τὸν ἀρχαῖον διαφθείρειν ἀλλοτρίους καὶ πολεμίους εἶναι τῆς πόλεως. Τίτος δὲ 3
Κοίντιος οὐκ εἴα [τῇ] βίᾳ κατείργειν τὸ ἀντίπαλον, οὐδὲ δι' ὅπλων καὶ δι' αἵματος ἐμφυλίου χωρεῖν πρὸς τὸ δημοτικόν, ἄλλως τε καὶ δημάρχων σφίσιν ἐναντιωσομένων, οὓς ἱεροὺς εἶναι καὶ παναγεῖς ἐψηφίσαντο οἱ πατέρες ἡμῶν θεοὺς καὶ δαίμονας ἐγγυητὰς ποιησά-
2292 μενοι τῶν ὁμολογιῶν, καὶ τοὺς μεγίστους ὅρκους κατ' ἐξωλείας αὐτῶν τε καὶ τῶν ἐγγόνων, ἐάν τι παραβαίνωσι τῶν συγκειμένων, κατομοσάμενοι.

LVI. Ταύτῃ προσθεμένων τῇ γνώμῃ καὶ τῶν ἄλλων τῶν παρακληθέντων εἰς τὸ συνέδριον παραλαβὼν τὸν λόγον ὁ Κλαύδιος· Οὐκ ἀγνοῶ μέν, ἔφησεν, ἡλίκων κρηπὶς καταβληθήσεται συμφορῶν ἅπασιν ἡμῖν, ἐὰν ἐπιτρέψωμεν τῷ δήμῳ περὶ τοῦ νόμου ψῆφον λαβεῖν· οὐκ ἔχων δ' ὅ τι χρὴ ποιεῖν οὐδὲ δυνάμενος

1 εἰς ἰδιωτικὸν σύλλογον οὐχ ὑπὸ τῶν ὑπάτων ἀλλ' αὐτοὶ c. Reiske 3 προαίρεσιν Cobet Obs. p. 212 cf. c. 58, l. 2 8 ποιούμενος O 12 τῇ del. Reudler Tiroc. p. 67 15 ἱερεῖς VM 19 κατωμοσάμενοι V 25 ἀναλαβεῖν c. dubitanter Kiessling | οὐ δυνάμενος LVM οὐδὲ δ. vulgo

τοσούτοις οὖσιν μόνος ἀντιλέγειν, εἴκω τοῖς βουλήμασι
2 τοῖς ὑμετέροις. δίκαιον γὰρ ἀποφαίνεσθαι μὲν ἕκα-
στον ἃ δοκεῖ τῷ κοινῷ συνοίσειν, πείθεσθαι δὲ τοῖς
ὑπὸ τῶν πλειόνων κριθεῖσιν. ἐκεῖνο μέντοι παραινεῖν
ὑμῖν ὡς ἐν χαλεποῖς καὶ ἀβουλήτοις πράγμασιν ἔχω,
τῆς μὲν ὑπατείας μήτε νῦν μήθ' ὕστερον παραχωρεῖν
μηδενὶ πλὴν τῶν πατρικίων, οἷς μόνοις ὅσιόν τε καὶ
3 θεμιτόν ἐστι τυγχάνειν· ὅταν δ' εἰς ἀνάγκην κατα-
κλεισθῆτε ὥσπερ νῦν μεταδιδόναι καὶ τοῖς ἄλλοις πο-
λίταις τῆς μεγίστης ἐξουσίας τε καὶ ἀρχῆς, χιλιάρχους 2293
τε ἀντὶ τῶν ὑπάτων ἀποδείκνυτε, ἀριθμὸν αὐτῶν ὁρί-
σαντες ὅσον δή τινα — ἐμοὶ μὲν γὰρ ὀκτὼ ἢ ἓξ ἀπο-
χρῆν δοκεῖ — ἔν τε τούτοις τοῖς ἀνδράσι μὴ ἐλάττονες
ἀριθμὸν ἔστωσαν οἱ πατρίκιοι τῶν δημοτικῶν. ταῦτα
γὰρ ποιοῦντες οὔτε τὴν τῶν ὑπάτων ἀρχὴν εἰς ταπει-
νοὺς καὶ ἀναξίους καταβαλεῖτε οὔτε δυναστείας ἀδί-
κους ἑαυτοῖς κατασκευάζεσθαι δόξετε μηδεμιᾶς ἀρχῆς
4 μεταδιδόντες τοῖς δημοτικοῖς. Ἐπαινεσάντων δ' ἁπάν-
των τὴν γνώμην καὶ οὐδενὸς τἀναντία λέγοντος·
Ἀκούσατ', ἔφη, ἃ καὶ τοῖς ὑπάτοις ὑμῖν ἔχω παραινεῖν.
ἡμέραν προειπόντες, ἐν ᾗ τὸ προβούλευμα ἐπικυρώσετε
καὶ τὰ κριθέντα ὑπὸ τῆς βουλῆς, ⟨λόγον⟩ ἀπόδοτε
τοῖς ἀπολογουμένοις ὑπὲρ τοῦ νόμου καὶ τοῖς κατ-
ηγοροῦσι· ῥηθέντων δὲ τῶν λόγων, ὅταν καθήκῃ τὰς

1 μόνος om. O praeter L | βουλήμασι O βουλεύμασι Kiessling cf. Cobet Obs. p. 212 7 μηδενὶ L μηθενὶ R 8 θεμιτόν ἐστι τυγχάνειν LV θεμιτὸν τυγχάνει M 10 χιλιάρχους μὲν Reiske 11 ἀποδεικνύναι Portus cf. Jacoby Obs. p. 310 | αὐτῶν] αὐτὸν V 13 ἐλάττονος ἀριθμοῦ O ἐλάττονες ἀριθμὸν Reiske 16 καταβάλητε O καταβαλεῖτε Reiske 17 κατασκευάζεσθε [αι] V 18 τοῖς om. V 22 λόγον om. O add. Sylburg; cf. V 52, 3; XI 57, 1

γνώμας ἐρωτᾶν, μήτ' ἀπ' ἐμοῦ ἄρξησθε μήτ' ἀπὸ
2294 Κοιντίου τουδὶ μήτ' ἀπ' ἄλλου τῶν πρεσβυτέρων
μηδενός, ἀλλ' ἀπὸ τοῦ φιλοδημοτάτου τῶν βουλευτῶν
Λευκίου Οὐαλερίου, καὶ μετὰ τοῦτον ἀξιοῦτε Ὁράτιον
εἴ τι βούλεται λέγειν. ὅταν δὲ τὰς παρ' ἐκείνων γνώ-
μας ἐξετάσητε, τότε τοὺς πρεσβυτέρους ἡμᾶς κελεύετε
λέγειν. ἐγὼ μὲν οὖν τὴν ἐναντιουμένην γνώμην τοῖς 5
δημάρχοις ἀποδείξομαι πάσῃ τῇ παρρησίᾳ χρώμενος —
τουτὶ γὰρ τῷ κοινῷ συμφέρει — τὸ δὲ περὶ τῶν χιλιάρ-
χων πολίτευμα, εἰ βουλομένοις ἐστίν, εἰσηγείσθω Τίτος
Γενύκιος οὗτος· πρεπωδεστάτη γὰρ ἡ γνώμη καὶ ὑπο-
ψίαν ἥκιστα παρέξουσα γένοιτ' ἄν, ἐὰν οὗτος αὐτὴν ὁ
σὸς ἀδελφός, ὦ Μάρκε Γενύκιε, λέγῃ. Ἐδόκει καὶ 6
ταῦτα ὀρθῶς ὑποτίθεσθαι, καὶ οἱ μὲν ἀπῄεσαν ἐκ τοῦ
συλλόγου, τοῖς δὲ δημάρχοις δέος ἐνέπιπτε πρὸς τὴν
ἀπόρρητον τῶν ἀνδρῶν συνουσίαν ὡς ἐπὶ κακῷ τινι
τοῦ δήμου μεγάλῳ γενομένην, ἐπειδὴ κατ' οἰκίαν τε
2295 συνήδρευσαν, ἀλλ' οὐκ ἐν τῷ φανερῷ, καὶ οὐδένα τῶν
προεστηκότων τοῦ δήμου κοινωνὸν τῶν βουλευμάτων
παρέλαβον, καὶ μετὰ τοῦτο συνέδριον αὐτοὶ πάλιν ἐκ
τῶν φιλοδημοτάτων συναγαγόντες ἀλεξήματα καὶ φυ-
λακὰς ἀντεμηχανῶντο πρὸς τὰς ἐπιβουλάς, ἃς ἐκ τῶν
πατρικίων ἔσεσθαι σφίσιν ὑπώπτευον.

LVII. Ὡς δὲ καθῆκεν ὁ χρόνος, ἐν ᾧ τὸ προ-
βούλευμα ἔδει γενέσθαι, συγκαλέσαντες οἱ ὕπατοι τὴν
βουλὴν καὶ πολλὰς ὑπὲρ ὁμονοίας καὶ εὐκοσμίας ποιη-

1 ἄρξησθε VM ἄρξεσθε L ἄρξασθε vulgo cf. Baumann Obs. gram. p. 68 10 εἰσηγεῖσθαι O corr. Reiske 11 οὑτοσὶ c. Reudler Tiroc. p. 67 17 τῷ δήμῳ O corr. Sylburg 18 ἀλλ' οὐκ LV καὶ οὐκ M

σάμενοι παρακλήσεις πρώτοις ἀπέδωκαν λέγειν τοῖς
2 εἰσηγησαμένοις δημάρχοις τὸν νόμον. καὶ παρελθὼν
εἷς ἐξ αὐτῶν Γάϊος Κανολήιος περὶ μὲν τοῦ δίκαιον
ἢ συμφέροντα εἶναι τὸν νόμον οὔτ' ἐδίδασκεν οὔτ'
ἐμέμνητο· θαυμάζειν δ' ἔφη τῶν ὑπάτων, ὅτι βεβου-
λευμένοι τε καὶ κεκρικότες ἤδη κατὰ σφᾶς αὐτοὺς ἃ
δεῖ πράττειν, ὥσπερ ἀδοκίμαστον πρᾶγμα καὶ βουλῆς
δεόμενον εἰς τὸ συνέδριον ἐπεχείρησαν εἰσφέρειν, καὶ 2296
λόγον ἀπέδωκαν ὑπὲρ αὐτοῦ τοῖς προαιρουμένοις,
εἰρωνείαν εἰσάγοντες οὔτε ταῖς ἑαυτῶν ἡλικίαις ἁρμότ-
τουσαν, οὔτε τῷ μεγέθει τῆς ἀρχῆς προσήκουσαν.
3 πονηρῶν τ' ἀρχὰς ἔφη πολιτευμάτων αὐτοὺς εἰσάγειν
ἀπόρρητα βουλευτήρια συνάγοντας ἐν ἰδίαις οἰκίαις,
καὶ οὐδ' ἅπαντας τοὺς βουλευτὰς εἰς ταῦτα παρα-
καλοῦντας, ἀλλὰ τοὺς σφίσιν αὐτοῖς ἐπιτηδειοτάτους.
τῶν μὲν οὖν ἄλλων συνέδρων τῶν ἀπελαθέντων τῆς
κατοικιδίου βουλῆς ἧττον ἔφη θαυμάζειν, Μάρκου δὲ
Ὁρατίου καὶ Λευκίου Οὐαλερίου τῶν καταλυσάντων
τὴν ὀλιγαρχίαν, ὑπατικῶν ἀνδρῶν καὶ οὐδενὸς ἧττον
ἐπιτηδείων τὰ κοινὰ βουλεύειν, τὴν ἀπαξίωσιν τῆς εἰς
τὸ συνέδριον παρακλήσεως ἐκπεπλῆχθαι, καὶ οὐ δύνα-
σθαι συμβάλλειν ἐπὶ τίνι λόγῳ δικαίῳ, εἰκάζειν δὲ
μίαν αἰτίαν, ὅτι πονηρὰς καὶ ἀσυμφόρους γνώμας
εἰσηγεῖσθαι μέλλοντες κατὰ τῶν δημοτικῶν οὐκ ἐβού-
λοντο παρακαλεῖν εἰς ταῦτα τὰ συνέδρια τοὺς φιλο-
δημοτάτους, ἀγανακτήσοντας δηλονότι καὶ οὐ περι-

3 Κάτων Κενολήιος O corr. Sylburg Καίσων Κανολήιος c. Kiessling Κάτων mihi quidem ex αὐτῶν ortum videtur esse cf. c. 58, 1 9 προαιρουμένοις] προσεταιριζομένοις c. Naber Mnemos. 30, 258 22 post δικαίῳ deesse γεγένηται Reiskio videtur

*οψομένους οὐδὲν ἄδικον πολίτευμα κατὰ τοῦ δήμου γινόμενον.*

2297 LVIII. *Τοιαῦτα Γαΐου Κανοληίου μετὰ πολλοῦ σχετλιασμοῦ λέγοντος καὶ τῶν μὴ παραληφθέντων εἰς τὸ συνέδριον βουλευτῶν πρὸς ὀργὴν δεξαμένων τὸ πρᾶγμα παρελθὼν ἅτερος τῶν ὑπάτων Γενύκιος ἀπολογεῖσθαι καὶ πραΰνειν τὰς ὀργὰς αὐτῶν ἐπειρᾶτο διδάσκων, ὅτι τοὺς μὲν φίλους παραλάβοιεν, οὐχ ἵνα ⟨τι⟩ κατὰ τοῦ δήμου διαπράξαιντο, ἀλλ' ἵνα μετὰ τῶν ἀναγκαιοτάτων βουλεύσαιντο, τί πράττοντες οὐδ' ὁποτέραν δόξουσιν ἐλαττοῦν τῶν αἱρέσεων, πότερον ταχεῖαν ἀποδιδόντες τῇ βουλῇ περὶ τοῦ νόμου διάγνωσιν ἢ χρονιωτέραν. Ὁράτιον δὲ καὶ Οὐαλέριον οὐκ ἄλλης* 2
*τινὸς χάριν αἰτίας μὴ παραλαβεῖν εἰς τὸ συνέδριον, ἀλλ' ἵνα μή τις ὑποψία περὶ αὐτῶν παρ' ἀξίαν ᾖ τοῖς δημοτικοῖς, ὡς μεταβεβλημένων τὴν προαίρεσιν τῆς πολιτείας, ἐὰν ἄρα ἐπὶ τῆς ἑτέρας γένωνται γνώμης, τῆς ἀξιούσης ἀναβαλέσθαι τὴν ὑπὲρ τοῦ νόμου δι-*
2298 *άγνωσιν εἰς ἕτερον καιρὸν ἐπιτηδειότερον. ἐπειδὴ δ' ἅπασι τοῖς παραληφθεῖσιν ἡ συντομωτέρα διάγνωσις ἀμείνων ἔδοξεν εἶναι τῆς βραδυτέρας, πράττειν ὡς ἐκείνοις ἐφάνη. Ταῦτ' εἰπὼν καὶ θεοὺς ἐπομοσάμενος* 3
*ἦ μὴν τἀληθῆ λέγειν καὶ τοὺς παρακληθέντας ἐκ τῶν βουλευτῶν, ἔφη, πᾶσαν ἀπολύσεσθαι διαβολὴν οὐ λόγοις, ἀλλ' ἔργοις. ὅταν γὰρ οἱ βουλόμενοι κατηγορεῖν* 4
*καὶ ἀπολογεῖσθαι περὶ τοῦ νόμου διεξέλθωσι τὰ δίκαια,*

3 **τοιαῦτα τοῦ Κενοληίου* O *τοιαῦτα γαίου κανοληίου* ego cf. c. 57, 2 4 *μὴ* om. L 9 *τι* add. Sylburg 24 post *βουλευτῶν* Reiskio deesse *μαρτυράμενος* videtur, quam vocem recipiendam esse censet Kiessling | *ἀπολύσασθαι* O *διαλύσεσθαι* Sylburg *ἀπολύσεσθαι* Kiessling

πρώτους ἐπὶ τὴν ἐρώτησιν τῆς γνώμης καταλέγειν οὐχὶ τοὺς πρεσβυτάτους καὶ τιμιωτάτους τῶν βουλευτῶν, οἷς ἐκ τῶν πατρίων ἐθισμῶν καὶ τοῦτ' ἀποδεδόσθαι τὸ γέρας, οὐδὲ τοὺς δι' ὑποψίας ὄντας παρὰ τοῖς δημοτικοῖς, ὡς οὐδὲν ὑπὲρ αὐτῶν χρηστὸν οὔτε λέγοντας οὔτε φρονοῦντας, ἀλλ' ἐκ τῶν νεωτέρων τοὺς δοκοῦν- 2299 τας εἶναι φιλοδημοτάτους.

LVIIII. Ὑποσχόμενος δὲ ταῦτα καὶ δοὺς ἐξουσίαν τοῖς βουλομένοις λέγειν, ἐπειδὴ οὔτε κατηγορήσων οὔτ' ἀπολογησόμενος οὐδεὶς ὑπὲρ τοῦ νόμου παρῄει, παρελθὼν αὖθις ἐρωτᾷ πρῶτον Οὐαλέριον, τί τῷ κοινῷ συμφέρει, καὶ τί προβουλεῦσαι τοῖς συνέδροις
2 παραινεῖ. ὁ δ' ἀναστὰς καὶ πολλοὺς διεξελθὼν ὑπὲρ αὐτοῦ τε καὶ τῶν προγόνων λόγους ὡς ἐπὶ τῷ συμφέροντι τῆς πόλεως τοῦ δημοτικοῦ μέρους προϊσταμένων, καὶ καταριθμησάμενος ἅπαντας ἐξ ἀρχῆς τοὺς κατασχόντας τὴν πόλιν κινδύνους ἐκ τῶν τἀναντία πολιτευομένων, τοῖς τ' ἀπεχθῶς ἐσχηκόσι πρὸς τὸ δημοτικὸν ἅπασιν ἀλυσιτελὲς γενόμενον ἀποδείξας τὸ μισόδημον, ἐπαίνους τε πολλοὺς περὶ τοῦ δήμου ποιησάμενος, ὡς αἰτιωτάτου τῇ πόλει γεγονότος οὐ μόνον τῆς ἐλευθερίας, ἀλλὰ καὶ τῆς ἡγεμονίας, ἐπεὶ ταῦτα 2300 καὶ παραπλήσια τούτοις διεξῆλθε, τελευτῶν ἔφη μὴ δύνασθαι πόλιν ἐλευθέραν εἶναι, ἐξ ἧς ἄν τις τὴν
3 ἰσότητ' ἀνέλῃ· ἔφη τε δοκεῖν ἑαυτῷ τὸν μὲν νόμον

1 *κατάγειν O pro κατάξειν Sylburgio positum videtur esse ἐπὶ τῇ ἐρωτήσει — καλέσαι Reiske, καλέσειν (!) Cobet Obs. p. 212 mihi quidem ceterae coniecturae irritae videntur esse, Dionysius καταλέγειν wählen, bestimmen scripsit 3 ἀποδίδοται c. Portus 18 πεπολιτευμένων c. Reiske 19 ἀποδείξασι O corr. Sylburg 23 μὴ om. LVM 24 εἶναι om. LVM | τὴν ἰσότητα ἂν ἐᾶν LVM corr. Stephanus

δίκαιον εἶναι τὸν ἀξιοῦντα πᾶσι μετεῖναι Ῥωμαίοις τῆς ὑπατικῆς ἀρχῆς, τοῖς γε δὴ βίον ἀνεπίληπτον ἐσχηκόσι καὶ πράξεις ἀποδεδειγμένοις τῆς τιμῆς ταύτης ἀξίας, τὸν δὲ καιρὸν οὐκ ἐπιτήδειον εἰς τὴν ὑπὲρ αὐτοῦ διάγνωσιν ἐν πολεμικαῖς ὑπαρχούσης ταραχαῖς τῆς πόλεως· 4 συνεβούλευέ τε τοῖς μὲν δημάρχοις ἐᾶν τὴν καταγραφὴν γενέσθαι τῶν στρατιωτῶν καὶ τὴν ἔξοδον μὴ κωλύειν τῶν καταγραφέντων, τοῖς δ' ὑπάτοις, ὅταν τὸ κράτιστον τέλος ἐπιθῶσι τῷ πολέμῳ, πρῶτον ἁπάντων τὸ περὶ τοῦ νόμου προβούλευμα εἰς τὸν δῆμον ἐξενεγκεῖν. ταῦτα δὲ γραφῆναί τ' ἤδη καὶ διομολογη-
2301 θῆναι πρὸς ἀμφοτέρων. 5 Ταύτην ἀποδειξαμένου τὴν γνώμην Οὐαλερίου καὶ μετὰ τοῦτον Ὁρατίου — δευτέρῳ γὰρ τούτῳ λόγον ἀπέδωκαν οἱ ὕπατοι — ταὐτὸ πάθος ἅπασι τοῖς παροῦσι συνέβη. οἱ μὲν γὰρ ἀνελεῖν τὸν νόμον βουλόμενοι τὴν ἀναβολὴν τῆς περὶ αὐτοῦ διαγνώσεως ἀγαπητῶς ἀκούσαντες, τὸ μετὰ τὸν πόλεμον ἐπάναγκες εἶναι σφίσι προβουλεῦσαι περὶ αὐτοῦ χαλεπῶς ἀπεδέξαντο· οἱ δὲ κύριον ὑπὸ τοῦ συνεδρίου κριθῆναι προαιρούμενοι τὸ μὲν ὡμολογημένον δίκαιον εἶναι τὸν νόμον ἀσμένως ἤκουον, τὸ δ' εἰς ἑτέρους ἐκπίπτειν χρόνους τὸ προβούλευμα πρὸς ὀργὴν ἐλάμβανον.

LX. Θορύβου δέ, ὅπερ εἰκός, ἐπὶ τῇ γνώμῃ γενομένου διὰ τὸ μὴ πᾶσι τοῖς μέρεσιν αὐτῆς εὐαρεστεῖν

2 τοῖς τε O τοῖς γε Sylburg | ἐσχηκόσι O ἐξηκόσι Cobet Obs. p. 212 stulte cf. VIII 44, 6 ἐσχηκότα τὸν βίον  3 ἐπιδεδειγμένοις Sylburg  7 στρατιωτῶν L στρατηγῶν [τιωτῶν] V στρατηγῶν M  14 οὐ ταὐτὸ c. Portus  19 ἐπελέξαντο O ἀπεδέξαντο Sylburg  21 ἄσμενοι c. Garrer Obs. p. 28

πόλιν ὡς πρότερον, ἢ διὰ τῶν ὅπλων αὐτὸ ληψόμενοι, ἐπειδὴ τὸ συγχώρημα ἔλαβον, ἀπέστησαν εὐθὺς τῆς ἐπιθυμίας καὶ τὰς σπουδὰς ἐπὶ θάτερον μετέβαλον.
3 πολλῶν γέ τοι δημοτικῶν παραγγελλόντων τὴν χιλιαρ- 2305
χίαν καὶ κατεσπουδασμένας ποιουμένων τὰς δεήσεις, οὐδένα τῆς τιμῆς ταύτης ἄξιον εἶναι ὑπέλαβον, ἀλλὰ γενόμενοι τῆς ψήφου κύριοι τοὺς ἐκ τῶν πατρικίων μετιόντας αὐτὴν ἄνδρας ἐπιφανεῖς χιλιάρχους ἀποδεικνύουσιν, Αὖλον Σεμπρώνιον Ἀτρατῖνον καὶ Λεύκιον Ἀτίλιον Λοῦσκον καὶ Τίτον Κλύλιον Σικελόν.

LXII. Οὗτοι παραλαμβάνουσι πρῶτοι τὴν ἀνθύπατον ἀρχὴν κατὰ τὸν τρίτον ἐνιαυτὸν τῆς ὀγδοηκοστῆς καὶ τετάρτης ὀλυμπιάδος ἄρχοντος Ἀθήνησι Διφίλου. μετασχόντες δ' αὐτῆς ἑβδομήκοντα καὶ τρεῖς μόνον ἡμέρας ἀποτίθενται κατὰ τὸν ἀρχαῖον ἐθισμὸν ἑκούσιοι, θεοπέμπτων τινῶν σημείων κωλυτηρίων αὐτοῖς τοῦ
2 πράττειν τὰ κοινὰ γενομένων. τούτων δὲ τὴν ἐξουσίαν ἀπειπαμένων ἡ βουλὴ συνελθοῦσα μεσοβασιλεῖς ἀποδείκνυσι. καὶ ἐκεῖνοι προειπόντες ἀρχαιρέσια καὶ τῷ
δήμῳ τὴν διάγνωσιν ἀποδιδόντες, εἴτε βούλεται χιλιάρ- 2306
χους εἴτε ὑπάτους ἀποδεῖξαι, κρίναντος αὐτοῦ μένειν ἐπὶ τοῖς ἐξ ἀρχῆς ἐθισμοῖς, ἀπέδοσαν τοῖς βουλομένοις τῶν πατρικίων μετιέναι τὴν ὕπατον ἀρχήν· καὶ γίνονται πάλιν ἐκ τῶν πατρικίων ὕπατοι Λεύκιος Παπίριος Μογιλλᾶνος καὶ Λεύκιος Σεμπρώνιος Ἀτρατῖνος, ἑνὸς

1 αὐτὸ M αὐτὴν L αὐτὰ V 4 γέ τοι] γάρ τοι Reudler Tiroc. p. 2 9 αὔλιον O 10 ἀτέλιον O | λοῦγχον La λοῦγγον Lb λοῦσχον VM | κλόδιον L 14 μετασχόντες δ' αὐτῆς O κατασχόντες δ' αὐτὴν Sylburg 23 μετεῖναι L 24 μενύκιος παπύριος LV μενύκιος πατρίκιος M

τῶν ἀποθεμένων τὴν χιλιαρχίαν ἀδελφός. αὗται δύο 3
κατὰ τὸν αὐτὸν ἐνιαυτὸν ἀρχαὶ Ῥωμαίων αἱ τὸ μέ-
γιστον ἔχουσαι κράτος ἐγένοντο· πλὴν οὐκ ἐν ἁπάσαις
ταῖς Ῥωμαικαῖς χρονογραφίαις ἀμφότεραι φέρονται,
ἀλλ' ἐν αἷς μὲν οἱ χιλίαρχοι μόνον, ἐν αἷς δ' οἱ
ὕπατοι, ἐν οὐ πολλαῖς δ' ἀμφότεροι, αἷς ἡμεῖς οὐκ
ἄνευ λογισμοῦ συγκατατιθέμεθα, πιστεύοντες δὲ ταῖς
ἐκ τῶν ἱερῶν τε καὶ ἀποθέτων βίβλων μαρτυρίαις.
2307 ἄλλο μὲν οὖν οὐδὲν ἐπὶ τῆς τούτων ἀρχῆς οὔτε πο- 4
λεμικὸν οὔτε πολιτικὸν ἔργον ἱστορίας ἄξιον ἐπράχθη,
συνθῆκαι δὲ πρὸς τὴν Ἀρδεατῶν πόλιν ἐγένοντο περὶ
φιλίας τε καὶ συμμαχίας· ἐπρεσβεύσαντο γὰρ ἀποτιθέ-
μενοι τὰ περὶ τῆς χώρας ἐγκλήματα παρακαλοῦντες
φίλοι Ῥωμαίων γενέσθαι καὶ σύμμαχοι. ταύτας τὰς
συνθήκας τὸ τῶν ὑπάτων ἀρχεῖον ἐπεκύρωσε.

LXIII. Τῷ δ' ἑξῆς ἐνιαυτῷ πάλιν ὑπάτους ψηφισα-
μένου τοῦ δήμου κατασταθῆναι παραλαμβάνουσι τὴν
ὕπατον ἀρχὴν τῇ διχομήνιδι τοῦ Δεκεμβρίου μηνὸς
Μάρκος Γεγάνιος Μακερῖνος τὸ δεύτερον καὶ Τίτος
Κοίντιος Καπιτωλῖνος τὸ πέμπτον. οὗτοι διδάξαντες 2
τὴν βουλήν, ὅτι πολλὰ μὲν καὶ ἄλλα πράγματα διὰ
τὰς συνεχεῖς τῶν ὑπάτων στρατείας ἠμελημένα παρ-
2308 εῖται, πάντων δ' ἀναγκαιότατον τὸ περὶ τὰς τιμήσεις
τῶν βίων νόμιμον, ἐξ ὧν ὅ τ' ἀριθμὸς τῶν ἐχόντων
τὴν στρατεύσιμον ἡλικίαν ἐγινώσκετο καὶ τῶν χρημά-
των τὸ πλῆθος, ἀφ' ὧν ἔδει τὰς εἰς τὸν πόλεμον
εἰσφορὰς ἕκαστον τελεῖν, οὐδεμιᾶς τιμήσεως ἐντὸς ἐπ-

3 ἔχουσαι M ἔχειν L ἔχουσι V   4 φαίνονται O φέρονται Sylburg   10 πολεμικὸν L πολέμιον R   18 δεκεβρίου V

τακαίδεκα ἐτῶν γενομένης ἀπὸ τῆς Λευκίου Κορνηλίου καὶ Κοίντου Φαβίου [ὑπατείας· ὥστε] *** καταλιπεῖν οἱ πονηρότατοί τε καὶ ἀσελγέστατοι Ῥωμαίων, ἀλλὰ τόπον μεταλαμβάνειν, ἐν ᾧ περίεστι ζῆν αὐτοῖς, ὡς προήρηνται.

2 post φαβίου in L in lacuna suppleta exstant verba ὑπατείας ὥστε, om. V in lacuna, quae est 20 fere litter. capax 4 μεταλαμβάνει LV. Verba, quae in textum recepi, in LV exstant, M haec praebet: ὥστε τοὺς μὲν χρηστοὺς καὶ ὠφελίμους ἄνδρας ἐν τιμαῖς καὶ ἐν στρατείαις εἶναι, τοὺς δὲ ἀσελγεστάτους καὶ πονηροτάτους ἀτίμους καταλείπεσθαι, καὶ τόπον ἕτερον μεταλαμβάνειν, ἐν ᾧ περίεστι ζῆν αὐτοῖς, ὡς προήρηνται. Hinc sequuntur in libris verba ἀλλ' ὑπὲρ τῶν Ῥωμαικῶν p. 189, 1.

# EXCERPTA

## EX

## LIBRO XII.

I. Ὅτι λιμοῦ κατὰ τὴν Ῥώμην γενομένου ἰσχυροῦ ἀνήρ τις οἴκου τε οὐκ ἀφανοῦς καὶ χρήμασιν ἐν τοῖς μάλιστα δυνατός, Σπόριος Μαίλιος Εὐδαίμων ἐπίκλησιν ἐπὶ τῆς πολλῆς εὐπορίας νεωστὶ μὲν παρειληφὼς τὸν οἶκον τοῦ πατρός, ἡλικίαν δὲ καὶ τάξιν ἔχων ἱππικήν, οἵα μήτε ἀρχὰς παραλαμβάνειν μήτε ἄλλην κοινὴν ἐπιμέλειαν μηδεμίαν, λαμπρὸς εἰ καί τις ἄλλος τὰ πολέμια καὶ πολλοῖς κεκοσμημένος ἀριστείοις, κράτιστον ὑπολαβὼν καιρὸν ἐπιθέσει τυραννίδος, ἐπὶ δημαγωγίαν τοῦ πλήθους ἐτράπετο, τὴν ῥαστώνην τῶν ἐπὶ τυραννίδα φερουσῶν ὁδῶν. ἔχων δὲ πολλοὺς ἑταίρους καὶ 2
πελάτας ἄλλους ἄλλῃ διέπεμψε χρήματα δοὺς ἐκ τῶν ἰδίων εἰς συναγυρμοὺς τροφῆς καὶ αὐτὸς εἰς Τυρρηνίαν ᾤχετο. ἐν βραχεῖ δὲ χρόνῳ δι' ἑαυτοῦ τε καὶ τῶν ἑταίρων πολλὴν κατακομίσας ἀγορὰν διεμέτρει τοῖς πολίταις, ἀντὶ δώδεκα δραχμῶν διδράχμου ἀπο-

3 modo Μαίλιος modo Μάλλιος Esc. 5 ἡλικίαν τε Esc. corr. Feder 7 πολέμια] πολεμικὰ c. Müller 8 καὶ κοσμένης Esc. 10 τὴν ῥαστώνην Esc. τὴν ῥᾴστην Feder 13 εἰς συναγυρμοὺς] ἐκσυναγυρμοὺς Esc. 13 τυραννίαν Esc. 15 διεμέρει Esc. corr. Müller

μετρῶν τὸν μόδιον· ὅσους δὲ αἴσθοιτο παντάπασιν
ἀδυνάτους καὶ μηδ' ὑπὲρ τῆς ἐφημέρου τροφῆς ἔχοντας προέσθαι τὸ διάφορον ἄνευ τιμῆς χαριζόμενος.
3 ταύτῃ τῇ φιλανθρωπίᾳ τὸν δῆμον ἀναλαβὼν καὶ θαυμαστὴν ὅσην δόξαν ἀπενεγκάμενος ᾤχετο πάλιν ἐμπορευσόμενος ἑτέρας ἀγοράς· καὶ παρῆν οὐ διὰ μακροῦ ποταμηγοὺς ἄγων σκάφας πολλὰς πάνυ μεστὰς τροφῆς
4 καὶ τὸν αὐτὸν τρόπον τοῖς ⟨πολίταις⟩ ἐμέτρει. οἱ δὲ πατρίκιοι ταῦτα πράττοντα δρῶντες αὐτὸν ⟨δι'⟩ ὑποψίας τε ἐλάμβανον τῆς ἄγαν φιλοτιμίας τοῦ ἀνδρὸς οὐδὲν ἀγαθὸν ἀπολαύσειν οἰόμενοι καὶ συνιστάμενοι κατὰ τὴν ἀγορὰν ἐσκόπουν, ὅντινα χρὴ τρόπον εὐπρεπέστερον ἄνευ κινδύνου παῦσαι τούτων αὐτὸν τῶν πολιτευμάτων· κρύφα μὲν τὸ πρῶτον καὶ κατ' ὀλίγους συνιόντες καὶ διαλεγόμενοι πρὸς ἀλλήλους, ἔπειτα καὶ ἐκ τοῦ φανεροῦ καταβοῶντες, ἐπειδὴ βαρύς τε καὶ ἀφόρητος ἦν ἔργα τε πράττων ὑπερηφανίας μεστὰ καὶ
5 λόγους διεξιὼν αὐθάδεις ὑπὲρ ἑαυτοῦ· ὅς γε πρῶτον μὲν καθεζόμενος ἐπὶ βήματος περιφανοῦς, ὥσπερ ἔθος ἦν τοῖς τὰς ἀρχὰς ἔχουσιν, ἐχρημάτιζε τοῖς προσιοῦσι δι' ἡμέρας περὶ τὴν σιτοδοσίαν, ἐκβαλὼν τῆς τιμῆς ταύτης τὸν ἀποδειχθέντα ἔπαρχον ὑπὸ τῆς βουλῆς·
6 ἔπειτα συνεχεῖς ποιούμενος ἐκκλησίας οὐκ ὂν ἐν ἔθει Ῥωμαίοις ἰδιώτην ἐκκλησίαν συνάγειν πολλὰ μὲν τοῦ

7 ποταμιγοὺς Esc. | μετὰ Esc. μεστὰς Feder 8 πολίταις add. Feder 9 *αὐτὸν ὑποψίας τε Esc. correxi cf. Fleck. Ann. 1883 (127) 850 11 *οὐδὲν ἀγαθοῦ Esc. οὐδενὸς ἀγαθοῦ Kiessling οὐδὲν ἀγαθὸν ego; cf. Aar. Progr. p. 25, Hertlein Progr. Wertheim 1873, 8 12 εὐπρεπέστερον] εὐπρεπέστατ' c. Garrer Obs. p. 67 16 βαρὺς ἔτι Esc. βαρύτερος ἔτι vel βαρύς τε c. Müller 17 ὑπεριφανίας Esc. 19 ἔθος ἐστὶν Esc. teste Müllero 22 ὕπαρχον Esc. ἔπαρχον Feder 23 ἔπειτα δὲ Müller

*Μηνυκίου κατηγόρει πρὸς τὸν δῆμον, ὡς ὄνομα φέροντος ἀρχῆς μόνον, ἔργον δὲ οὐδὲν ἀποδειξαμένου τοῖς πένησιν ὠφέλιμον, πολλὰ δὲ τοὺς πατρικίους διέβαλλε πρὸς τὸν δῆμον, ὡς ταῦτα πράττοντας ἐξ ὧν ὀλίγου τε καὶ οὐδενὸς ἄξιος ὁ δῆμος ἔσται καὶ οὐδ' ἐπὶ σιτοδείᾳ φροντίδα τῶν ἀπόρων ἔχοντας οὐδεμίαν, οὔτε κοινῇ πάντας οὔτε ἰδίᾳ τοὺς δυνατούς, παντὸς μάλιστα δέον αὐτοὺς χρήμασί τε καὶ σώμασιν ὥσπερ αὐτὸς δὴ κακοπαθεῖν καὶ πάντοθεν ἐπεισάγειν τῇ πόλει τὰς ἀγοράς. ἠξίου τε πρὸς τὰ τῶν ἄλλων ἔργα πατρικίων* 7
*τὰ ὑφ' ἑαυτοῦ πραττόμενα ἐξετάζειν, ὡς πολὺ καὶ τὸ πᾶν ἀλλήλων διαφέροντα. ἐκείνους μὲν γὰρ οὐδὲν ἐκ τῶν ἰδίων εἰς τὸ κοινὸν ἀναλίσκοντας ἔτι καὶ τὴν δημοσίαν γῆν σφετερισαμένους πολὺν ἤδη καρποῦσθαι χρόνον, ἑαυτὸν δὲ τῶν δημοσίων οὐδὲν ἔχοντα ἔτι καὶ τὴν πατρῴαν καταχορηγεῖν οὐσίαν εἰς βοήθειαν τῶν ἀπόρων καί, ἐπειδὰν τὰ ὄντα καταναλώσῃ, δανείσματα ποιεῖσθαι παρὰ φίλων οὐθὲν ἀντικαταλλαττόμενον τῆς τοιαύτης φιλοτιμίας ὅτι μὴ τὴν πολιτικὴν εὔνοιαν, ἧς οὐδὲ τὸν ἐξ ἀνθρώπων πλοῦτον ἡγεῖσθαι τιμιώτερον.*
*οἱ δὲ περὶ αὐτὸν συνεστῶτες ἀεὶ σωτῆρα καὶ πατέρα* 8
*καὶ κτίστην ἀπεκάλουν τῆς πατρίδος καὶ τὴν μὲν ὑπατικὴν ἐξουσίαν ἐλάττονα χάριν ἢ κατὰ τὸ μέγεθος τῶν*

1 *Μινυκίου* Esc. Prou 2 *τῆς ἀρχῆς* dubitanter Kiessling 4 *ταῦτα* Esc. *τοιαῦτα* c. Kayser Fleck. Ann. 1870 (101) 726 | *πράττοντες* Esc. | **ὀλίγους* Esc. *ὀλίγος* Feder *ὀλίγου τοῦ καὶ* Hertlein Progr. Wertheim 1873, 8 *ὀλίγου τε καὶ* ego cf. Plato Apol. 23 A 7 *παντὸς*] *πάντων* c. Müller 14 *πολὺν*] *πολλὴν* Esc. 15 *τὴν δημοσίαν* Esc. 16 *καταχωρηγεῖν* Esc. 18 *οὐθὲν* Esc. *οὐδὲν* Kiessling 20 *οὐδὲ*] *οὐ δεῖν* Kayser Fleck. Ann. 1870 (101) 726 | *ἐξ ἀνθρώπων* Esc. *ἐξάνθρωπον* Kiessling cf. Cobet Obs. p. 213 22 *ἀπεκάλουν* Esc. *ἐπεκάλουν* Naber Mnem. 30, 258 23 *ἐλάττωνα* Esc.

ἔργων αὐτοῦ γενήσεσθαι δοθεῖσαν ἀπέφαινον, ἄλλῃ δέ
τινι μείζονι καὶ λαμπροτέρᾳ τιμῇ κοσμεῖν ἠξίουν αὐτόν,
9 ἣν καὶ γένος ἕξει τὸ ἐξ ἐκείνου. ὡς δὲ καὶ τὴν τρίτην
ἔξοδον ποιησάμενος ἐπὶ τὰ παραθαλάττια τῆς Ἰταλίας
ἔκ τε Κύμης καὶ τῶν περὶ Μισηνὸν λιμένων σιτηγοὺς
ὁλκάδας ἄγων πολλὰς κατέπλευσεν εἰς Ὠστίαν, ὃ τῆς
Ῥώμης ἐστὶν ἐπίνειον, καὶ † κατέπαυσε ταῖς τροφαῖς τὴν
πόλιν, ὡς μηδὲν ἔτι τῆς ἀρχαίας εὐετηρίας διαφέρειν,
ἅπας ὁ δῆμος ἕτοιμος ἦν, εἰ γένοιτο τῆς ψήφου κύριος
ἐν ἀρχαιρεσίαις, εἴτε ὑπατείαν εἴτε ἄλλην τινὰ τιμὴν
μετίοι, μηδενὸς ἐπιτρέποντος μήτε νόμου κωλύοντος
10 μήτ' ἀνδρὸς ἐναντιουμένου χαρίζεσθαι. ταῦτα δρῶντες
οἱ προεστηκότες τῆς ἀριστοκρατίας καὶ οὔτε ἐπιτρέπειν
ἀξιοῦντες οὔτε κωλύειν δύναμιν ἔχοντες ἐν πολλῇ
πάντες ἦσαν ἀθυμίᾳ· καὶ ἔτι μᾶλλον διεταράχθησαν,
ἐπειδὴ κωλυόντων ἐκκλησίας συνάγειν αὐτὸν καὶ δη-
μηγορεῖν τῶν τε δημάρχων καὶ ὑπάτων, συστραφεὶς
ὁ δῆμος ἐκείνους μὲν ἐξέβαλεν ἐκ τῆς ἀγορᾶς, τῷ δὲ
11 Μαλλίῳ πολλὴν ἄδειαν καὶ ῥώμην παρέσχεν. ἐν τοι-
αύτῃ δὴ καταστάσει τῆς πόλεως ὑπαρχούσης ὁ τῆς
ἀγορᾶς ἀποδειχθεὶς ἔπαρχος, ἀχθόμενος μὲν ἐπὶ τοῖς
προπηλακισμοῖς τῶν λόγων, οἷς αὐτὸν ὑβρίζων ὁ Μάλ-
λιος ἐν ταῖς ἐκκλησίαις διετέλει, δεδοικὼς δὲ τὸν ἄνδρα
μάλιστα τῶν ἄλλων, εἴ τινος ἐπιλάβοιτο ἀρχῆς, μὴ
πρότερον τῆς ἀριστοκρατίας αὐτὸν ποιήσηται ἢ τὸν

2 λαμπρᾷ Esc. λαμπροτέρᾳ Kiessling 6 ὠστίαν Esc. 7 ἐπίνεον Esc. | κατέπαυσε Esc. κατέπλησε Müller κατέκλυσε Kiessling ἐνέπλησε Kayser l. l.; mea quidem sententia κατέπαυσε idem est ac κατέπλευσεν v. 6 neque ita corrigendum est, sed hoc loco Dionysius alio verbo ut ἐπανορθοῦν usus est 11 ἐπιτρέποντος Esc. ἐπιστρεφόμενος Müller 24 sqq. corrupta esse omnes

δῆμον ἐξερεθίσας πρὸς αὐτὸν † ποιήσηται διὰ τῶν ἐκ
τῆς ἑταιρείας ἐπιβουλήν τινα κατ' αὐτοῦ μηχανησάμε-
νος, ἀγανακτῶν τε δι' ἀμφότερα ταῦτα καὶ ἀπηλλάχθαι
προθυμούμενος ἐκείνου μείζονα ἢ κατ' ἰδιώτην ἰσχὺν
ἔχοντος, ἐπιμελῆ ζήτησιν ἐποιεῖτο τῶν ὑπ' αὐτοῦ λεγο-
μένων τε καὶ πραττομένων. πολλῶν δὲ ὄντων, οἷς ὁ 12
ἀνὴρ συνεργοῖς ἐχρῆτο τῶν ἀπορρήτων, καὶ οὔτε τὰς
φύσεις ὁμοίων οὔτε τὰς γνώμας παραπλησίων ἔμελλέ
τις ὅπερ εἰκὸς οὐ βέβαιος αὐτῷ ἔσεσθαι φίλος, ἢ διὰ
φόβον ἢ διὰ κέρδος ἴδιον· ᾧ τὰ πιστὰ δοὺς ὁ Μηνύ-
κιος ὑπὲρ τοῦ μηδενὶ φράσειν ὅστις ἦν, ἅπασαν ἔγνω
τήν τε διάνοιαν τοῦ Μαιλίου καὶ τὴν παρασκευήν.
ὡς δὲ καὶ τεκμήριον ἔλαβεν ἀναμφίλεκτον καὶ τὴν 13
πρᾶξιν ἐν χερσὶν οὖσαν ἔγνω, λέγει πρὸς τοὺς ὑπά-
τους· ἐκεῖνοι δ' οὐκ ἀξιοῦντες ἐφ' ἑαυτοῖς ποιῆσαι μό-
νοις ἐπιχειρήσεως τηλικαύτης ἐξέτασιν εἰς τὴν βουλὴν
ᾤοντο δεῖν τὸ πρᾶγμα εἰσφέρειν, καὶ συνεκάλουν τὸ
συνέδριον εὐθὺς ὡς περὶ πολέμου δή τινος ὑπερορίου
βουλευσόμενοι. πληρωθέντος δὲ τοῦ συνεδρίου διὰ 14
ταχέων παρελθὼν ἅτερος αὐτῶν ἔλεξεν, ὅτι πρᾶξις
αὐτοῖς μεμήνυται συσκευαζομένη κατὰ τῆς πόλεως

consentiunt; pro *ποιήσηται* sqq. v. 1 c. Feder: *ποιήσῃ τὴν διάστασιν ἐκ τῆς ἑ.*, *ποιήσηται* male repetitum ex p. 216 v. 25 et *μηχανήσηται* v. 2 scribendum esse Müller censet; *ἄλλων μὴ λαμπρότερον τῆς ἀριστοκρατίας — ἢ τὸν δῆμον ἐξερεθίσῃ πρὸς αὐτὸν καὶ ἰδιώτης ὢν ἐκ τῆς ἑ.* c. Kayser Fleck. Ann. 1870 (101) 727; *μὴ πρότερον ἢ τὴν ἀριστοκρατίαν αὐτὸν τιμωρήσασθαι* (vel *κωλῦσαι?*) *τὸν δῆμον ἐξερεθίσαι πρὸς αὐτόν, αἰφνιδίαν* sqq. c. B. Zarnckii Litterar Univers. 1870, 893  1 *πρὸς αὐτὸν δηλήσεται διὰ τῶν ἐκ* c. Köstlin Philol. 34, 572  3 *ἀγανακτῶντες* Esc.  9 *βέβαιον* Esc. *βέβαιος* Müller *βεβαίως* Kiessling cf. Sintenis Em. Dion. I 11, Cobet Obs. p. 99 | *αὐτὸν* Esc. *αὐτῷ* vel *αὐτοῦ* Müller  13 *ἀναμφίλεκτον*] *ἀναφίλεκτον* Esc.  17 *εἰσφέρειν*] *ἐφέρειν* Esc.  19 *βουλευόμενον* Esc. *βουλευσόμενοι* Feder

πολλῆς πάνυ καὶ ταχείας φυλακῆς δεομένη διὰ τὸ τοῦ
κινδύνου μέγεθος· ταύτης δ' ἔφη μηνυτὴν οὐ τῶν
ἐπιτυχόντων εἶναί τινα πολιτῶν, ἀλλ' ὃν αὐτοὶ δι'
ἀρετὴν ἐπὶ τῆς μεγίστης τε καὶ ἀναγκαιοτάτης τῷ
κοινῷ χρείας ἔταξαν, δοκιμάσαντες αὐτοῦ τήν τε πίστιν
καὶ τὴν πρὸς τὰ κοινὰ φιλοτιμίαν ἐκ τῶν παρὰ πάντα
15 τὸν βίον ἐπιτηδευομένων. μετεώρου δὴ τῆς βουλῆς
ἐπὶ τῇ προσδοκίᾳ γενομένης ἐκάλει τὸν Μηνύκιον,
κἀκεῖνος ἔλεξεν· [ζήτει ἐν τῷ περὶ δημηγοριῶν]. Esc.

II. Ὡς δ' ἐμηνύθη τῇ βουλῇ, δικτάτορα προχειρί-
ζονται, ὁ δὲ τὸν ἱππάρχην *** ἐκέλευσεν ἔχοντι τοὺς
ἱππεῖς ἥκειν ὡς αὐτὸν περὶ μέσας νύκτας, τοῖς δὲ
βουλευταῖς εἰς τὸ Καπιτώλιον ἕωθεν ἔτι συλλέγεσθαι,
τῷ δὲ Μηνυκίῳ τόν τε μηνυτὴν ἄγοντι καὶ τὰς ἄλλας
ἀποδείξεις κομίζοντι πρὸς τὸ βῆμα παρεῖναι, ἅπασι δὲ
φυλάττειν ἀπόρρητα πρὸς τοὺς ἔξω τοῦ συνεδρίου τὰ
βουλεύματα· μίαν εἶναι λέγων ἀσφάλειαν, εἰ μηδὲν ὁ
Μαίλιος ἀκούσειε τῶν περὶ αὐτοῦ λεγομένων τε καὶ
2 πραττομένων. διατάξας δὲ τἆλλα ὅσων ἐδεῖτο, μέχρι
δύσεως ἡλίου πάντας ἐν τῷ βουλευτηρίῳ κατασχὼν
σκότους ὄντος ἤδη διέλυσε τὸν σύλλογον· ὡς δὲ μέση
νὺξ ἐγένετο, προελθὼν ἐκ τῆς οἰκίας .... ἐξῄει περὶ
τὸν ὄρθρον τοὺς ἐπιλέκτους ἀμφοτέρων τῶν ὑπάτων
3 ἐπαγόμενος καὶ αὐτοὺς τοὺς ὑπάτους. οὗτοι μὲν οὖν

7 μετέωρον Esc. corr. Müller 11 post ἱππάρχην lacunam Müller significavit | ἔχοντι in ἔχοντα mutandum non esse sequentem dativum τοῖς δὲ βουλευταῖς suadere Müller censet, mutavit Naber Mnem. 30, 258 | fortasse ἀποδείξας vel καλέσας ἐκέλευσε vel tale quid post ἱππάρχην supplendum esse Müller censet 19 ὅσων ἔδει τότε c. Kiessling 22 post οἰκίας hiatum Feder notavit | ἐξίει Esc. 23 ὑπ' ἀμφοτέρων c. Kiessling

τὸ Καπιτώλιον ἅμα τοῖς βουλευταῖς ἕωθεν κατειληφότες ἐφρούρουν· ὁ δὲ Μαίλιος οὐδὲν ἀκηκοὼς τούτων ἡμέρας γενομένης προελθὼν εἰς τὴν ἀγορὰν ἐχρημάτιζε τοῖς δεομένοις ἐπὶ τοῦ βήματος καθεζόμενος· καὶ μετ' οὐ πολὺ παρῆν ὁ ἵππαρχος Σερουίλιος πρὸς αὐτὸν ἄγων τοὺς ἀκμαιοτάτους τῶν ἱππέων ἔχοντας ὑπὸ τοῖς ἱματίοις ξίφη καὶ στὰς πλησίον αὐτοῦ λέγει· 4 ὁ δικτάτωρ σε κελεύει, Μαίλιε, πρὸς αὐτὸν ἥκειν· κἀκεῖνος ὑποτυχών, ποῖος, ἔφη, κελεύει με, Σερουίλιε, δικτάτωρ πρὸς αὐτὸν ἐλθεῖν, ὁ ποῦ καὶ πότε γενόμενος; καὶ ἅμα διαταραχθεὶς περιέβλεψεν εἰς τοὺς περὶ τὸ βῆμα. ἀφασίας δὲ ἅπαντας κατασχούσης διὰ τὸ μηδένα γιγνώσκειν τὰ πραχθέντα ὑπὸ τῆς βουλῆς λέγει πάλιν ὁ Σερουίλιος· εἰσηγγέλθης χθὲς εἰς τὴν βουλήν, ὦ Μαίλιε, νεωτέροις ἐπιχειρεῖν πράγμασιν, ἴσως οὐκ ἀληθῶς· οὐδενὸς γὰρ ἄξιον ἀπὸ τῆς αἰτίας προκαταγιγνώσκειν. 5 ταύτην ἐξετάσαι τὴν μήνυσιν ἡ βουλὴ προελομένη δικτάτορος ἔφησε δεῖν τοῖς πράγμασιν, ὡς οὐ τὸν ἐλάχιστον τῶν κινδύνων τρέχουσα, καὶ ἀπέδειξε τῆς ἐξουσίας ταύτης κύριον Λεύκιον Κοίντιον Κικιννᾶτον, ὃν οἶσθα δήπου καὶ σὺ κράτιστον ὄντα τῶν πατρικίων καὶ δὶς ἤδη ταύτην ἀνεπιλήπτως τετελεκότα τὴν ἀρχήν. 6 οὗτος ὁ ἀνὴρ δικαστήριόν σοι καθίσαι καὶ λόγον ἀποδοῦναι βουλόμενος ἀπέσταλκεν ἡμᾶς, ἐμὲ τὸν ἵππαρχον ἅμα τοῖσδε τοῖς ἀνδράσιν, ἄξοντας σε ἀσφαλῶς ἐπὶ τὴν ἀπολογίαν. εἰ δὲ μηδὲν ἀδικεῖν πέποιθας, ἴθι καὶ λέγε τὰ δίκαια περὶ σαυτοῦ πρὸς

1 ἔξωθεν Esc. ἕωθεν Müller  6 ἐπὶ Esc. ὑπὸ Müller
10 ὅπου Esc. corr. Feder  19 τρέχουσι c. dubitanter Kiessling
25 ἄξοντα Esc. Feder ἄξοντας Müller

*ρόταται λογοποιεῖν ἐτόλμων ἐν ταῖς ἑξῆς ἡμέραις ὡς ἀνηρπασμένου πρὸς τῶν δυνατῶν τοῦ Μαιλίου καὶ διαστασιάζειν τὸν δῆμον ἐπεχείρουν· οὓς ἀφανεῖ θανάτῳ διαχρησάμενος ὁ δικτάτωρ, ἐπειδὴ κατέπαυσε τοῦ θορύβου, τὴν ἀρχὴν ἀποτίθεται.*

2 *Οἱ μὲν δὴ τὰ πιθανώτατά μοι δοκοῦντες γράφειν περὶ τῆς Μαιλίου τελευτῆς οὕτω παραδεδώκασι· λεγέσθω δὲ καὶ ὁ δοκῶν ἧττον εἶναί μοι πιθανὸς λόγος, ᾧ κέχρηται Κίγκιος καὶ Καλπούρνιος, ἐπιχώριοι συγγραφεῖς· οἵ φασιν οὔτε δικτάτορα ὑπὸ τῆς βουλῆς ἀποδειχθῆναι τὸν Κοίντιον οὔτε ἱππάρχην ὑπὸ τοῦ*
3 *Κοιντίου τὸν Σερουίλιον. γενομένης δὲ μηνύσεως ὑπὸ τοῦ Μηνυκίου τοὺς παρόντας ἐν τῷ συνεδρίῳ πιστεύσαντας ἀληθῆ τὰ λεγόμενα εἶναι, γνώμην ἀποδειξαμένου τῶν πρεσβυτέρων τινὸς ἄκριτον ἦ μὴν ἀποκτεῖναι τὸν ἄνδρα παραχρῆμα πεισθέντας,* [*καὶ*] *οὕτω τὸν Σερουίλιον ἐπὶ τοῦτο τάξαι τὸ ἔργον, νέον ὄντα*
4 *καὶ κατὰ χεῖρα γενναῖον. τοῦτον δέ φασι λαβόντα τὸ ξιφίδιον ὑπὸ μάλης ἐλθεῖν πρὸς τὸν Μαίλιον πορευόμενον ἐκ τῆς ἀγορᾶς καὶ προσελθόντα εἰπεῖν, ὅτι βούλεται περὶ πράγματος ἀπορρήτου καὶ μεγάλου διαλεχθῆναι πρὸς αὐτόν. κελεύσαντος δὲ τοῦ Μαιλίου μικρὸν ἀποχωρῆσαι τοὺς ἐγγὺς αὐτῷ παρόντας, ἐπειδὴ*

1 *ἐν ταῖς ἐν ταῖς* Esc. 4 *τοῦ θορύβου* Esc. *τὸν θόρυβον* c. Feder cf. Plato Politicus p. 294 E 6 *μου* Esc. 9 *κέχριται κίρκεος καὶ καλπούρνινος* Esc. *κέχρηνται* vel *κέχρηται Κίγκιός τε καὶ Καλπούρνιος* Feder *κέχρηται* Müller | *καὶ ἄλλοι ἐπιχώριοι* c. Kiessling de Dion. Hal. Ant. auct. lat. p. 15 14 *καὶ* ante *γνώμην* inserendum esse Müller censet 15 *ἤμεν* Esc. 16 *πεισθέντες* Esc. | *καὶ* del. Müller | *ἦ μὴν* delendum et pro *πεισθέντας* scribendum esse *πεισθῆναι* Kayser Fleck. Ann. 1870 (101) 727 censet 20 *προελθόντα* Esc. *προσελθόντα* Kiessling

μονωθέντα τῆς φυλακῆς ἔλαβε, γυμνώσαντα τὸ ξίφος βάψαι κατὰ τῆς σφαγῆς· τοῦτο δὲ πράξαντα δρόμῳ χωρεῖν εἰς τὸ βουλευτήριον ἔτι συγκαθημένων τῶν συνέδρων, ἔχοντα τὸ ξίφος ᾑμαγμένον κεκραγότα πρὸς τοὺς διώκοντας, ὅτι κελευσθεὶς ὑπὸ τῆς βουλῆς ἀνῄρηκε τὸν τύραννον. ἀκούσαντας δὲ τὸ τῆς βουλῆς 5 ὄνομα τοὺς ὡρμηκότας παίειν τε καὶ βάλλειν αὐτὸν ἀποτραπέσθαι καὶ μηδὲν εἰς αὐτὸν παρανομῆσαι. ἐκ τούτου καὶ τὴν ἐπωνυμίαν τὸν Ἅλαν αὐτῷ τεθῆναι λέγουσιν, ὅτι τὸ ξίφος ἔχων ὑπὸ μάλης ἦλθεν ἐπὶ τὸν ἄνδρα· ἄλας γὰρ καλοῦσι Ῥωμαῖοι τὰς μάλας.

6 Ἀναιρεθέντος δὲ τοῦ ἀνδρὸς καθ' ἕτερον τρόπον συνελθοῦσα ἡ βουλὴ τήν τε οὐσίαν αὐτοῦ εἶναι δημοσίαν ἐψηφίσατο καὶ τὴν οἰκίαν ἕως ἐδάφους κατασκαφῆναι. οὗτος ὁ τόπος ἔτι καὶ εἰς ἐμὲ ἦν ἐν πολλαῖς ταῖς πέριξ οἰκίαις μόνος ἀνειμένος ἔρημος, καλούμενος ὑπὸ Ῥωμαίων Αἰκυμήλιον· ὡς ἂν ἡμεῖς εἴποιμεν ἰσόπεδον Μήλιον. αἶκον γὰρ ὑπὸ Ῥωμαίων τὸ μηδεμίαν ἔχον ἐξοχὴν καλεῖται· τόπον οὖν τινα Αἶκον Μήλιον ἐξ ἀρχῆς κληθέντα, ὕστερον συμφθαρέντων [δὲ] ἀλλήλοις κατὰ τὴν μίαν ἐκφορὰν τῶν ὀνομάτων Αἰκυμήλιον ἐκάλεσαν. τῷ δὲ τὴν κατὰ τοῦ

4 καὶ κεκραγότα Kiessling 11 μάλας] μάχας Esc. 12 *καθ' ἑκάτερον Esc. καθ' ὁπότερον δὴ τρόπον vel καθ' ὁπότερον οὖν τρόπον c. Garrer Obs. p. 48 καθ' ἕτερον ego 18 sqq. τὸ ἰσόπεδον Αἰκυμίλιον Ῥωμαῖοι καλοῦσιν· αἶκον γὰρ τὸ μηδεμίαν ἔχον ἐξοχὴν λέγουσι· τόπον οὖν τινα Μήλιον ἐξ ἀρχῆς κληθέντα ὕστερον συμφθαρέντων ἀλλήλοις κατὰ τὴν μίαν ἐκφορὰν τῶν ὀνομάτων Αἰκυμήλιον ἐκάλεσαν Ambr. 18 ἰσόπεδον μένον Esc. l. μήλιον c. Kiessling 19 verba τόπον οὖν τινα αἶκον μήλιον ἐξ ἀρχῆς κληθέντα ὕστερον om. Esc. add. Ambr. Struvius correxit, τόπον οὖν τὸν Μαιλίου c. Feder 21 δὲ om. Ambr. | κατὰ τὴν εἰς μίαν λέξιν συνεκφορὰν c. Struve 22 αἰκύμηνον

μετρῶν τὸν μόδιον· ὅσους δὲ αἴσθοιτο παντάπασιν
ἀδυνάτους καὶ μηδ' ὑπὲρ τῆς ἐφημέρου τροφῆς ἔχον-
τας προέσθαι τὸ διάφορον ἄνευ τιμῆς χαριζόμενος.
3 ταύτῃ τῇ φιλανθρωπίᾳ τὸν δῆμον ἀναλαβὼν καὶ θαυ-
μαστὴν ὅσην δόξαν ἀπενεγκάμενος ᾤχετο πάλιν ἐμπο-
ρευσόμενος ἑτέρας ἀγοράς· καὶ παρῆν οὐ διὰ μακροῦ
ποταμηγοὺς ἄγων σκάφας πολλὰς πάνυ μεστὰς τροφῆς
4 καὶ τὸν αὐτὸν τρόπον τοῖς ⟨πολίταις⟩ ἐμέτρει. οἱ δὲ
πατρίκιοι ταῦτα πράττοντα δρῶντες αὐτὸν ⟨δι'⟩ ὑπ-
οψίας τε ἐλάμβανον τῆς ἄγαν φιλοτιμίας τοῦ ἀνδρὸς
οὐδὲν ἀγαθὸν ἀπολαύσειν οἰόμενοι καὶ συνιστάμενοι
κατὰ τὴν ἀγορὰν ἐσκόπουν, ὅντινα χρὴ τρόπον εὐπρε-
πέστερον ἄνευ κινδύνου παῦσαι τούτων αὐτὸν τῶν
πολιτευμάτων· κρύφα μὲν τὸ πρῶτον καὶ κατ' ὀλίγους
συνιόντες καὶ διαλεγόμενοι πρὸς ἀλλήλους, ἔπειτα καὶ
ἐκ τοῦ φανεροῦ καταβοῶντες, ἐπειδὴ βαρύς τε καὶ
ἀφόρητος ἦν ἔργα τε πράττων ὑπερηφανίας μεστὰ καὶ
5 λόγους διεξιὼν αὐθάδεις ὑπὲρ ἑαυτοῦ· ὅς γε πρῶτον
μὲν καθεζόμενος ἐπὶ βήματος περιφανοῦς, ὥσπερ ἔθος
ἦν τοῖς τὰς ἀρχὰς ἔχουσιν, ἐχρημάτιζε τοῖς προσιοῦσι
δι' ἡμέρας περὶ τὴν σιτοδοσίαν, ἐκβαλὼν τῆς τιμῆς
ταύτης τὸν ἀποδειχθέντα ἔπαρχον ὑπὸ τῆς βουλῆς·
6 ἔπειτα συνεχεῖς ποιούμενος ἐκκλησίας οὐκ ὂν ἐν ἔθει
Ῥωμαίοις ἰδιώτην ἐκκλησίαν συνάγειν πολλὰ μὲν τοῦ

7 ποταμιγοὺς Esc. | μετὰ Esc. μεστὰς Feder 8 πολίταις add. Feder 9 *αὐτὸν ὑποψίας τε Esc. correxi cf. Fleck. Ann. 1883 (127) 850 11 *οὐδὲν ἀγαθοῦ Esc. οὐδενὸς ἀγαθοῦ Kiessling οὐδὲν ἀγαθὸν ego; cf. Aar. Progr. p. 25, Hertlein Progr. Wertheim 1873, 8 12 εὐπρεπέστερον] εὐπρεπέστατ' c. Garrer Obs. p. 67 16 βαρὺς ἔτι Esc. βαρύτερος ἔτι vel βαρύς τε c. Müller 17 ὑπεριφανίας Esc. 19 ἔθος ἐστὶν Esc. teste Müllero 22 ὕπαρχον Esc. ἔπαρχον Feder 23 ἔπειτα δὲ Müller

Τραυματίας καὶ παρασχεδὸν ἐλθὼν ἀποθανεῖν. *Ambr.*

VIII. (8) Ἐν Ῥώμῃ χειμῶνος γενομένου βιαίου, ἔνθα ἡ ἐλαχίστη χιὼν κατενίφθη, οὐκ ἐλάττων ἦν ἑπτὰ ποδῶν τὸ βάθος. καὶ συνέπεσεν ἀνθρώπους τε ὑπὸ τοῦ νιφετοῦ διαφθαρῆναί τινας καὶ πρόβατα πολλὰ καὶ τῶν ἄλλων κτηνῶν καὶ ὑποζυγίων μοῖραν οὐκ ὀλίγην, τὰ μὲν ὑπὸ τοῦ κρυμοῦ σφακελίσαντα, τὰ δὲ νομῆς τῆς συνήθους ἀπορίᾳ. δένδρων τε καρ- 2
ποφόρων, ὅσα μὴ πέφυκεν ὑπερβολὰς νιφετῶν ὑπομένειν, τὰ μὲν εἰς τέλος ἐξηράνθη, τὰ δὲ ἐπικαέντα τοὺς βλαστοὺς ἄκαρπα ἐπὶ πολλοὺς χρόνους ἐγένετο. συνεχύθησάν τε καὶ τῶν οἰκιῶν συχναὶ καί τινες καὶ περιετράπησαν, μάλιστα δὲ ὅσαι ἐκ τῶν λίθων κατὰ τὴν διάλυσίν τε καὶ ἀπότηξιν τῆς χιόνος. τοῦτο τὸ 3
πάθος οὔτε πρότερόν ποτε γενόμενον ἐν ἱστορίας γραφῇ περὶ ταῦτα τὰ χωρία παρειλήφαμεν οὔθ' ὕστερον ἕως τοῦ καθ' ἡμᾶς χρόνου, μετρίῳ γέ τινι βορειότερα τοῦ μέσου, κατὰ τὸν ὑπὲρ Ἀθηνῶν γραφόμενον δι' Ἑλλησπόντου παράλληλον. τότε δὲ πρῶτον καὶ μόνον ἐξέβη τῆς εἰωθυίας κράσεως ἡ τοῦ περιέχοντος τήνδε τὴν γῆν φύσις. *Ambr.*

VIIII. (9) Ἑορτὰς ἦγον οἱ Ῥωμαῖοι τὰς καλουμένας τῇ ἐπιχωρίῳ γλώττῃ στρωμνὰς ὑπὸ τῶν Σιβυλλείων κελευσθέντες χρησμῶν. νόσος γάρ τις λοιμώδης γενομένη θεόπεμπτός τε καὶ ὑπὸ τέχνης ἀνθρωπίνης

4 κατενείφθη (= κατενίφθη) Ambr. κατηνέχθη Struve 12 ἐγένοντο Ambr. ἐγένετο Struve 13 *ἐμίχθησαν Ambr. — Kiesslingio teste ἐλέχθησαν — ἐνίφθησαν c. Struve ἐλύθησαν Kiessling συνεχύθησαν ego 15 διάλυσιν] διάχυσιν c. Naber Mnem. 30, 258 22 γῆν ἀέρος c. Kiessling

ἀνίατος εἰς ζήτησιν αὐτοὺς ἤγαγε τῶν χρησμῶν. 2 ἐκόσμησάν τε στρωμνὰς τρεῖς, ὡς ἐκέλευον οἱ χρησμοί, μίαν μὲν Ἀπόλλωνι καὶ Λητοῖ, ἑτέραν δὲ Ἡρακλεῖ καὶ Ἀρτέμιδι, τρίτην δὲ Ἑρμῇ καὶ Ποσειδῶνι· καὶ διετέλουν ἐφ' ἡμέρας ἑπτὰ δημοσίᾳ τε καταθύοντες καὶ ἰδίᾳ κατ' οἰκείαν δύναμιν ἅπαντες τοῖς θεοῖς ἀπαρχόμενοι, ἑστιάσεις τε λαμπροτάτας ἐπιτελοῦντες καὶ 3 ξένων τοὺς παρεπιδημοῦντας ὑποδεχόμενοι. (10) *Πείσων* δὲ ὁ τιμητικὸς ἐν ταῖς ἐνιαυσίοις ἀναγραφαῖς καὶ ταῦτ' ἔτι προστίθησιν· ὅτι λελυμένων μὲν τῶν θεραπόντων ὅσους πρότερον ἐν τοῖς δεσμοῖς εἶχον οἱ δεσπόται, πληθυούσης ὄχλου ξενικοῦ τῆς πόλεως, ἀναπεπταμένων τῶν οἰκιῶν διὰ ἡμέρας τε καὶ νυκτός, καὶ δίχα κωλύσεως εἰσιόντων εἰς αὐτὰς τῶν βουλομένων, οὔτε χρῆμα οὐδὲν ἀπολωλεκέναι τις ᾐτιάσατο οὔτε ἠδικῆσθαί τινα ὑπ' οὐδενός, καίτοι πολλὰ φέρειν εἰωθότων πλημμελῆ καὶ παράνομα τῶν ἑορταίων καιρῶν διὰ τὰς μέθας. *Ambr.*

X. (11) Οὐιεντανοὺς πολιορκούντων Ῥωμαίων περὶ τὴν ἐπιτολὴν τοῦ κυνός, ὅτε μάλιστα λίμναι τε ἐπιλείπουσι καὶ ποταμοὶ πάντες, ὅ τι μὴ μόνος ὁ Αἰγύπτιος Νεῖλος, λίμνη τις ἀπέχουσα τῆς Ῥώμης οὐ μεῖον ρκ' σταδίων ἐν τοῖς Ἀλβανοῖς καλουμένοις ὄρεσι, παρ' ᾗ τὸ ἀρχαῖον ἡ τῶν Ῥωμαίων μητρόπολις ᾤκειτο, οὔτε ὑετῶν γενομένων οὔτε νιφετῶν οὔτ' ἄλλης τινὸς αἰτίας ἀνθρώποις φανερᾶς, τοσαύτην ἔλαβεν ἐκ τῶν ἐν αὐτῇ ναμάτων ἐπίδοσιν, ὥστε πολλὴν μὲν ἐπι-

5 *καταθύοντες* Ambr., quam vocem aptam non esse Struve censet 12 *πληθυούσης δ'* c. Kiessling 13 *διὰ ἡμέρας* cf. Jacoby Aar. Progr. p. 7 17 *ἑορτάδων* Ambr. *ἑορταίων* Struve cf. Götzeler Animadv. II 30 22 *οὐ πλεῖον* c. Struve

κλύσαι τῆς παρορείου, πολλὰς δὲ οἰκήσεις γεωργικὰς καταβαλεῖν, τελευτῶσαν δὲ καὶ τὸν μεταξὺ τῶν ὀρῶν αὐλῶνα διασπάσαι καὶ ποταμὸν ἐκχέαι κατὰ τῶν ὑποκειμένων πεδίων ἐξαίσιον. (12) Τοῦτο μαθόντες οἱ 2
Ῥωμαῖοι κατ' ἀρχὰς μέν, ὡς δαιμονίου τινὸς μηνίοντος τῇ πόλει, θυσίαις ἐξιλάσασθαι τοὺς κατέχοντας τὸν τόπον θεοὺς καὶ δαίμονας ἐψηφίσαντο καὶ τοὺς ἐπιχωρίους μάντεις ἀνέκρινον, εἴ τι λέγειν ἔχουσιν· ἐπεὶ δ' οὔτε ἡ λίμνη τὴν ἑαυτῆς τάξιν ἀπελάμβανεν, οὔτε οἱ μάντεις ἀκριβὲς οὐδὲν ἔλεγον, ἀλλὰ τῷ θεῷ χρῆσθαι παρῄνουν, ἐπὶ τὸ Δελφικὸν μαντεῖον ἀπέστειλαν θεοπρόπους. *Ambr.*

XI. (13) Ἐν δὲ τῷ μεταξὺ χρόνῳ Οὐιεντανῶν τις ἔμπειρος τῆς ἐπιχωρίου μαντικῆς διὰ προγόνων ἐτύγχανε φυλακὴν ἔχων τοῦ τείχους, ἐγεγόνει δέ τις αὐτῷ τῶν ἀπὸ τῆς Ῥώμης λοχαγῶν ἐκ παλαιοῦ γνώριμος. οὗτος ὁ λοχαγὸς ἐγγὺς τοῦ τείχους ποτὲ γενόμενος καὶ τοὺς συνήθεις ἀσπασμοὺς τῷ ἀνδρὶ ἀποδοὺς οἰκτείρειν αὐτὸν ἔφη τῆς καταληψομένης ἅμα τοῖς ἄλλοις συμφορᾶς, ἐὰν ἡ πόλις ἁλῷ. καὶ 2
ὁ Τυρρηνὸς ἀκηκοὼς τὴν ὑπέρχυσιν τῆς Ἀλβανίδος λίμνης καὶ τὰ παλαιὰ περὶ αὐτῆς προειδὼς θέσφατα ἀναγελάσας· οἷον, ἔφησεν, ἐστὶν ἀγαθὸν τὸ προειδέναι τὰ μέλλοντα. ὑμεῖς δὲ κατὰ τὴν ἀγνωσίαν τῶν ἀποβησομένων πόλεμον ἀτελῆ καὶ πόνους ἀνηνύτους ἀντλεῖτε τὴν Οὐιεντανῶν πόλιν ἀναστήσειν οἰόμενοι. εἰ δέ τις ὑμῖν ἐδήλωσεν, ὅτι τῇ πόλει τῇδε

2 καταλαβεῖν Ambr. καταβαλεῖν Struve | τελευτῶσα Ambr. corr. Struve 6 ἐξιλάσκεσθαι Ambr. A 11 ἀπέστειλαν add. Ambr. Q 14 διὰ προγόνων] ἐκ vel ἀπὸ προγόνων c. Struve 26 τὴν add. Ambr. Q om. Ambr. A

τότε πέπρωται ἁλῶναι, ὅταν ἡ πρὸς Ἀλβανῷ λίμνη σπανίσασα τῶν αὐθιγενῶν ναμάτων μηκέτι μίσγηται θαλάττῃ, ἐπαύσασθε ἂν αὐτοί τε δαπανώμενοι καὶ
3 ἡμᾶς ἐνοχλοῦντες. ταῦτα ὁ Ῥωμαῖος μαθὼν πολὺς ἐν τῷ σκοπεῖν καθ' ἑαυτὸν γενόμενος, τότε μὲν ἀπῄει, (14) τῇ δ' ἑξῆς προειπὼν τοῖς χιλιάρχοις, ἃ διενοεῖτο, παρῆν ἐπὶ τὸν αὐτὸν τόπον ἄνοπλος, ὥστε μηδεμίαν ὑποψίαν ἐπιβουλῆς τὸν Τυρρηνὸν ὑπὲρ αὐτοῦ λαβεῖν. χρησάμενος δὲ τοῖς συνήθεσιν ἀσπασμοῖς πρῶτον μὲν ὑπὲρ τῆς κατεχούσης τὸ Ῥωμαικὸν στρατόπεδον ἀμηχανίας διελέγετο ἄλλ', ἐφ' οἷς ἡσθήσεσθαι τὸν Τυρρηνὸν ὑπελάμβανεν, ἔπειτα ἐξηγητὴν αὐτῷ γενέσθαι ἠξίου σημείων τινῶν καὶ τεράτων
4 νεωστὶ τοῖς χιλιάρχοις γεγονότων. πείθεται τοῖς λόγοις ὁ μάντις οὐδεμίαν δεδοικὼς ἐξαπάτην καὶ τοὺς συνόντας αὐτῷ μεταστῆναι κελεύσας αὐτὸς ἠκολούθει μόνος τῷ λοχαγῷ. ὁ δὲ Ῥωμαῖος ὑπαγόμενος αὐτὸν ἀπωτέρω τοῦ τείχους διὰ τῶν πρὸς ἀπάτην μηχανηθέντων λόγων, ὡς ἐγγὺς ἐγένετο τοῦ περιτειχίσματος, περιλαβὼν ταῖς χερσὶν ἀμφοτέραις μέσον αἴρεταί τε καὶ πρὸς τὸ Ῥωμαικὸν ἀποφέρεται στρατόπεδον. *Ambr.*

XII. (15) Τοῦτον τὸν ἄνδρα οἱ χιλίαρχοι λόγοις τε θεραπεύοντες καὶ βασάνων ἀπειλαῖς δεδιττόμενοι ἅπαντα παρεσκεύασαν ἐξειπεῖν, ἃ περὶ τῆς Ἀλβανίδος λίμνης ἀπέκρυπτεν· εἶτα καὶ πρὸς τὴν βουλὴν αὐτὸν

1 τότε add. Ambr. Q om. Ambr. A 2 μίσγεσθαι Ambr. A 5 σκοπῷ Ambr. σκοπεῖν Sintenis Em. Dion. III 4 11 ἄλλ' Ambr. ἄττ' Struve πόλλ' in Zarnckii Litterar. Univers. 1870, 893 13 αὐτῷ Ambr. αὑτῷ Struve 16 συνιόντας Ambr. corr. Struve 20 περιβαλὼν Ambr. corr. Struve | αἴρεται pro αἴρει et ἀποφέρεται pro ἀποφέρει in suspicionem Struve vocat

ἀναπέμπουσι. τοῖς δ' ἐκ τοῦ συνεδρίου οὐχ <ἡ>
ὁμοία παρέστη δόξα, ἀλλὰ τοῖς μὲν ἐδόκει πανοῦργός
τις εἶναι καὶ γόης ὁ Τυρρηνὸς καὶ καταψεύδεσθαι
τοῦ δαιμονίου τὰ περὶ τὸν χρησμόν, τοῖς δ' ἀπὸ πάσης
ἀληθείας εἰρηκέναι. (16) Ἐν τοιαύτῃ δ' ἀμηχανίᾳ 2
τῆς βουλῆς ὑπαρχούσης παρῆσαν οἱ προαποσταλέντες
εἰς Δελφοὺς θεόπροποι χρησμοὺς κομίζοντες τοῖς ὑπὸ
τοῦ Τυρρηνοῦ πρότερον ἀπηγγελμένοις συνᾴδοντας· ὅτι
θεοὶ καὶ δαίμονες οἱ λαχόντες τὴν Οὐιεντανῶν πόλιν
τοσοῦτον αὐτοῖς ἐγγυῶνται χρόνον ἀσάλευτον φυλάξαι
τὴν ἐκ προγόνων παραδοθεῖσαν εὐδαιμονίαν, ὅσον ἂν
διαμένωσιν αἱ πηγαὶ τῆς ἐν Ἀλβανῷ λίμνης ὑπερχεό-
μεναι καὶ μέχρι θαλάττης ἀπορρέουσαι· ὅταν δ' ἐκεῖναι 3
φύσιν τε τὴν ἑαυτῶν καὶ ὁδοὺς τὰς ἀρχαίας ἐκλιποῦσαι
καθ' ἑτέρας ἐκτραπῶσιν, ὡς μηκέτι μίσγεσθαι τῇ
θαλάττῃ, τότε καὶ τὴν πόλιν αὐτῶν ἀνάστατον ἔσεσθαι·
τοῦτο δ' οὐκ εἰς μακρὰν ὑπὸ Ῥωμαίων γενήσεσθαι,
ἐὰν ὀρύγμασι καθ' ἕτερα χωρία γενομένοις ἐκτρέψωσι
τὴν πλήμμυραν τῶν ὑδάτων εἰς τὰ πρόσω τῆς
θαλάττης πεδία. ταῦτα μαθόντες οἱ Ῥωμαῖοι εὐθὺς
ἐπέστησαν τοῖς ἔργοις τοὺς χειροτέχνας. *Ambr.*

XIII. (17) Ὡς δὲ ταῦτ' ἤκουσαν Οὐιεντανοὶ παρ'
αἰχμαλώτου τινός, ἐπικηρυκεύεσθαι πρὸς τοὺς πο-
λιορκοῦντας ἤθελον περὶ καταλύσεως τοῦ πολέμου,
πρὶν ἁλῶναι κατὰ κράτος τὴν πόλιν, καὶ ἀποδείκνυν-
ται πρέσβεις οἱ πρεσβύτατοι. ἀποψηφισαμένης δὲ 2

1 ἡ add. Struve 10 φυλάξειν Hertlein Hermes X 421 16 τότε addidi ex Ambr. Q om. Ambr. A 18 γενομένοις] τεινομένοις c. Struve 19* πλημμύραν Ambr. omnesque editores; cf. Buttmann Ausf. Sprachlehre 1 p. 85. 89, Lobeck Path. p. 273

ῥότατοι λογοποιεῖν ἐτόλμων ἐν ταῖς ἑξῆς ἡμέραις ὡς ἀνηρπασμένου πρὸς τῶν δυνατῶν τοῦ Μαιλίου καὶ διαστασιάζειν τὸν δῆμον ἐπεχείρουν· οὓς ἀφανεῖ θανάτῳ διαχρησάμενος ὁ δικτάτωρ, ἐπειδὴ κατέπαυσε τοῦ θορύβου, τὴν ἀρχὴν ἀποτίθεται.

2 Οἱ μὲν δὴ τὰ πιθανώτατά μοι δοκοῦντες γράφειν περὶ τῆς Μαιλίου τελευτῆς οὕτω παραδεδώκασι· λεγέσθω δὲ καὶ ὁ δοκῶν ἧττον εἶναί μοι πιθανὸς λόγος, ᾧ κέχρηται Κίγκιος καὶ Καλπούρνιος, ἐπιχώριοι συγγραφεῖς· οἵ φασιν οὔτε δικτάτορα ὑπὸ τῆς βουλῆς ἀποδειχθῆναι τὸν Κοίντιον οὔτε ἱππάρχην ὑπὸ τοῦ
3 Κοιντίου τὸν Σερουίλιον. γενομένης δὲ μηνύσεως ὑπὸ τοῦ Μηνυκίου τοὺς παρόντας ἐν τῷ συνεδρίῳ πιστεύσαντας ἀληθῆ τὰ λεγόμενα εἶναι, γνώμην ἀποδειξαμένου τῶν πρεσβυτέρων τινὸς ἄκριτον ἦ μὴν ἀποκτεῖναι τὸν ἄνδρα παραχρῆμα πεισθέντας, [καὶ] οὕτω τὸν Σερουίλιον ἐπὶ τοῦτο τάξαι τὸ ἔργον, νέον ὄντα
4 καὶ κατὰ χεῖρα γενναῖον. τοῦτον δέ φασι λαβόντα τὸ ξιφίδιον ὑπὸ μάλης ἐλθεῖν πρὸς τὸν Μαίλιον πορευόμενον ἐκ τῆς ἀγορᾶς καὶ προσελθόντα εἰπεῖν, ὅτι βούλεται περὶ πράγματος ἀπορρήτου καὶ μεγάλου διαλεχθῆναι πρὸς αὐτόν. κελεύσαντος δὲ τοῦ Μαιλίου μικρὸν ἀποχωρῆσαι τοὺς ἐγγὺς αὐτῷ παρόντας, ἐπειδὴ

1 ἐν ταῖς ἐν ταῖς Esc. 4 τοῦ θορύβου Esc. τὸν θόρυβον c. Feder cf. Plato Politicus p. 294 E 6 μου Esc. 9 κέχριται κίρκεος καὶ καλπούρνινος Esc. κέχρηνται vel κέχρηται Κίγκιός τε καὶ Καλπούρνιος Feder κέχρηται Müller | καὶ ἄλλοι ἐπιχώριοι c. Kiessling de Dion. Hal. Ant. auct. lat. p. 15 14 καὶ ante γνώμην inserendum esse Müller censet 15 ἦμεν Esc. 16 πεισθέντες Esc. | καὶ del. Müller | ἦ μὴν delendum et pro πεισθέντας scribendum esse πεισθῆναι Kayser Fleck. Ann. 1870 (101) 727 censet 20 προελθόντα Esc. προσελθόντα Kiessling

ἦν καταφανής, πρῶτον μὲν ἐμακάρισεν ἑαυτὸν τῆς παρούσης εὐτυχίας, ὅτι καθελεῖν αὐτῷ μεγάλην καὶ εὐδαίμονα πόλιν ἐξεγένετο δίχα πόνου, ἣ Τυρρηνίας μὲν ἀνθούσης τότε καὶ πλεῖστον τῶν κατοικούντων τὴν Ἰταλίαν ἐθνῶν δυναμένης οὐκ ἐλαχίστη μοῖρα ἦν, Ῥωμαίοις δὲ περὶ τῆς ἡγεμονίας διαφερομένη καὶ πολλοὺς ὑπομείνασα πολέμους ἄχρι δεκάτης γενεᾶς διετέλεσεν, ἐξ οὗ δ' ἤρξατο πολεμεῖν καὶ πολιορκεῖσθαι συνεχῶς, δέκα διήνεγκε τὴν πολιορκίαν ἔτη πάσης πειραθεῖσα τύχης. (20) Ἔπειτ' ἐνθυμηθείς, 2
ὡς ἐπὶ μικρᾶς αἰωρεῖται ῥοπῆς ἡ τῶν ἀνθρώπων εὐδαιμονία, καὶ βέβαιον οὐδὲν διαμένει τῶν ἀγαθῶν, διατείνας εἰς οὐρανὸν τὰς χεῖρας εὔξατο τῷ τε Διὶ καὶ τοῖς ἄλλοις θεοῖς, μάλιστα μὲν ἀνεπίφθονον ἑαυτῷ τε καὶ τῇ πατρίδι γίνεσθαι τὴν παροῦσαν εὐδαιμονίαν· εἰ δέ τις ἔμελλε κοινῇ συμφορὰ τὴν Ῥωμαίων πόλιν ἢ τὸν αὐτοῦ βίον καταλαμβάνειν ἀντίπαλος τῶν παρόντων ἀγαθῶν, ἐλαχίστην γενέσθαι ταύτην καὶ μετριωτάτην. *Ambr.*

XV. (21) Ἦν δὲ ἡ Οὐιενταναῶν πόλις οὐθὲν ὑποδεεστέρα τῆς Ῥώμης ἐνοικεῖσθαι γῆν τε πολλὴν καὶ πολύκαρπον ἔχουσα, τὴν μὲν ὀρεινήν, τὴν δὲ πεδιάδα, καὶ τὸν ὑπερκείμενον ἀέρα καθαρώτατον καὶ

5 δυνάμεις Ambr. corr. Maius 7 πολλοὺς ὑπομείνασα πολέμους Maius; Kiessling, qui πολέμους ab Ambr. abesse testatur, inseruit post πολλούς | ἄχρι cf. Jacoby Aar. Progr. p. 5 8 πολεμεῖν corruptum esse censet Struve, qui ἐγκλείεσθαι vel tale quid conicit; πολεμεῖν del. Kayser Fleck. Ann. 1870 (101) 727; πονεῖν vel πολέμῳ πονεῖν Hertlein Progr. Wertheim 1873, 8; nihil mutandum est 16 ἔμελλε Ambr. μέλλοι vel μέλλει Struve | κοινῇ Ambr. καινὴ Struve | τῶν Ῥωμαίων Ambr. 23 ὑπερκείμενον Ambr. περικείμενον Struve

*Μαιλίου μήνυσιν ἀποδόντι Μηνυκίῳ στάσιν ἀνδριάντος ἐψηφίσατο ἡ βουλή.* Esc. et pag. 223, 18—22 *Ambr.*

V. (2) *Τυρρηνῶν καὶ Φειδηναίων καὶ Οὐιεντανῶν
πολεμούντων Ῥωμαίοις καὶ Λάρου Τολουμνίου τοῦ
βασιλέως Τυρρηνῶν πανδεινὰ ποιοῦντος κατ' αὐτῶν
χιλίαρχός τις Ῥωμαῖος, Αὖλος Κορνήλιος Κόσσος ἐπί-
κλησιν, ἐλαύνει τὸν ἵππον κατὰ τοῦ Τολουμνίου· καὶ
ἐπειδὴ ἀγχοῦ ἐγένετο, φέρουσι κατ' ἀλλήλων τὰ δό-*
2 *ρατα. ὁ μὲν οὖν Τολούμνιος τὸν ἵππον αὐτοῦ παίει
διὰ τοῦ στήθους, ὃς ἀναχαιτίσας ῥιπτεῖ τὸν ἐπιβάτην·
ὁ δὲ Κορνήλιος διὰ θυρεοῦ τε καὶ θώρακος ἐλάσας
τὴν αἰχμὴν εἰς τὰ πλευρὰ περιτρέπει τὸν Τολούμνιον
ἀπὸ τοῦ ἵππου, καὶ ἔτι διανισταμένου φέρει διὰ*
3 *⟨τοῦ⟩ βουβῶνος τὸ ξίφος. ἀποκτείνας δὲ αὐτὸν καὶ
τὰ σκῦλα ἀφελόμενος οὐ μόνον τοὺς ὁμόσε χωροῦντας
ἱππεῖς τε καὶ πεζοὺς ἀνέστειλεν, ἀλλὰ καὶ τοὺς ἐπὶ
τῶν κεράτων ἀμφοτέρων ἀντέχοντας εἰς ἀθυμίαν καὶ
δέος κατέστησεν. Ambr.*

VI. (3) *Δεύτερον ὑπατεύοντος Αὔλου Κορνηλίου Κόσσου καὶ Τίτου Κοιντίου αὐχμῷ μεγάλῳ κακωθεῖσα ἡ γῆ πάντων ἐσπάνισεν οὐ μόνον τῶν ὀμβρίων, ἀλλὰ καὶ τῶν ναματιαίων ὑδάτων· ἐκ δὲ τούτου προβάτων μὲν καὶ ὑποζυγίων καὶ βοῶν ἐπίλειψις παντελὴς ἐγένετο, εἰς δὲ τοὺς ἀνθρώπους νόσοι κατέσκηψαν πολλαὶ μὲν καὶ ἄλλαι, μάλιστα δὲ ἡ ψωρώδης καλουμένη,*

Esc. cf. O. Richter Topographie d. Stadt Rom p. 192[2] 4 *τολουρουμνίου* Ambr. 5 *πάνδεινα ποιοῦντος* corrupta esse Struvius opusc. sel. I 173 censet; an Dionysius *πανδημεὶ ἐπιόντος* scripsit? 14 *τοῦ* add. Struve | *αὐτὸν* add. Ambr. 16 *ἱππῆς* Ambr. 22 *ναματίων* Ambr. *ναματιαίων* Struve 23 *ἐπίλειψις* Ambr. *ἐπίληψις* Maius

δεινὰς ὀδύνας παρέχουσα τοῖς χρωσὶ κατὰ τοὺς ὀδαξησμοὺς καὶ πρὸς τὰς ἑλκώσεις ἔτι μᾶλλον ἀγριαινομένη· πάθος ἐλεεινὸν ἐν τοῖς πάνυ καὶ τοῦ ταχίστου τῶν ὀλέθρων αἴτιον. *Ambr.*

2 (4) Οὐκ ἐδόκει τοῖς προεστηκόσι τοῦ συνεδρίου βαθεῖαν εἰρήνην καὶ πολυχρόνιον ἄγειν σχολὴν ἐνθυμουμένοις, ὅτι ῥᾳθυμία καὶ τρυφὴ συνεισπορεύεται ταῖς πόλεσι μετὰ τῆς εἰρήνης, καὶ ἅμα τὰς πολιτικὰς ὀρρωδοῦσι ταραχάς. καὶ αὗται γὰρ ἅμα τῷ καταλυθῆναι τοὺς ὑπερορίους πολέμους χαλεπαὶ καὶ συνεχεῖς ἐξ ἁπάσης προφάσεως ἀνίσταντο.

3 Κρεῖττον ταῖς φιλανθρωπίαις περιεῖναι τῶν ἐχθρῶν ἢ ταῖς τιμωρίαις, δι' ἃς καὶ μηδὲν ἕτερον αἱ γέ τοι παρὰ τῶν θεῶν ἐλπίδες ἡδίους αὐτοῖς ὑπάρχουσιν. *Ambr.*

4 (5) Ὡς ἔμαθε τοὺς πολεμίους ἐκ τῶν κατόπιν προσιόντας, ἐπιστρέφειν μὲν ὀπίσω περιεχόμενος ὑπὸ τῶν πολεμίων πανταχόθεν ἀπέγνω ἐνθυμούμενος, ὅτι κινδυνεύσουσιν ἅπαντες οὐθὲν ἀποδειξάμενοι γενναῖον ἔργον αἴσχιστα διαφθαρῆναι, ὀλίγοι τε πρὸς πολλοὺς μαχόμενοι καὶ τεθωρακισμένοι πρὸς ἐλαφρούς. ἰδὼν δὲ ὄχθον τινὰ ὑψηλὸν ἐπιεικῶς, ὃς ἦν αὐτῷ οὐ πρόσω, τοῦτον ἔγνω καταλαβέσθαι. *Ambr.*

(6) Ἀγρίππας Μενήνιος καὶ Πόπλιος Λουκρήτιος καὶ Σερούιος Ναύτιος, χιλίαρχοι † τιμηθέντες, ἐπί-

6 μαθεῖν Ambr. βαθεῖαν Struve 8 ταῖς πολιτικαῖς — ταραχαῖς Ambr. corr. Struve 11 ἀνίστανται c. Kiessling 13 καὶ Ambr. κεὶ Struve cf. Jacoby Aar. Progr. p. 14 14 ἐλπίδες ἥττους c. Kiessling 23 τοῦτον] αὐτῶν c. Kiessling 24 λουκράτιος Ambr. 25 σέρριος Ambr. | χιλίαρχοι τιμηθέντες Ambr. χιλιαρχίᾳ τ. Cobet Obs. p. 213 qui addit: usitatius est

θεσίν τινα κατὰ τῆς πόλεως γενομένην ὑπὸ δούλων
2 ἐφώρασαν. ἔμελλον δὲ οἱ μετέχοντες τῆς συνωμοσίας
πῦρ ἐμβαλόντες ταῖς οἰκίαις κατὰ πολλοὺς ἅμα τόπους
νύκτωρ, ὁπότε μάθοιεν ἐπὶ τὴν τῶν καιομένων βοη-
θείαν ὡρμηκότας ἅπαντας τό τε Καπιτώλιον καὶ τοὺς
ἄλλους ἐρυμνοὺς καταλαμβάνεσθαι τόπους, ἐγκρατεῖς
δὲ γενόμενοι τῶν καρτερῶν τῆς πόλεως, ἐπὶ τὴν ἐλευ-
θερίαν τοὺς ἄλλους δούλους παρακαλεῖν, καὶ σὺν ἐκεί-
νοις ἀποκτείναντες τοὺς δεσπότας τὰς τῶν πεφονευ-
3 μένων γυναῖκάς τε καὶ κτήσεις παραλαμβάνειν. τῆς
δὲ πράξεως περιφανοῦς γενομένης συλληφθέντες οἱ
πρῶτοι συνθέντες τὴν ἐπιβουλὴν καὶ μαστιγωθέντες
ἐπὶ τοὺς σταυροὺς ἀπήχθησαν· τῶν δὲ μηνυσάντων
αὐτούς, ὄντων δυεῖν, ἐλευθερίαν τε καὶ δραχμὰς ⟨χι-
λίας⟩ ἑκάτερος ἔλαβεν ἐκ τοῦ δημοσίου. *Ambr.*

VII. (7) Ἔσπευδε τὸν πόλεμον συντελέσαι ἐν ὀλί-
γαις ἡμέραις ὁ Ῥωμαίων χιλίαρχος ὡς δὴ ῥᾴδιόν τι
πρᾶγμα καὶ κατὰ χειρὸς αὐτῷ γενησόμενον ὑποχειρίους
2 ποιήσασθαι μιᾷ μάχῃ τοὺς πολεμίους. τῷ δὲ ἡγεμόνι
τῶν πολεμίων ἐνθυμουμένῳ τό τε ἐμπειροπόλεμον τῶν
Ῥωμαίων καὶ τὸ ἐν τοῖς κινδύνοις καρτερικὸν μάχην
μὲν ἐκ παρατάξεως ἴσην καὶ φανερὰν ποιεῖσθαι πρὸς
αὐτοὺς οὐκ ἐδόκει, διαστρατηγεῖν δὲ τὸν πόλεμον
ἀπάταις τισὶ καὶ δόλοις καὶ παρατηρεῖν, εἴ τι πλεονέ-
κτημα καθ' ἑαυτῶν ἐκεῖνοι παρέξουσιν. *Ambr.*

in ea re κοσμηθέντες, corruptum esse τιμηθέντες censet Struve 11 περιφανῶς Ambr. 13 ἀπήχθησαν] ἀνεπήχθησαν c. Hertlein Progr. Wertheim 1873, 8 14 χιλίας om. Ambr. e Dionys. X 49, 6 summam Maius supplevit 17 ῥᾴδιον τὸ πρᾶγμα c. Struve 21 τοῖς exstat in Ambr. 22 ἴσον Ambr. Q ἴσην Ambr. A

*Τραυματίας καὶ παρασχεδὸν ἐλθὼν ἀποθανεῖν. Ambr.*

VIII. (8) *Ἐν Ῥώμῃ χειμῶνος γενομένου βιαίου, ἔνθα ἡ ἐλαχίστη χιὼν κατενίφθη, οὐκ ἐλάττων ἦν ἑπτὰ ποδῶν τὸ βάθος. καὶ συνέπεσεν ἀνθρώπους τε ὑπὸ τοῦ νιφετοῦ διαφθαρῆναί τινας καὶ πρόβατα πολλὰ καὶ τῶν ἄλλων κτηνῶν καὶ ὑποζυγίων μοῖραν οὐκ ὀλίγην, τὰ μὲν ὑπὸ τοῦ κρυμοῦ σφακελίσαντα, τὰ δὲ νομῆς τῆς συνήθους ἀπορίᾳ.* 2 *δένδρων τε καρποφόρων, ὅσα μὴ πέφυκεν ὑπερβολὰς νιφετῶν ὑπομένειν, τὰ μὲν εἰς τέλος ἐξηράνθη, τὰ δὲ ἐπικαέντα τοὺς βλαστοὺς ἄκαρπα ἐπὶ πολλοὺς χρόνους ἐγένετο. συνεχύθησάν τε καὶ τῶν οἰκιῶν συχναὶ καί τινες καὶ περιετράπησαν, μάλιστα δὲ ὅσαι ἐκ τῶν λίθων κατὰ τὴν διάλυσίν τε καὶ ἀπότηξιν τῆς χιόνος.* 3 *τοῦτο τὸ πάθος οὔτε πρότερόν ποτε γενόμενον ἐν ἱστορίας γραφῇ περὶ ταῦτα τὰ χωρία παρειλήφαμεν οὔθ' ὕστερον ἕως τοῦ καθ' ἡμᾶς χρόνου, μετρίῳ γέ τινι βορειότερα τοῦ μέσου, κατὰ τὸν ὑπὲρ Ἀθηνῶν γραφόμενον δι' Ἑλλησπόντου παράλληλον. τότε δὲ πρῶτον καὶ μόνον ἐξέβη τῆς εἰωθυίας κράσεως ἡ τοῦ περιέχοντος τήνδε τὴν γῆν φύσις. Ambr.*

VIIII. (9) *Ἑορτὰς ἦγον οἱ Ῥωμαῖοι τὰς καλουμένας τῇ ἐπιχωρίῳ γλώττῃ στρωμνὰς ὑπὸ τῶν Σιβυλλείων κελευσθέντες χρησμῶν. νόσος γάρ τις λοιμώδης γενομένη θεόπεμπτός τε καὶ ὑπὸ τέχνης ἀνθρωπίνης*

4 *κατενείφθη* (= *κατενίφθη*) Ambr. *κατηνέχθη* Struve 12 *ἐγένοντο* Ambr. *ἐγένετο* Struve 13 **ἐμίχθησαν* Ambr. — Kiesslingio teste *ἐλέχθησαν* — *ἐνίφθησαν* c. Struve *ἐλύθησαν* Kiessling *συνεχύθησαν* ego 15 *διάλυσιν*] *διάχυσιν* c. Naber Mnem. 30, 258 22 *γῆν ἀέρος* c. Kiessling

ἀνίατος εἰς ζήτησιν αὐτοὺς ἤγαγε τῶν χρησμῶν.
2 ἐκόσμησάν τε στρωμνὰς τρεῖς, ὡς ἐκέλευον οἱ χρησμοί, μίαν μὲν Ἀπόλλωνι καὶ Λητοῖ, ἑτέραν δὲ Ἡρακλεῖ καὶ Ἀρτέμιδι, τρίτην δὲ Ἑρμῇ καὶ Ποσειδῶνι· καὶ διετέλουν ἐφ' ἡμέρας ἑπτὰ δημοσίᾳ τε καταθύοντες καὶ ἰδίᾳ κατ' οἰκείαν δύναμιν ἅπαντες τοῖς θεοῖς ἀπαρχόμενοι, ἑστιάσεις τε λαμπροτάτας ἐπιτελοῦντες καὶ
3 ξένων τοὺς παρεπιδημοῦντας ὑποδεχόμενοι. (10) *Πείσων* δὲ ὁ τιμητικὸς ἐν ταῖς ἐνιαυσίοις ἀναγραφαῖς καὶ ταῦτ' ἔτι προστίθησιν· ὅτι λελυμένων μὲν τῶν θεραπόντων ὅσους πρότερον ἐν τοῖς δεσμοῖς εἶχον οἱ δεσπόται, πληθυνούσης ὄχλου ξενικοῦ τῆς πόλεως, ἀναπεπταμένων τῶν οἰκιῶν διὰ ἡμέρας τε καὶ νυκτός, καὶ δίχα κωλύσεως εἰσιόντων εἰς αὐτὰς τῶν βουλομένων, οὔτε χρῆμα οὐδὲν ἀπολωλεκέναι τις ᾐτιάσατο οὔτε ἠδικῆσθαί τινα ὑπ' οὐδενός, καίτοι πολλὰ φέρειν εἰωθότων πλημμελῆ καὶ παράνομα τῶν ἑορταίων καιρῶν διὰ τὰς μέθας. *Ambr.*

X. (11) Οὐιεντανοὺς πολιορκούντων Ῥωμαίων περὶ τὴν ἐπιτολὴν τοῦ κυνός, ὅτε μάλιστα λίμναι τε ἐπιλείπουσι καὶ ποταμοὶ πάντες, ὅ τι μὴ μόνος ὁ Αἰγύπτιος Νεῖλος, λίμνη τις ἀπέχουσα τῆς Ῥώμης οὐ μεῖον ρκ' σταδίων ἐν τοῖς Ἀλβανοῖς καλουμένοις ὄρεσι, παρ' ᾗ τὸ ἀρχαῖον ἡ τῶν Ῥωμαίων μητρόπολις ᾤκειτο, οὔτε ὑετῶν γενομένων οὔτε νιφετῶν οὔτ' ἄλλης τινὸς αἰτίας ἀνθρώποις φανερᾶς, τοσαύτην ἔλαβεν ἐκ τῶν ἐν αὐτῇ ναμάτων ἐπίδοσιν, ὥστε πολλὴν μὲν ἐπι-

5 καταθύοντες Ambr., quam vocem aptam non esse Struve censet 12 πληθυνούσης δ' c. Kiessling 13 διὰ ἡμέρας cf. Jacoby Aar. Progr. p. 7 17 ἑορτάδων Ambr. ἑορταίων Struve cf. Götzeler Animadv. II 30 22 οὐ πλεῖον c. Struve

κλύσαι τῆς παρορείου, πολλὰς δὲ οἰκήσεις γεωργικὰς καταβαλεῖν, τελευτῶσαν δὲ καὶ τὸν μεταξὺ τῶν ὀρῶν αὐλῶνα διασπάσαι καὶ ποταμὸν ἐκχέαι κατὰ τῶν ὑποκειμένων πεδίων ἐξαίσιον. (12) Τοῦτο μαθόντες οἱ 2
Ῥωμαῖοι κατ' ἀρχὰς μέν, ὡς δαιμονίου τινὸς μηνίοντος τῇ πόλει, θυσίαις ἐξιλάσασθαι τοὺς κατέχοντας τὸν τόπον θεοὺς καὶ δαίμονας ἐψηφίσαντο καὶ τοὺς ἐπιχωρίους μάντεις ἀνέκρινον, εἴ τι λέγειν ἔχουσιν· ἐπεὶ δ' οὔτε ἡ λίμνη τὴν ἑαυτῆς τάξιν ἀπελάμβανεν, οὔτε οἱ μάντεις ἀκριβὲς οὐδὲν ἔλεγον, ἀλλὰ τῷ θεῷ χρῆσθαι παρῄνουν, ἐπὶ τὸ Δελφικὸν μαντεῖον ἀπέστειλαν θεοπρόπους. *Ambr.*

XI. (13) Ἐν δὲ τῷ μεταξὺ χρόνῳ Οὐιεντανῶν τις ἔμπειρος τῆς ἐπιχωρίου μαντικῆς διὰ προγόνων ἐτύγχανε φυλακὴν ἔχων τοῦ τείχους, ἐγεγόνει δέ τις αὐτῷ τῶν ἀπὸ τῆς Ῥώμης λοχαγῶν ἐκ παλαιοῦ γνώριμος. οὗτος ὁ λοχαγὸς ἐγγὺς τοῦ τείχους ποτὲ γενόμενος καὶ τοὺς συνήθεις ἀσπασμοὺς τῷ ἀνδρὶ ἀποδοὺς οἰκτείρειν αὐτὸν ἔφη τῆς καταληψομένης ἅμα τοῖς ἄλλοις συμφορᾶς, ἐὰν ἡ πόλις ἁλῷ. καὶ 2
ὁ Τυρρηνὸς ἀκηκοὼς τὴν ὑπέρχυσιν τῆς Ἀλβανίδος λίμνης καὶ τὰ παλαιὰ περὶ αὐτῆς προειδὼς θέσφατα ἀναγελάσας· οἷον, ἔφησεν, ἐστὶν ἀγαθὸν τὸ προειδέναι τὰ μέλλοντα. ὑμεῖς δὲ κατὰ τὴν ἀγνωσίαν τῶν ἀποβησομένων πόλεμον ἀτελῆ καὶ πόνους ἀνηνύτους ἀντλεῖτε τὴν Οὐιεντανῶν πόλιν ἀναστήσειν οἰόμενοι. εἰ δέ τις ὑμῖν ἐδήλωσεν, ὅτι τῇ πόλει τῇδε

2 *καταλαβεῖν* Ambr. *καταβαλεῖν* Struve | *τελευτῶσα* Ambr. corr. Struve 6 *ἐξιλάσκεσθαι* Ambr, A 11 *ἀπέστειλαν* add. Ambr. Q 14 *διὰ προγόνων*] *ἐκ* vel *ἀπὸ προγόνων* c. Struve 26 *τὴν* add. Ambr. Q om. Ambr. A

τότε πέπρωται ἁλῶναι, ὅταν ἡ πρὸς Ἀλβανῷ λίμνη σπανίσασα τῶν αὐθιγενῶν ναμάτων μηκέτι μίσγηται θαλάττῃ, ἐπαύσασθε ἂν αὐτοί τε δαπανώμενοι καὶ
3 ἡμᾶς ἐνοχλοῦντες. ταῦτα ὁ Ῥωμαῖος μαθὼν πολὺς ἐν τῷ σκοπεῖν καθ' ἑαυτὸν γενόμενος, τότε μὲν ἀπῄει, (14) τῇ δ' ἑξῆς προειπὼν τοῖς χιλιάρχοις, ἃ διενοεῖτο, παρῆν ἐπὶ τὸν αὐτὸν τόπον ἄνοπλος, ὥστε μηδεμίαν ὑποψίαν ἐπιβουλῆς τὸν Τυρρηνὸν ὑπὲρ αὐτοῦ λαβεῖν. χρησάμενος δὲ τοῖς συνήθεσιν ἀσπασμοῖς πρῶτον μὲν ὑπὲρ τῆς κατεχούσης τὸ Ῥωμαικὸν στρατόπεδον ἀμηχανίας διελέγετο ἄλλ', ἐφ' οἷς ἡσθήσεσθαι τὸν Τυρρηνὸν ὑπελάμβανεν, ἔπειτα ἐξηγητὴν αὐτῷ γενέσθαι ἠξίου σημείων τινῶν καὶ τεράτων
4 νεωστὶ τοῖς χιλιάρχοις γεγονότων. πείθεται τοῖς λόγοις ὁ μάντις οὐδεμίαν δεδοικὼς ἐξαπάτην καὶ τοὺς συνόντας αὐτῷ μεταστῆναι κελεύσας αὐτὸς ἠκολούθει μόνος τῷ λοχαγῷ. ὁ δὲ Ῥωμαῖος ὑπαγόμενος αὐτὸν ἀπωτέρω τοῦ τείχους διὰ τῶν πρὸς ἀπάτην μηχανηθέντων λόγων, ὡς ἐγγὺς ἐγένετο τοῦ περιτειχίσματος, περιλαβὼν ταῖς χερσὶν ἀμφοτέραις μέσον αἴρεταί τε καὶ πρὸς τὸ Ῥωμαικὸν ἀποφέρεται στρατόπεδον. *Ambr.*

XII. (15) Τοῦτον τὸν ἄνδρα οἱ χιλίαρχοι λόγοις τε θεραπεύοντες καὶ βασάνων ἀπειλαῖς δεδιττόμενοι ἅπαντα παρεσκεύασαν ἐξειπεῖν, ἃ περὶ τῆς Ἀλβανίδος λίμνης ἀπέκρυπτεν· εἶτα καὶ πρὸς τὴν βουλὴν αὐτὸν

1 τότε add. Ambr. Q om. Ambr. A 2 μίσγεσθαι Ambr. A 5 σκοπῷ Ambr. σκοπεῖν Sintenis Em. Dion. III 4 11 ἄλλ' Ambr. ἄττ' Struve πόλλ' in Zarnckii Litterar. Univers. 1870, 893 13 αὐτῷ Ambr. αὑτῷ Struve 16 συνιόντας Ambr. corr. Struve 20 περιβαλὼν Ambr. corr. Struve | αἴρεται pro αἱρεῖ et ἀποφέρεται pro ἀποφέρει in suspicionem Struve vocat

ἀναπέμπουσι. τοῖς δ' ἐκ τοῦ συνεδρίου οὐχ ⟨ἡ⟩ ὁμοία παρέστη δόξα, ἀλλὰ τοῖς μὲν ἐδόκει πανοῦργός τις εἶναι καὶ γόης ὁ Τυρρηνὸς καὶ καταψεύδεσθαι τοῦ δαιμονίου τὰ περὶ τὸν χρησμόν, τοῖς δ' ἀπὸ πάσης ἀληθείας εἰρηκέναι. (16) Ἐν τοιαύτῃ δ' ἀμηχανίᾳ 2
τῆς βουλῆς ὑπαρχούσης παρῆσαν οἱ προαποσταλέντες εἰς Δελφοὺς θεόπροποι χρησμοὺς κομίζοντες τοῖς ὑπὸ τοῦ Τυρρηνοῦ πρότερον ἀπηγγελμένοις συνᾴδοντας· ὅτι θεοὶ καὶ δαίμονες οἱ λαχόντες τὴν Οὐιεντανῶν πόλιν τοσοῦτον αὐτοῖς ἐγγυῶνται χρόνον ἀσάλευτον φυλάξαι τὴν ἐκ προγόνων παραδοθεῖσαν εὐδαιμονίαν, ὅσον ἂν διαμένωσιν αἱ πηγαὶ τῆς ἐν Ἀλβανῷ λίμνης ὑπερχεόμεναι καὶ μέχρι θαλάττης ἀπορρέουσαι· ὅταν δ' ἐκεῖναι 3
φύσιν τε τὴν ἑαυτῶν καὶ ὁδοὺς τὰς ἀρχαίας ἐκλιποῦσαι καθ' ἑτέρας ἐκτραπῶσιν, ὡς μηκέτι μίσγεσθαι τῇ θαλάττῃ, τότε καὶ τὴν πόλιν αὐτῶν ἀνάστατον ἔσεσθαι· τοῦτο δ' οὐκ εἰς μακρὰν ὑπὸ Ῥωμαίων γενήσεσθαι, ἐὰν ὀρύγμασι καθ' ἕτερα χωρία γενομένοις ἐκτρέψωσι τὴν πλήμμυραν τῶν ὑδάτων εἰς τὰ πρόσω τῆς θαλάττης πεδία. ταῦτα μαθόντες οἱ Ῥωμαῖοι εὐθὺς ἐπέστησαν τοῖς ἔργοις τοὺς χειροτέχνας. *Ambr.*

XIII. (17) Ὡς δὲ ταῦτ' ἤκουσαν Οὐιεντανοὶ παρ' αἰχμαλώτου τινός, ἐπικηρυκεύεσθαι πρὸς τοὺς πολιορκοῦντας ἤθελον περὶ καταλύσεως τοῦ πολέμου, πρὶν ἁλῶναι κατὰ κράτος τὴν πόλιν, καὶ ἀποδείκνυνται πρέσβεις οἱ πρεσβύτατοι. ἀποψηφισαμένης δὲ 2

1 ἡ add. Struve 10 φυλάξειν Hertlein Hermes X 421 16 τότε addidi ex Ambr. Q om. Ambr. A 18 γενομένοις] τεινομένοις c. Struve 19* πλημμύραν Ambr. omnesque editores; cf. Buttmann Ausf. Sprachlehre 1 p. 35. 39, Lobeck Path. p. 273

τῆς βουλῆς τῶν Ῥωμαίων τὰς διαλλαγὰς οἱ μὲν ἄλλοι πρέσβεις ἀπῄεσαν ἐκ τοῦ βουλευτηρίου σιωπῇ, ὁ δὲ ἐπιφανέστατος ἐξ αὐτῶν καὶ κατὰ τὴν μαντικὴν ἐμπειρίαν δοκιμώτατος, ἐπιστὰς ταῖς θύραις καὶ περιβλέψας [εἰς] ἅπαντας τοὺς παρόντας ἐν τῷ συνεδρίῳ· Καλόν, ἔφησεν, ὦ Ῥωμαῖοι, δόγμα ἐξενηνόχατε καὶ μεγαλοπρεπές, οἱ τὴν ἡγεμονίαν ἀξιοῦντες ἔχειν τῶν περιοίκων δι' ἀρετήν, πόλιν οὔτε μικρὰν οὔτε ἄσημον ἀποτιθεμένην τὰ ὅπλα καὶ παραδιδοῦσαν ὑμῖν ἑαυτὴν οὐκ ἀξιοῦντες ὑπήκοον ἔχειν, ἀλλὰ πρόρριζον ἀνελεῖν βουλόμενοι, οὔτε τὸν ἐκ τοῦ θείου δείσαντες χόλον,
3 οὔτε τὴν παρ' ἀνθρώπων ἐντραπέντες νέμεσιν. ἀνθ' ὧν ὑμῖν δίκη τιμωρὸς ἥξει παρὰ θεῶν εἰς τὰ ὅμοια ζημιοῦσα· Οὐιεντανοὺς γὰρ ἀφελόμενοι τὴν πατρίδα μετ' οὐ πολὺ τὴν ἑαυτῶν ἀποβαλεῖτε. *Ambr.*

4 (18) Μετὰ βραχὺ δὲ ἁλισκομένης τῆς πόλεως οἱ μὲν ὁμόσε τοῖς πολεμίοις χωροῦντες ἄνδρες ἀγαθοὶ γενόμενοι καὶ πολλοὺς ἀποκτείναντες κατεκόπησαν, οἱ δ' αὐτοχειρίᾳ σφάξαντες αὐτοὺς διεφθάρησαν· ὅσοις δὲ δι' ἀνανδρίαν τε καὶ ταπεινότητα ψυχῆς πάντ' ἐφαίνετο τοῦ τεθνάναι τὰ δεινὰ μετριώτερα, ῥίψαντες τὰ ὅπλα παρεδίδοσαν τοῖς κεκρατηκόσιν ἑαυτούς. *Ambr.*

XIIII. (19) Ὁ δὲ δικτάτωρ Κάμιλλος, οὗ στρατηγίᾳ ἡ πόλις ἥλω, ἐπὶ μετεώρου τινὸς ἑστὼς ἅμα τοῖς ἐπιφανεστάτοις Ῥωμαίων, ὅθεν ἅπασα ἡ πόλις

4 τὰς θύρας Ambr. corr. Struve | περιβλέψας ἅπαντας omnes ante Kiesslingium, qui Ambr. εἰς ἅπαντας praebere affirmat; ego inclusi 6 καλόν γε c. Cobet Obs. p. 214 7 οἱ ἀξιοῦτε — βούλεσθε c. Struve 19 ὅσους Ambr. QA corr. Maius 24 ἐπὶ μετεώρου τόπου τινὸς Ambr. A

*ἦν καταφανής, πρῶτον μὲν ἐμακάρισεν ἑαυτὸν τῆς παρούσης εὐτυχίας, ὅτι καθελεῖν αὐτῷ μεγάλην καὶ εὐδαίμονα πόλιν ἐξεγένετο δίχα πόνου, ἣ Τυρρηνίας μὲν ἀνθούσης τότε καὶ πλεῖστον τῶν κατοικούντων τὴν Ἰταλίαν ἐθνῶν δυναμένης οὐκ ἐλαχίστη μοῖρα ἦν, Ῥωμαίοις δὲ περὶ τῆς ἡγεμονίας διαφερομένη καὶ πολλοὺς ὑπομείνασα πολέμους ἄχρι δεκάτης γενεᾶς διετέλεσεν, ἐξ οὗ δ' ἤρξατο πολεμεῖν καὶ πολιορκεῖσθαι συνεχῶς, δέκα διήνεγκε τὴν πολιορκίαν ἔτη πάσης πειραθεῖσα τύχης.* (20) *Ἔπειτ' ἐνθυμηθείς,* 2 *ὡς ἐπὶ μικρᾶς αἰωρεῖται ῥοπῆς ἡ τῶν ἀνθρώπων εὐδαιμονία, καὶ βέβαιον οὐδὲν διαμένει τῶν ἀγαθῶν, διατείνας εἰς οὐρανὸν τὰς χεῖρας εὔξατο τῷ τε Διὶ καὶ τοῖς ἄλλοις θεοῖς, μάλιστα μὲν ἀνεπίφθονον ἑαυτῷ τε καὶ τῇ πατρίδι γίνεσθαι τὴν παροῦσαν εὐδαιμονίαν· εἰ δέ τις ἔμελλε κοινῇ συμφορὰ τὴν Ῥωμαίων πόλιν ἢ τὸν αὑτοῦ βίον καταλαμβάνειν ἀντίπαλος τῶν παρόντων ἀγαθῶν, ἐλαχίστην γενέσθαι ταύτην καὶ μετριωτάτην.* Ambr.

XV. (21) *Ἦν δὲ ἡ Οὐιεντανῶν πόλις οὐθὲν ὑποδεεστέρα τῆς Ῥώμης ἐνοικεῖσθαι γῆν τε πολλὴν καὶ πολύκαρπον ἔχουσα, τὴν μὲν ὀρεινήν, τὴν δὲ πεδιάδα, καὶ τὸν ὑπερκείμενον ἀέρα καθαρώτατον καὶ*

5 *δυνάμεις* Ambr. corr. Maius 7 *πολλοὺς ὑπομείνασα πολέμους* Maius; Kiessling, qui *πολέμους* ab Ambr. abesse testatur, inseruit post *πολλούς* | *ἄχρι* cf. Jacoby Aar. Progr. p. 5 8 *πολεμεῖν* corruptum esse censet Struve, qui *ἐγκλείεσθαι* vel tale quid conicit; *πολεμεῖν* del. Kayser Fleck. Ann. 1870 (101) 727; *πονεῖν* vel *πολέμῳ πονεῖν* Hertlein Progr. Wertheim 1878, 8; nihil mutandum est 16 *ἔμελλε* Ambr. *μέλλοι* vel *μέλλει* Struve | *κοινῇ* Ambr. *καινὴ* Struve | *τῶν Ῥωμαίων* Ambr. 23 *ὑπερκείμενον* Ambr. *περικείμενον* Struve

πρὸς ὑγιείαν ἀνθρώποις ἄριστον, οὔτε ἕλους πλησίον
ὄντος, ὅθεν ἕλκονται βαρεῖς ἀτμοὶ καὶ δυσώδεις, οὔτε
ποταμοῦ τινος ψυχρὰς ἕωθεν ἀνιέντος αὔρας, ὑδάτων
τε οὐ σπανίων ὄντων οὐδ' ἐπακτῶν, ἀλλ' αὐθιγενῶν
καὶ πλουσίων καὶ πίνεσθαι κρατίστων. *Ambr.*

XVI. (22) Αἰνείαν λέγουσι τὸν ἐξ Ἀγχίσου καὶ
Ἀφροδίτης, ὅτε κατέσχεν εἰς Ἰταλίαν, θῦσαι προαι-
ρούμενον ὅτῳ δή τινι θεῶν, μετὰ τὴν εὐχὴν μέλλοντα
τοῦ παρεσκευασμένου πρὸς τὴν θυσίαν ἱερείου κατ-
άρχεσθαι, τῶν Ἀχαιῶν ἰδεῖν τινα πρόσωθεν ἐρχό-
μενον, εἴτε Ὀδυσσέα, ὅτε τῷ περὶ τὸν Ἄορνον μαν-
τείῳ χρῆσθαι ἔμελλεν, εἴτε Διομήδην, ἡνίκα Δαύνῳ
2 σύμμαχος ἀφίκετο· ἀχθόμενον δὲ τῷ συγκυρήματι καὶ
πολεμίαν ὄψιν ἐφ' ἱεροῖς φανεῖσαν ὡς πονηρὸν οἰωνὸν
ἀφοσιώσασθαι βουλόμενον, ἐγκαλύψασθαί τε καὶ στρα-
φῆναι· μετὰ δὲ τὴν ἀπαλλαγὴν τοῦ πολεμίου χερνιψά-
3 μενον αὖθις ἐπιτελέσαι τὴν θυσίαν. γενομένων δὲ
τῶν ἱερῶν κρειττόνων ἡσθῆναί τε τῷ συγκυρήματι
καὶ φυλάττειν ἐπὶ πάσης εὐχῆς τὸ αὐτὸ ἔθος, τούς
τε ἀπ' ἐκείνου γενομένους ὡς ἕν τι τῶν περὶ τὰς
4 ἱερουργίας νομίμων καὶ τοῦτο διατηρεῖν. (23) Ἑπό-
μενος δὴ τοῖς πατρικοῖς ὁ Κάμιλλος νόμοις, ἐπειδὴ
τὴν εὐχὴν ἐποιήσατο καὶ κατὰ τῆς κεφαλῆς εἵλκυσε
τὸ ἱμάτιον, ἐβούλετο μὲν στραφῆναι, τῆς δὲ βάσεως
ὑπενεχθείσης οὐ δυνηθεὶς ἀναλαβεῖν αὐτὸν ὕπτιος
5 ἐπὶ τὴν γῆν φέρεται. τοῦτον τὸν οἰωνὸν οὔτε μαν-

5 πλουσίων] περιουσίων c. Struve  8 ὅτῳ δή τινι θεῶν Ambr. ὅτῳ δὴ τῶν θεῶν Struve  10 ἀρχαίων Ambr.  13 συγκυρήματι] cf. Cobet Obs. p. 7 Götzeler Animadv. I 60  14 πολεμίου ὄψιν Struve  22 πατρικίοις Ambr. Kiesslingio teste πατρικοῖς Maius ceterique omnes

*τείας οὔτ' ἐνδοιασμοῦ δεόμενον, ἀλλὰ καὶ τῷ φαυλοτάτῳ ῥᾴδιον ὄντα συμβαλεῖν, ὅτι πεσεῖν αὐτῷ πᾶσα ἀνάγκη πτῶμα ἄσχημον, οὔτε φυλακῆς οὔτε ἀφοσιώσεως ἄξιον ὑπέλαβεν, ἀλλ' ἐπὶ τὸ κεχαρισμένον ἑαυτῷ μετήνεγκεν, ὡς ὑπακηκοότων αὐτοῦ ταῖς εὐχαῖς τῶν θεῶν καὶ τὸ κακὸν ἐλάχιστον παρεσκευακότων γενέσθαι. Ambr.*

2 *ὅτι*] *οὔτε* Ambr. corr. Maius 6 *καὶ τὸ κακὸν* Ambr. Maius ceterique omnes receperunt, Kiesslingius errat

# EXCERPTA

## EX

## LIBRO XIII.

I. (1) *Καμίλλου τὴν Φαλερίων πόλιν πολιορκοῦν-
τος Φαλίσκων τις εἴτ' ἀπεγνωκὼς τὴν πόλιν εἴτε κέρδη
θηρώμενος ἴδια παῖδας ἐκ τῶν ἐπιφανεστάτων οἴκων
παρακρουσάμενος — ἦν δὲ διδάσκαλος γραμμάτων —
ἐξήγαγεν ἐκ τῆς πόλεως, ὡς περιπατήσοντάς τε πρὸ
τοῦ τείχους καὶ τὸ Ῥωμαικὸν στρατόπεδον θεασομένους.*
2 *ὑπαγόμενος δὲ κατὰ μικρὸν αὐτοὺς προσωτέρω τῆς
πόλεως ἐπὶ φυλακτήριον Ῥωμαικὸν ἄγει καὶ τοῖς ἐκ-
δραμοῦσι παραδίδωσιν, ὑφ' ὧν ἀχθεὶς ἐπὶ τὸν Κάμιλλον
ἔφη· βεβουλεῦσθαι μὲν ἔτι πάλαι τὴν πόλιν ὑπὸ
Ῥωμαίων ποιῆσαι, οὐδενὸς δὲ κύριος ὢν οὔτε ἄκρας
οὔτε πυλῶν οὔθ' ὅπλων τοῦτον ἐξευρηκέναι τὸν τρόπον,
ὑποχειρίους ποιῆσαι τοὺς υἱεῖς τῶν εὐγενεστάτων,
ἄφυκτον ἀνάγκην ὑπολαβὼν τοὺς πατέρας αὐτῶν
καταλήψεσθαι τῆς σωτηρίας τῶν τέκνων περιεχομένους*
3 *τάχιον παραδοῦναι Ῥωμαίοις τὴν πόλιν. ὁ μὲν δὴ*

1 *τῶν Φαλίσκων πόλιν* Ambr. *τὴν τῶν Φαλίσκων πόλιν* Struve *τὴν Φαλερίων πόλιν* Kiessling  2 *Φαλερίων τις* Ambr. *Φαλίσκων τις* Struve  3 *ἰδίᾳ* Ambr. *ἴδια* Struve  12 *ὁπλιτῶν* c. Struve  14 *αὐτῶν* om. Ambr. Q  15 *περιποιουμένους* Suidas s. v. *περιποιήσει*

*ταῦτ' ἔλεγε πολλὰς ἐλπίδας ἔχων θαυμαστούς τινας ἐξοίσεσθαι μισθοὺς τῆς προδοσίας. Ambr.*

II. (2) *Ὁ δὲ Κάμιλλος εἰς φυλακὴν παραδιδοὺς
τὸν γραμματιστὴν καὶ τοὺς παῖδας ἐπιστέλλει τῇ
βουλῇ διὰ γραμμάτων τὰ γενόμενα καὶ τί χρὴ ποιεῖν
ἤρετο. ἐπιτρέψαντος δ' αὐτῷ τοῦ συνεδρίου πράττειν,* 2
*ὅ τι ἂν αὐτῷ φαίνηται κράτιστον, προαγαγὼν ἐκ τοῦ
στρατοπέδου τὸν γραμματιστὴν ἅμα τοῖς παισὶ καὶ οὐ
μακρὰν ἀπὸ τῶν πυλῶν τὸ στρατηγικὸν βῆμα προσ-
τάξας τεθῆναι, πολλοῦ συνδραμόντος ὄχλου, τοῦ μὲν
ἐπὶ τὰ τείχη, τοῦ δ' ἐπὶ τὰς πύλας, πρῶτον μὲν
ἐδήλωσε τοῖς Φαλίσκοις, οἷα ὁ γραμματιστὴς εἰς αὐ-
τοὺς ἐτόλμησε παρανομεῖν· ἔπειτα περικαταρρῆξαι
τὴν ἐσθῆτα τοῦ ἀνδρὸς ἐκέλευσε τοῖς ὑπηρέταις καὶ
ξαίνειν τὸ σῶμα μάστιξι πάνυ πολλαῖς. ὡς δὲ ταύ-* 3
*της ἅλις εἶχε τῆς τιμωρίας, ῥάβδους τοῖς παισὶν ἀνα-
δοὺς ἀπάγειν αὐτὸν ἐκέλευσεν εἰς τὴν πόλιν δεδεμέ-
νον τὼ χεῖρε ὀπίσω παίοντάς τε καὶ πάντα τρόπον
αἰκιζομένους. κομισάμενοι δὲ τοὺς παῖδας οἱ Φα-
λίσκοι καὶ τὸν γραμματιστὴν ἀξίως τῆς κακῆς διανοίας
τιμωρησάμενοι παρέδοσαν τῷ Καμίλλῳ τὴν πόλιν.
Ambr.*

III. (3) *Ὁ αὐτὸς Κάμιλλος ἐπὶ τὴν Οὐιεντανῶν πόλιν στρατεύων ηὔξατο τῇ βασιλείᾳ Ἥρᾳ τῇ ἐν Οὐιενταναῖς, ἐὰν κρατήσῃ τῆς πόλεως τό τε ξόανον αὐτῆς ἐν Ῥώμῃ καθιδρύσειν καὶ σεβασμοὺς αὐτῇ*

1 *θαυμαστάς* Ambr. corr. Maius 15 *πολλαῖς*] *πολλὰς* stultissime Naber Mnem. 30, 258; cf. Dionys. Hal. III 30, 5 *ἔξαινον τὸ σῶμα μάστιξι πάνυ πολλαῖς* 16 *ἀναδοὺς*] *παραδοὺς* c. Struve 19 *κομισάμενοι*] *ἀνακομισάμενοι* c. Kiessling

2 *καταστήσεσθαι πολυτελεῖς. ἁλούσης δὲ τῆς πόλεως ἀπέστειλε τῶν ἱππέων τοὺς ἐπιφανεστάτους ἀρουμένους ἐκ τῶν βάθρων τὸ ἕδος· ὡς δὲ παρῆλθον οἱ πεμφθέντες εἰς τὸν νεών, καί τις ἐξ αὐτῶν εἴτε μετὰ παιδιᾶς καὶ γέλωτος εἴτε οἰωνοῦ δεόμενος, εἰ βούλοιτο μετελθεῖν εἰς Ῥώμην ἡ θεός, ἤρετο, φωνῇ γεγωνῷ τὸ ξόανον ἐφθέγξατο, ὅτι βούλεται. τοῦτο καὶ δὶς γέγονεν· ἀπιστοῦντες γὰρ οἱ νεανίσκοι, εἰ τὸ ξόανον ἦν τὸ φθεγξάμενον, πάλιν ἤροντο τὸ αὐτὸ καὶ τὴν αὐτὴν φωνὴν ἤκουσαν.* Ambr.

IIII. (4) *Ἐν δὲ τῇ ἀρχῇ τῶν μετὰ τὸν Κάμιλλον ὑπάτων νόσος εἰς Ῥώμην κατέσκηψε λοιμικὴ τὴν ἀρχὴν ἀπό τε ἀνομβρίας καὶ αὐχμῶν λαβοῦσα ἰσχυρῶν, ὑφ' ὧν κακωθεῖσα ἥ τε δενδρῖτις καὶ ἡ σιτοφόρος ὀλίγους μὲν ἀνθρώποις καρποὺς ἐξήνεγκε καὶ νοσε-*
2 *ρούς, ὀλίγην δὲ καὶ πονηρὰν βοσκήμασι νομήν. προβάτων μὲν οὖν καὶ τῶν ἄλλων ὑποζυγίων ἀναρίθμητόν τι διεφθάρη πλῆθος οὐ χιλοῦ σπανισάμενον μόνον, ἀλλὰ καὶ ποτοῦ· τοσαύτη ⟨γὰρ⟩ τῶν τε ποταμίων καὶ τῶν ἄλλων ναμάτων ἐπίλειψις ἐγένετο, ἡνίκα μάλιστα*
3 *κάμνει πάντα δίψει τὰ βοτά. ἄνθρωποι δὲ ὀλίγοι μέν τινες διεφθάρησαν, ἃς οὔπω πρότερον ἐπείρασαν προσενεγκάμενοι τροφάς, οἱ δὲ λοιποὶ μικροῦ πάντες εἰς νόσους δεινὰς κατέπεσον ἀρχομένας μὲν ἀπὸ μικρῶν ἐξανθημάτων, ἃ περὶ τοὺς ἔξωθεν χρῶτας ἀνίστατο,*

1 *καταστήσασθαι* Ambr. *καταστήσεσθαι* Struve  14 *ἀφ' ὧν* Ambr. *ὑφ' ὧν* Struve | *δενδρύτις* Ambr. Q  18 *σπανισάμενος* Ambr. *ἐσπανισμένον* Enthoven Mnem. 22 (1894) 390  19 *post *τοσαύτη* addidi *γὰρ*  20 post *ἐγένετο* Struve lacunam esse censet; an *ἐγένετο, ὁπηνίκα* c. Kiessling, *ἐγένετο ὥρᾳ ἔτους ἡνίκα* Smit Obs. p. 58  23 *μικροῦ δεῖν* c. Kiessling

κατασκηπτούσας δ' εἰς ἕλκη μεγάλα φαγεδαίναις ὅμοια,
πονηρὰν μὲν ὄψιν, δεινὴν δὲ ἀλγηδόνα παρέχοντα.
ἦν τε οὐθὲν ἴαμα τῆς περιωδυνίας τοῖς κάμνουσιν, ὅ 4
τι μὴ κνησμοὶ καὶ σπαραγμοὶ συνεχεῖς λωβώμενοι τοῖς
χρωσὶ μέχρι γυμνώσεως ὀστέων. *Ambr.*

V. (5) *Μετ' οὐ πολὺ δὲ οἱ δήμαρχοι Καμίλλῳ
φθονήσαντες ἐκκλησίαν κατ' αὐτοῦ συνήγαγον καὶ
ἐξημίωσαν αὐτὸν δέκα μυριάσιν* <*ἀσσαρίων*>, *οὐκ ἀγνο-
οῦντες, ὅτι πολλοστόν τι μέρος ὁ βίος ἦν αὐτῷ τοῦ
κατακρίματος, ἀλλ' ἵν' ἀπαχθεὶς εἰς τὸ δεσμωτήριον
ὑπὸ τῶν δημάρχων ἀσχημονήσῃ ὁ τοὺς ἐπιφανεστά-
τους κατορθώσας πολέμους. τὸ μὲν οὖν ἀργύριον οἱ
πελάται τε καὶ συγγενεῖς αὐτοῦ συνεισενέγκαντες ἐκ
τῶν ἰδίων χρημάτων ἀπέδοσαν, ὥστε μηδεμιᾶς πειρα-
θῆναι ὕβρεως, ὁ δ' ἀνὴρ ἀφόρητον ἡγούμενος τὸν
προπηλακισμὸν ἐκχωρεῖν ἔγνω τῆς πόλεως.* (6) *Γενό-* 2
*μενος δὲ πλησίον τῶν πυλῶν καὶ τοὺς παρόντας ἀσπα-
σάμενος ὀλοφυρομένους καὶ δακρύοντας, οἵου στέρε-
σθαι μέλλοιεν ἀνδρός, πολλὰ κατὰ τῶν παρειῶν ἀφεὶς
δάκρυα καὶ τὴν κατασχοῦσαν αὐτὸν ἀσχημοσύνην ἀνα-
κλαυσάμενος, εἶπεν· ὦ θεοὶ καὶ δαίμονες, ἔφοροι τῶν
ἀνθρωπίνων ἔργων, ὑμᾶς ἀξιῶ δικαστὰς γενέσθαι μοι
τῶν τε πρὸς τὴν πατρίδα πολιτευμάτων καὶ παντὸς
τοῦ παρεληλυθότος βίου· ἔπειτ', ἐὰν μὲν ἔνοχον εὕρητέ* 3
*με ταῖς αἰτίαις, ἐφ' αἷς ὁ δῆμος κατεψηφίσατό μου,
πονηρὰν καὶ ἀσχήμονα τελευτὴν δοῦναι τοῦ βίου, ἐὰν δ'
ἐν ἅπασιν, οἷς ἐπιστεύθην ὑπὸ τῆς πατρίδος ἐν εἰρήνῃ
τε καὶ κατὰ πολέμους, εὐσεβῆ καὶ δίκαιον καὶ πάσης*

5 *ὀστέων* cf. Jacoby Aar. Progr. p. 36 8 *ἀσσαρίων* post *μυριάσιν* Maius addidit 24 *εὕρητέ μοι* Ambr. corr. Maius

*ἀσχήμονος ὑποψίας καθαρόν, τιμωροὺς γενέσθαι μοι, τοιούτους ἐπιστήσαντας τοῖς ἠδικηκόσι κινδύνους καὶ φόβους, δι' οὓς ἀναγκασθήσονται μηδεμίαν ἄλλην ἐλπίδα σωτηρίας ὁρῶντες ἐπ' ἐμὲ καταφυγεῖν. ταῦτ' εἰπὼν εἰς πόλιν Ἀρδέαν ᾤχετο.* *Ambr.*

VI. (7) *Ὑπήκουσαν δὲ αὐτοῦ ταῖς εὐχαῖς οἱ θεοί, καὶ ὑπὸ Κελτῶν μετὰ μικρὸν ἡ πόλις ἑάλω ἄνευ τοῦ Καπιτωλίου. καταφυγόντων δὲ ἐν αὐτῷ τῶν περιφανεστέρων — τὸ γὰρ ἄλλο πλῆθός ἐν ταῖς Ἰταλικαῖς φεῦγον διεσπάρη πόλεσι — καὶ πολιορκουμένων ὑπὸ Κελτῶν, οἱ παρὰ τὴν Οὐιεντανῶν πόλιν καταφυγόντες Ῥωμαῖοι Καιδίκιόν τινα στρατοπεδάρχην ποιοῦσιν· ὁ δὲ Κάμιλλον ἀποδείκνυσι καὶ ταῦτ' ἀπόντα ἡγεμόνα πολέμου καὶ εἰρήνης ἐξουσίαν ἔχοντα αὐτοκράτορα.*
2 *καὶ γενόμενος ἡγεμὼν τῆς πρεσβείας παρεκάλει Κάμιλλον διαλλαγῆναι πρὸς τὴν πατρίδα, τὰς συμφοράς, ἐν αἷς ἦν, ἐπιλογισάμενον, δι' ἃς ὑπέμεινεν ἐπὶ τὸν*
3 *ὑβρισθέντα ὑφ' ἑαυτῆς καταφυγεῖν.* (8) *Ὑποτυχὼν δὲ ὁ Κάμιλλος εἶπεν· οὐ δέομαι παρακλήσεως, ὦ Καιδίκιε· αὐτὸς γάρ, εἰ μὴ θᾶττον ὑμεῖς ἀφίκεσθε κοινωνεῖν με τῶν πραγμάτων ἀξιοῦντες, ἕτοιμος ἦν ταύτην ἄγων τὴν δύναμιν, ἣν παροῦσαν ὁρᾶτέ μοι, πρὸς ὑμᾶς ἥκειν. ὑμῖν δέ, ὦ θεοί τε καὶ δαίμονες, ὅσοι τὸν ἀνθρώπινον ἐποπτεύετε βίον, ὧν τε ἤδη τετιμή-*

6 *ἐπήκουσαν* Ambr. *ὑπήκουσαν* Cobet Obs. p. 214   11 *παρὰ τὴν Οὐιεντανῶν πόλιν* Ambr.; unde in edit. Kiesslingiana *πρὸς τὴν Οὐ. π.* sit nescio; de usu praepositionis *παρὰ* cf. L. Lutz, die Präposit. bei d. att. Rednern Neustadt a. H. 1887, 150; R. Helbing, die Präposit. bei Herodot Würzburg 1894, 130   12 *Κεδίκαιον* Ambr. Q *Καιδίκιον* Ambr. A   17 *ἐν αἷς ἤ* Ambr. teste Maio, *ἦν* vel *εἴη* Struve; cf. Baumann Obs. gram. p. 44   19 *κεδίκιε* Ambr.

κατέ μοι πολλὴν οἶδα χάριν, καὶ περὶ τῶν μελλόντων
εὔχομαι καλὴν καὶ εὐτυχῆ τῇ πατρίδι γενέσθαι τὴν
ἐμὴν κάθοδον. εἰ δὲ ἐνῆν ἀνθρώπῳ τὰ μέλλοντα 4
συμβήσεσθαι προιδεῖν, οὐδέποτ' ἂν εὐξάμην ἐς τοιαύ-
τας ἐλθοῦσαν τυχὰς τὴν πατρίδα δεηθῆναί μου· μυ-
ριάκις δ' ἂν εἱλόμην ἄξηλον γενέσθαι μοι καὶ ἄτιμον
τὸν μετὰ ταῦτα βίον ἢ βαρβάρων ἀνθρώπων ὠμότητι
γενομένην τὴν Ῥώμην ὑποχείριον ἐπιδεῖν καὶ ἐν ἐμοὶ
μόνῳ τὰς λοιπὰς ἐλπίδας τῆς σωτηρίας ἔχουσαν. ταῦτ' 5
εἰπὼν καὶ τὰς δυνάμεις παραλαβὼν ἄφνω τε τοῖς
Κελτοῖς ἐπιφανεὶς εἰς φυγὴν αὐτοὺς τρέπει καὶ ἐμπε-
σὼν ἀσυντάκτοις τε καὶ τεταραγμένοις δίκην προβά-
των κατέσφαξεν. *Ambr.*

VII. (9) Ἔτι δ' οὖν πολιορκουμένων τῶν ἐν ⟨τῷ⟩
Καπιτωλίῳ καταφυγόντων νέος τις ἀπὸ τῆς Οὐιεν-
τανῶν πόλεως ὑπὸ Ῥωμαίων πεμφθεὶς εἰς τοὺς ἐν τῷ
Καπιτωλίῳ καὶ λαθὼν τοὺς αὐτόθι φυλάσσοντας Κελ-
τοὺς ἀνῆλθέ τε καὶ εἰπών, ὅσα ἔδει, πάλιν ὑπὸ νύκτα
ἀπηλλάγη. ὡς δὲ ἡμέρα ἐγένετο, τῶν Κελτῶν τις ἰδὼν 2
τὰ ἴχνη λέγει πρὸς τὸν βασιλέα, ὁ δὲ συγκαλέσας
τοὺς ἀνδρειοτάτους ἐδήλωσεν αὐτοῖς τὴν τοῦ Ῥωμαίου
ἄνοδον· ἔπειτ' αὐτοὺς ἠξίου τὴν αὐτὴν ἐκείνῳ παρα-
σχομένους τόλμαν πειρᾶσθαι τῆς ἐπὶ τὸ φρούριον ἀνα-
βάσεως, πολλὰς ὑπισχνούμενος τοῖς ἀναβᾶσι δωρεάς.
ὁμολογησάντων δὲ συχνῶν παρήγγειλε τοῖς φύλαξιν
ἡσυχίαν ἄγειν, ἵνα καθεύδειν αὐτοὺς ὑπολαβόντες οἱ
Ῥωμαῖοι καὶ αὐτοὶ πρὸς ὕπνον τράπωνται. (10) Ἤδη 3

1 μοι] με Struve, sed cf. Lobeck ad Sophocl. Aiac. 687
5 ἐλθούσας Ambr. 9 μόνον Ambr. corr. Struve 14 τῷ
add. Struve 17 καὶ del. Struve

δὲ τῶν πρώτων ἀναβεβηκότων καὶ τοὺς ὑστερίζοντας
ἀναδεχομένων, ἵνα πλείους γενόμενοι τότε ἀποσφάξωσι
τοὺς ἐν ταῖς φυλακαῖς καὶ καταλάβωνται τὸ ἔρυμα,
ἀνθρώπων μὲν οὐδεὶς ἔμαθεν, ἱεροὶ δέ τινες Ἥρας
χῆνες ἐν τῷ τεμένει τρεφόμενοι καταβοῶντες ἅμα καὶ
τοῖς βαρβάροις ὁμόσε χωροῦντες κατήγοροι γίνονται
4 τοῦ κακοῦ. ἐκ δὲ τούτου ταραχή τε καὶ κραυγὴ καὶ
[ὁ] δρόμος ἁπάντων ἦν παρακαλούντων ἀλλήλους ἐπὶ
τὰ ὅπλα, καὶ οἱ Κελτοὶ <δὲ> πλείους ἤδη γεγονότες
ἐχώρουν ἐνδοτέρω. *Ambr.*

VIII. (11) Ἐνθάδε τις τῶν ἐσχηκότων τὴν ὕπατον
ἀρχήν, Μάρκος Μάλλιος, ἁρπάσας τὰ ὅπλα καὶ συστὰς
τοῖς βαρβάροις τόν τε πρῶτον ἀναβάντα <καὶ> κατὰ
τῆς κεφαλῆς αὐτοῦ τὸ ξίφος φέροντα φθάσας παίει
2 κατὰ τοῦ βραχίονος καὶ ἀποκόπτει τὸν ἀγκῶνα· καὶ
τὸν ἐπὶ τούτῳ πρὶν [ἢ] εἰς χεῖρας ἐλθεῖν ὀρθῷ τῷ
θυρεῷ πατάξας εἰς τὸ πρόσωπον ἀνατρέπει καὶ κείμενον
ἀποσφάττει, ἔπειτα τοὺς ἄλλους τεταραγμένους
ἤδη ἐλαύνων ὑπὸ πόδας, οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ
κατὰ τοῦ κρημνοῦ διώκων ἐξέχεεν. ἀντὶ ταύτης εὕρετο
τῆς ἀριστείας τὴν πρέπουσαν τῷ τότε καιρῷ δωρεὰν
παρὰ τῶν κατεχόντων τὸ Καπιτώλιον, οἴνου καὶ
3 ζέας τὴν ἐφήμερον ἀνδρὸς ἑκάστου τροφήν. (12) Περὶ
δὲ τῶν <ἐν> ἐκείνῳ τῷ τόπῳ τὴν φυλακὴν ἐκλιπόντων,

5 χῆνας Ambr 6 Naber Mnem. 30, 259 se nescire dicit, quid tandem Dionysius de anseribus in Capitolio tradiderit. Apparet id quidem caeco! 8 καὶ ὁ δρόμος Ambr. ὁ del. Struve 9 Κέλτοι δὲ πλείους c. Struve 11 τὴν ὑπάτον ἀρχὴν c. falso Struve 13 καὶ add. Kiessling 14 πάλει Ambr. 16 ἢ del. Kiessling 19 ὑπὸ πόδας] cf. Struve ad hunc locum 23 τὸ ἐφήμερον — τροφὴν Ambr. τροφῆς Kiessling τὴν ἐφήμερον τροφὴν optime Maius correxit cf. VIII 41, 5 24 ἐν add. Struve

καθ' ὃν ἀνέβησαν οἱ Κελτοί, ζητήσεως γενομένης ὅ τι
χρὴ ποιεῖν, ἡ μὲν βουλὴ θάνατον ἁπάντων κατεψηφί-
σατο, ὁ δὲ δῆμος ἐπιεικέστερος γενόμενος ἑνὸς τοῦ
ἡγεμόνος αὐτῶν ἠρκέσθη τῇ κολάσει. ἵνα δὲ φανερὸς 4
γένοιτο τοῖς βαρβάροις ὁ θάνατος αὐτοῦ, δεθεὶς τὰς
χεῖρας ὀπίσω κατὰ τοῦ κρημνοῦ βάλλεται πρὸς αὐ-
τούς. ἐκείνου δὲ τιμωρηθέντος οὐδὲν ἔτι ῥᾴθυμον ἦν
τῶν περὶ τὰς φυλακάς, ἀλλὰ παννύχιοι διετέλουν
ἅπαντες ἐγρηγορότες, ὥστε τοὺς Κελτοὺς ἀπογνόντας
δι' ἀπάτης ἢ κλοπῆς καθέξειν τὸ φρούριον περὶ λύ-
τρων διαλέγεσθαι, ἃ τοῖς βαρβάροις δόντες κομιοῦνται
τὴν πόλιν. *Ambr.*

VIIII. (13) Ἐπεὶ δὲ τὰ ὅρκια ἐπετέλεσαν καὶ τὸ
χρυσίον οἱ Ῥωμαῖοι κατήνεγκαν, σταθμὸς μὲν ἦν, ὃν
ἔδει τοὺς Κελτοὺς λαβεῖν, ε' καὶ κ' τάλαντα· τεθέντος
δὲ τοῦ ζυγοῦ πρῶτον μὲν αὐτὸ τὸ τάλαντον ὁ Κελτὸς
βαρύτερον τοῦ δικαίου παρῆν φέρων, ἔπειτα ἀγανακ-
τούντων πρὸς τοῦτο τῶν Ῥωμαίων τοσούτου ἐδέησε
μετριάσαι περὶ τὸ δίκαιον, ὥστε καὶ τὴν μάχαιραν ἅμα
τῇ θήκῃ καὶ τῷ ζωστῆρι περιελόμενος ἐπέθηκε τοῖς
σταθμοῖς. τῷ δὲ ταμίᾳ πυνθανομένῳ, τί θέλει τοῦτ' 2
εἶναι τὸ ἔργον, ἀπεκρίνατο τούτοις ⟨τοῖς⟩ ὀνόμασιν·
ὀδύνη τοῖς κεκρατημένοις. ἐπεὶ δὲ ὁ συγκείμενος
σταθμὸς οὐκ ἐξεπληροῦτο διὰ τὴν τοῦ Κελτοῦ πλεο-
νεξίαν, ἀλλὰ καὶ τὸ τρίτον ἐνέδει μέρος, ἀπῄεσαν οἱ
Ῥωμαῖοι χρόνον εἰς συμπορισμὸν τοῦ λείποντος αἰτη-
σάμενοι· ὑπέμειναν δὲ ταύτην τὴν ὑπερηφανίαν τῶν
βαρβάρων οὐθὲν ἐγνωκότες τῶν ἐπὶ τοῦ στρατοπέδου

11 ante κομιοῦνται subiectum οἱ Ῥωμαῖοι vel tale quid deesse Struve censet  22 τοῖς add. Struve

*πραττομένων παρὰ Καιδικίου καὶ Καμίλλου, ὡς ἔφαμεν.* *Ambr.*

X. (14) *Ἡ δὲ αἰτία τῆς ⟨εἰς⟩ Ἰταλίαν τῶν Κελ-*
*τῶν ἀφίξεως τοιάδε ἦν. Λοκόμων τις Τυρρηνῶν ἡγε-*
*μὼν μέλλων τελευτᾶν τὸν βίον ἀνδρὶ πιστῷ Ἄρροντι*
*ὄνομα παρακατέθετο τὸν υἱὸν ἐπιτροπεύειν· τελευτή-*
*σαντος δὲ τοῦ Τυρρηνοῦ παραλαβὼν τὴν ἐπιμέλειαν*
*τοῦ παιδίου ὁ Ἄρρων ἐπιμελὴς καὶ δίκαιος γέγονε τῆς*
*πίστεως φύλαξ, καὶ εἰς ἄνδρας ἐλθόντι πᾶσαν ἀπέδειξε*
*τῷ παιδὶ τὴν καταλειφθεῖσαν ὑπὸ τοῦ πατρὸς οὐσίαν.*
*ἀνθ' ὧν οὐχ ὁμοίας ἐκομίσατο παρὰ τοῦ μειρακίου*
2 *χάριτας.* (15) *Οὔσης γὰρ αὐτῷ γυναικὸς εὐμόρφου*
*καὶ νέας, ἧς περὶ πλείστου τὴν κοινωνίαν ἐποιεῖτο,*
*σώφρονος τὸν ἄλλον χρόνον ἅπαντα γενομένης ἐρα-*
*σθεὶς ὁ νεανίσκος ἅμα τῷ σώματι καὶ τὴν διάνοιαν*
*τῆς ἀνθρώπου διέφθειρεν, ⟨καὶ⟩ οὐκέτι κρύβδα, ἀλλ'*
*ἀναφανδὸν ἐζήτει αὐτῇ διαλέγεσθαι. ἀχθόμενος δὴ ὁ*
*Ἄρρων τῷ ἀποσπασμῷ τῆς γυναικὸς καὶ ἐφ' οἷς ὑβρί-*
*ζετο πρὸς ἀμφοτέρων δυσανασχετῶν, τιμωρίαν δὲ οὐ*
*δυνάμενος παρ' αὐτῶν λαβεῖν, ἀποδημίαν ἐστείλατο*
3 *πρόφασιν αὐτῆς ποιησάμενος ἐμπορίαν. ἀσμένως δὲ*
*τοῦ νεανίσκου τὴν ἀπαλλαγὴν αὐτοῦ δεξαμένου καὶ*
*παρασχόντος ὅσων εἰς τὴν ἐμπορίαν ἐδεῖτο, πολλοὺς*
*μὲν ἀσκοὺς οἴνου τε καὶ ἐλαίου ταῖς ἁμάξαις ἐπι-*
*θέμενος, πολλοὺς δὲ φορμοὺς σύκων ἦγεν εἰς τὴν*
*Κελτικήν.* *Ambr.*

3 *τῆς Ἰταλίαν* Ambr. *ἐς* add. Maius *εἰς* scripsi 8 *γεγόνει* c. Struve 10 *καταληφθεῖσαν* Ambr. corr. Struve 16 *καὶ* om. Ambr. add. Maius 18 *ἀσπασμῷ* Ambr. corr. Struve cf. V 55, 2 21 *ἀσμένως*] *ἀσμένου* stulte Garrer Obs. p. 28

XI. (16) *Οἱ δὲ Κελτοὶ οὔτε οἶνον ἀμπέλινον εἰδότες τηνικαῦτα οὔτε ἔλαιον, οἷον αἱ παρ᾽ ἡμῖν ἐλαῖαι φέρουσιν, ἀλλ᾽ οἴνῳ μὲν χρώμενοι κριθῆς σαπείσης ἐν ὕδατι χυλῷ δυσώδει, ἐλαίῳ δὲ συείῳ στέατι πεπαλαιωμένῳ τήν τε ὀδμὴν καὶ τὴν γεῦσιν ἀτόπῳ, τότε ⟨δὲ⟩ πρῶτον ἀπολαύσαντες ὧν οὔπω ἐγεύσαντο καρπῶν, θαυμαστὰς ὅσας ἐφ᾽ ἑκάστῳ ἐλάμβανον ἡδονὰς καὶ τὸν ξένον ἠρώτων, πῶς τε γίνεται τούτων ἕκαστον καὶ παρὰ τίσιν ἀνθρώποις.* (17) *Ὁ δὲ Τυρρηνὸς πρὸς* 2
*αὐτούς φησιν, ὅτι γῆ μέν ἐστιν ἡ τούτους ἐκφέρουσα τοὺς καρποὺς πολλὴ καὶ ἀγαθή, νέμονται δὲ αὐτὴν ὀλίγοι τινὲς ἄνθρωποι καὶ τὰ εἰς πόλεμον οὐδὲν ἀμείνους γυναικῶν, ὑπέθετό τε αὐτοῖς μὴ δι᾽ ὠνῆς αὐτὰ παρ᾽ ἑτέρων ἔτι λαμβάνειν, ἀλλ᾽ ἐκβαλόντας τοὺς τότε κυρίους ὡς οἰκεῖα καρποῦσθαι. τούτοις δὴ τοῖς λόγοις οἱ Κελτοὶ πειθόμενοι ἦλθον εἰς Ἰταλίαν καὶ Τυρρηνῶν τοὺς καλουμένους Κλουσίνους, ὅθεν ἦν καὶ ὁ πείσας αὐτοὺς πολεμεῖν. Ambr.*

XII. (18) *Ἀποσταλέντων δὲ πρεσβευτῶν ἐκ Ῥώμης ἐπὶ Κελτούς, ἐπεὶ ἤκουσεν εἷς τῶν πρεσβευόντων, Κόιντος Φάβιος, τοὺς βαρβάρους ἐπὶ προνομὴν ἐξεληλυθέναι, συνάπτει πόλεμον αὐτοῖς καὶ τὸν τῶν Κελτῶν ἡγεμόνα ἀναιρεῖ· ἀποστείλαντες δὲ εἰς Ῥώμην οἱ βάρβαροι ἠξίουν παραδιδόναι σφίσι τὸν ἄνδρα καὶ τὸν ἀδελφὸν αὐτοῦ ἐκδότους, ποινὰς ὑφέξοντας τῶν*

5 post *τότε* inserendum esse *τε* vel *δὲ* Struve censet 17 *Κλουσήνους* Ambr. de accusativo *Κλουσίνους* cf. Krebs Zur Rection der Casus I p. 11 18 *πολεμεῖν* Ambr. *ἐπολέμουν* Kiessling. Cum *ἔρχεσθαι εἰς πολεμίους* saepe legatur, *ἦλθον εἰς — Κλουσίνους* corrigendum non est 24 *ἤξιον* Ambr. Q *ἠξίουν* Ambr. A

ἀπολωλότων. (19) Παρελκούσης δὲ τῆς βουλῆς τὰς ἀποκρίσεις ἐπὶ τὴν Ῥώμην τὸν πόλεμον ἀναγκαίως οἱ Κελτοὶ μετήγαγον. Οἱ δὲ Ῥωμαῖοι ἀκούσαντες ἐξῄεσαν ἐκ τῆς πόλεως ἄγοντες ἐκ μὲν τῶν ἐπιλέκτων τε καὶ κατηθλημένων ἐν τοῖς πολέμοις στρατιωτῶν τέτταρα τάγματα ἐντελῆ· ἐκ δὲ τῶν ἄλλων πολιτῶν τοὺς κατοικιδίους τε καὶ σχολαίους καὶ ἧττον ὡμιληκότας πολέμοις πλείους ὄντας ἀριθμῷ τῶν ἑτέρων. τούτους δὴ τρεψάμενοι οἱ Κελτοὶ καὶ σύμπασαν τὴν Ῥώμην ἄνευ τοῦ Καπιτωλίου παρεστήσαντο. *Ambr.*

2 *ἀναγκαίως* Ambr. *ἐξαπιναίως* c. Struve *ἀγανακτοῦντες* Hertlein Hermes X 421 9 *καὶ* ante *σύμπασαν* delendum esse c. Kiessling

---

*Νέπετος πόλις Ἰταλίας, Διονύσιος τρισκαιδεκάτῳ Ῥωμαικῆς ἀρχαιολογίας, τὸ ἐθνικὸν Νεπεσῖνος.* *Stephanus Byz. s. v. Νέπετος.*

# EXCERPTA

## EX

## LIBRO XIIII.

---

I. (1) Ἡ δὲ Κελτικὴ κεῖται μὲν ἐν τῷ πρὸς τὴν ἑσπέραν καθήκοντι τῆς Εὐρώπης μέρει μεταξὺ τοῦ τε βορείου πόλου καὶ τῆς ἰσημερινῆς δύσεως· τετράγωνος δὲ οὖσα τῷ σχήματι τοῖς μὲν Ἀλπείοις ὄρεσι μεγίστοις οὖσι τῶν Εὐρωπείων συνάπτει κατὰ τὰς ἀνατολάς, τοῖς δὲ Πυρρηναίοις κατὰ μεσημβρίαν τε καὶ νότον ἄνεμον, τῇ δὲ ἔξω στηλῶν Ἡρακλείων θαλάττῃ κατὰ τὰς δύσεις, τῷ δὲ Σκυθικῷ τε καὶ Θρᾳκίῳ γένει κατὰ βορέαν ἄνεμον καὶ ποταμὸν Ἴστρον, ὃς ἀπὸ τῶν Ἀλπείων καταβαίνων ὀρῶν μέγιστος τῶν τῇδε ποταμῶν καὶ πᾶσαν τὴν ὑπὸ τοῖς ἄρκτοις ἤπειρον διελθὼν εἰς τὸ Ποντικὸν ἐξερεύγεται πέλαγος. (2) Τοσαύτη 2
δὲ οὖσα τὸ μέγεθος, ὅση μὴ πολὺ ἀποδεῖν τετάρτη λέγεσθαι μοῖρα τῆς Εὐρώπης, εὔυδρός τε καὶ πίειρα καὶ καρποῖς δαψιλὴς καὶ κτήνεσιν ἀρίστη νέμεσθαι, σχίζεται μέση ποταμῷ Ῥήνῳ, μεγίστῳ μετὰ τὸν Ἴστρον εἶναι δοκοῦντι τῶν κατὰ τὴν Εὐρώπην ποταμῶν.

2 *καθήκοντα* Ambr. 4 *Ἀλπείοις*] *Ῥιπαίοις* c. Struve qui de hoc loco multis verbis disserit 10 *μέγιστός ἐστι* c. dubitanter Kiessling 12 *τὸν Ποντικὸν* Ambr.

3 καλεῖται δ' ἡ μὲν ἐπὶ τάδε τοῦ Ῥήνου Σκύθαις καὶ
Θρᾳξὶν ὁμοροῦσα Γερμανία, μέχρι δρυμοῦ Ἑρκυνίου
καὶ τῶν Ῥιπαίων ὀρῶν καθήκουσα, ἡ δ' ἐπὶ θάτερα
τὰ πρὸς μεσημβρίαν βλέποντα μέχρι Πυρρήνης ὄρους,
ἡ τὸν Γαλατικὸν κόλπον περιλαμβάνουσα, Γαλατία τῆς
4 θαλάττης ἐπώνυμος. (3) Κοινῷ δ' ὀνόματι ἡ σύμπασα
πρὸς Ἑλλήνων καλεῖται Κελτική, ὡς μέν τινές φασιν,
ἀπό τινος γίγαντος Κελτοῦ αὐτόθι δυναστεύσαντος,
ἄλλοι δὲ ἐξ Ἡρακλέους καὶ Ἀστερόπης τῆς Ἀτλαντίδος
δύο γενέσθαι μυθολογοῦσι παῖδας, Ἴβηρον καὶ Κελτόν,
οὓς θέσθαι ταῖς χώραις, ὧν ἦρξαν ἀμφότεροι, τὰς
5 ὀνομασίας ἀφ' αὐτῶν. οἱ δὲ ποταμὸν εἶναί τινα λέ-
γουσι Κελτὸν ἐκ τῆς Πυρρήνης ἀναδιδόμενον, ἀφ' οὗ
πρῶτον μὲν τὴν συνεγγύς, ἔπειτα δὲ καὶ τὴν ἄλλην
χώραν σὺν χρόνῳ κληθῆναι Κελτικήν. φασὶ δὲ καί
τινες, ὅτι τοῖς πρώτοις Ἕλλησιν εἰς τήνδε τὴν γῆν
περαιουμένοις αἱ νῆες ἀνέμῳ βιαίῳ φερόμεναι κατὰ
τὸν κόλπον ἔκελσαν τὸν Γαλατικόν, οἱ δ' ἄνδρες,
ἐπειδὴ τοῦ αἰγιαλοῦ ἐλάβοντο, Κελσικὴν ἀπὸ τοῦ συμ-
βάντος αὐτοῖς πάθους τὴν χώραν ἐκάλεσαν, ἣν ἑνὸς
ἀλλαγῇ γράμματος οἱ μεταγενέστεροι Κελτικὴν ὠνόμα-
σαν. *Ambr.*

II. (4) Ἀθήνησι μὲν ἐν τοῦ γηγενοῦς Ἐρεχθέως
τῷ σηκῷ ἱερά τις ὑπ' Ἀθηνᾶς φυτευθεῖσα ἐλαία κατὰ

2 μέχρι δρυμοῦ Ταρκηνίου vel Ταρκυνίου Ambr. 4 βλέποντα Ambr. corr. Struve 5 παραλαμβάνουσα corr. Struve 9 ἀντλάτιδος Ambr. A ἀτ^v^λάτιδος Ambr. Q 14 ἔπειτα δὲ] cf. Baumann Obs. gram. p. 32 seq. 23 ἐν τῇ γηγενοῦς Ἐ. τῷ σηκῷ Ambr. ἐν τῷ γ. Ἐ. σηκῷ Maius ἐν τῷ τοῦ γ. Ἐ. σηκῷ Struve ἐν τοῦ γ. Ἐ. τῷ σηκῷ Kiessling 24 φυθεῖσα ὑπὸ τῶν βαρβάρων Ambr.

*τὴν ἔριν τὴν γενομένην αὐτῇ πρὸς Ποσειδῶνα περὶ τῆς χώρας, ἅμα τοῖς ἄλλοις τοῖς ἐν τῷ ἱερῷ οὖσιν ἐμπρησθεῖσα ὑπὸ τῶν βαρβάρων, ὅτε τῆς ἀκροπόλεως ἐκράτησαν, δευτέρᾳ τῆς ἐμπρήσεως ἡμέρᾳ βλαστὸν ἐκ τοῦ στελέχους ἀνῆκεν ὅσον τε πηχυαῖον, δῆλον ἅπασι ποιῆσαι βουλομένων τῶν θεῶν, ὅτι ταχέως ἑαυτὴν ἡ πόλις ἀναλαβοῦσα βλαστοὺς ἀντὶ τῶν παλαιῶν ἐξοίσει*
*νέους.* (5) *Ἐν δὲ τῇ Ῥώμῃ καλιάς τις Ἄρεος ἱερὰ* 2
*περὶ τὴν κορυφὴν ἱδρυμένη τοῦ Παλατίου συγκαταφλεγεῖσα ταῖς πέριξ οἰκίαις ἕως ἐδάφους, ἀνακαθαιρομένων τῶν οἰκοπέδων ἕνεκα τῆς ἐπισκευῆς, ἐν μέσῃ τῇ περικαύστῳ σποδῷ τὸ σύμβολον τοῦ συνοικισμοῦ τῆς πόλεως διέσωσεν ἀπαθές, ῥόπαλον ἐκ θατέρου τῶν ἄκρων ἐπικάμπιον, οἷα φέρουσι βουκόλοι καὶ νομεῖς οἱ μὲν καλαύροπας, οἱ δὲ λαγωβόλα καλοῦντες, ᾧ Ῥωμύλος ὀρνιθευόμενος διέγραφε τῶν οἰωνῶν τὰς χώρας, ὅτε τὴν πόλιν οἰκίζειν ἔμελλεν.*

*Εὐζώνῳ καὶ οὐδὲν ἔξω τῶν ὅπλων φερούσῃ* 3
*στρατιᾷ.*

*Κρότου καταρραγέντος, ὡς ἐπὶ μεγίστῳ μὲν θεάματι, καλλίστῳ δ' ἀκούσματι, οἵ τε βεβαίως ἄποροι καὶ οἱ πλαττόμενοι τὴν εἰς τὸ παντελὲς ἀπορίαν.* *Ambr.*

2309 III. (8) *Ὅτι Μάρκος Φούριος ὁ δικτάτωρ ἀνὴρ ἦν τῶν κατὰ τὴν αὐτὴν ἀκμασάντων ἡλικίαν τά τε πολέμια λαμπρότατος καὶ τὰ πολιτικὰ φρονιμώτατος.* *Vales.*

4 *δευτέραν — ἡμέραν* Ambr. corr. Struve 5 *παχυαῖον* Ambr. 8 *καλιά τις* Ambr. *καλιάς τις* Kiessling 9 *παλαντίου* Ambr. 12 *περικαύστῳ*] cf. Götzeler Animadv. II 31 *πυρικαύστῳ* c. Struve 14 *ἐπικάμπτον* Ambr. Q *ἐπικάμπτων* Ambr. A *ἐπικαμπὲς* c. Maius *ἐπικάμπιον* Struve 25 *πολεμικὰ* Turon. *πολιτικὰ* Valesius

IIII. (6) *Μάλλιος ὁ ἀριστεύσας, ὅτε εἰς τὸ Καπιτώλιον Ῥωμαῖοι κατέφυγον, κινδυνεύων διὰ τυραννίδος ἐπίθεσιν ἀπολέσθαι, βλέψας εἰς τὸ Καπιτώλιον καὶ τὰς χεῖρας ἐκτείνας εἰς τὸν ἐν αὐτῷ νεὼν τοῦ Διὸς εἶπεν· οὐδ' ἐκεῖνος ὁ τόπος ἱκανὸς ἔσται με σῶσαι, ὃν ὑπὸ τῶν βαρβάρων κρατηθέντα διέσωσα ὑμῖν ἐγώ; ἀλλὰ καὶ τότε ὑπὲρ ὑμῶν ἀπέθνησκον καὶ νῦν ὑφ' ὑμῶν ἀποθανοῦμαι. τότε μὲν οὖν συμπαθήσαντες ἀφῆκαν αὐτόν, ὕστερον δὲ κατὰ κρημνοῦ ἐρρίφη.* Ambr.

V. (7) *Κρατήσας τῶν πολεμίων καὶ τὴν στρατιὰν ἐπικλύσας ταῖς ὠφελείαις Τίτος Κοίντιος δικτατορεύων ἐν ἡμέραις ἐννέα πόλεις ἐννέα πολεμίων ἔλαβεν.*

*Ληφθέντες ἀμφοτέρωθεν ἀγεληδὸν οἱ θεοστυγεῖς κατεκόπησαν.* Ambr.

VI. (8) *Ὅτι οἱ Ῥωμαῖοι μεγαλοπρεπεῖς. τῶν γὰρ* 2310 *ἄλλων ὀλίγου δεῖν πάντων ἔν τε τοῖς κοινοῖς τῶν πόλεων πράγμασι καὶ ἐν τοῖς ἰδίοις βίοις πρὸς τὰ τελευταῖα τῶν συμβαινόντων τὰς διανοίας μεθαρμοττομένων καὶ πολλάκις ἔχθρας τε μεγάλας διὰ τὰς τυχούσας φιλανθρωπίας καταλυομένων καὶ φιλίας πολυχρονίους διὰ μικρὰ καὶ φαῦλα προσκρούματα διαιρούντων ἐκεῖνοι τοὐναντίον ἐπὶ τῶν φίλων ᾤοντο χρῆναι ποιεῖν, ταῖς τε παλαιαῖς εὐεργεσίαις χαρίζεσθαι τὰς ἐπὶ τοῖς*
2 *προσφάτοις ἐγκλήμασιν ὀργάς.* (9) *Θαυμαστὸν μὲν δὴ καὶ τοῦτο τῶν ἀνδρῶν· λέγω δὲ τὸ μηδενὶ μνησικακῆσαι τῶν Τυσκλάνων, ἀλλὰ πάντας ἀφεῖναι τοὺς ἐξαμαρτόντας ἀζημίους· πολλῷ δ' ἔτι τούτου θαυμασιώ-*

4 *τὸν ἑαναύτῶν* Ambr. Q   6 *διέσωσ$\overset{\alpha}{\epsilon}$ν* Ambr.   7 *ἀπέθνησκον*] mutandum non est, Struve errat

*τερον, ὃ μετὰ τὴν ἄφεσιν τῶν ἐγκλημάτων αὐτοῖς*
2311 *ἐχαρίσαντο. σκοπούμενοι γάρ, ὡς μηδὲν ἔτι τοιοῦτον*
*ἐν τῇ πόλει γενήσεται μηδ' ἀφορμὴν νεωτερισμοῦ λή-*
*ψονταί τινες, οὔτε φρουρὰν εἰς τὴν ἀκρόπολιν αὐτῶν*
*ᾤοντο δεῖν εἰσάγειν, οὔτε παρὰ τῶν ἐπιφανεστάτων*
*ἀνδρῶν ὅμηρα λαμβάνειν, οὔτε ὅπλα τοὺς ἔχοντας ἀφε-*
*λέσθαι, οὔτ' ἄλλο σημεῖον οὐδὲν ἀπιστουμένης φιλίας*
*ποιῆσαι· μίαν δὲ πρᾶξιν οἰόμενοι* ⟨*συνέχειν*⟩ *ἅπαντας* 3
*τοὺς κατὰ συγγένειαν ἢ φιλίαν προσήκοντας ἀλλήλοις*
*τὴν τῶν ἀγαθῶν ἰσομοιρίαν, πολιτείαν ἔγνωσαν τοῖς*
*κρατηθεῖσι χαρίσασθαι, πάντων μεταδόντες ὧν τοῖς*
*φύσει Ῥωμαίοις μετῆν,* (10) *οὐ τὴν αὐτὴν διάνοιαν*
*λαβόντες τοῖς ἀξιοῦσι τῆς Ἑλλάδος ἄρχειν οὔτ' Ἀθη-*
*ναίοις οὔτε Λακεδαιμονίοις· τί γὰρ δεῖ περὶ τῶν ἄλλων* 4
*Ἑλλήνων λέγειν; Ἀθηναῖοι μέν γε Σαμίους ἀποίκους*
2312 *ἑαυτῶν ὄντας, Λακεδαιμόνιοι δὲ Μεσσηνίους ἀδελφῶν*
*οὐδὲν διαφέροντας, ἐπειδὴ προσέκρουσαν αὐτοῖς τι,*
*διαλυσάμενοι τὴν συγγένειαν οὕτως ὠμῶς διεχειρί-*
*σαντο καὶ θηριωδῶς, ἐπειδὴ τὰς πόλεις αὐτῶν ὑπο-*
*χειρίους ἔλαβον, ὥστε μηδὲ τοῖς ἀγριωτάτοις τῶν βαρ-*
*βάρων ὑπερβολὴν τῆς εἰς τὰ ὁμόφυλα παρανομίας*
*παραλιπεῖν.* (11) *Μυρία τοιαῦτα λέγειν ἄν τις ἔχοι* 5
*ταῖς πόλεσι ταύταις ἡμαρτημένα, ἃ παρίημι, ἐπεὶ καὶ*
*τούτων μεμνημένος ἄχθομαι· τὸ γὰρ Ἑλληνικὸν οὐκ*
*ὀνόματι διαφέρειν τοῦ βαρβάρου ἠξίουν οὐδὲ διαλέκ-*

2 ὡς] *πῶς* c. Naber Mnem. 30, 259 an *ὅπως*? 3 *ἐν*] *ἐπὶ* c. Kiessling 8 post *πρᾶξιν* Valesio videtur deesse verbum aliquod ut *συνέχειν* vel simile quid. Ego post *οἰόμενοι* cum Prou *συνέχειν* inserui. An post *οἰόμενοι* excidit *καθομιλεῖν*? 25 pro *ἠξίουν* (sic) c. Kayser Fleck. Ann. 1870, 727 *ἄξιον*

ων χάριν, ἀλλὰ σπονδὰς καὶ χρηστῶν ἐπιτηδευμάτων 2313 χρονίσας, μάλιστα δὲ τῷ μηδὲν τῶν ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ⟨εἰς⟩ ἀλλήλους πεπονθέναι. ὅσοις μὲν οὖν ταῦτα ἐπὶ πλεῖον ὑπῆρξεν ἐν τῇ φύσει, τούτους οἶμαι δεῖν λέγειν Ἕλληνας, ὅσοις δὲ τἀναντία βαρβάρους. καὶ τὰς μὲν ἐπιεικεῖς καὶ φιλανθρώπους διανοίας τε καὶ πράξεις αὐτῶν Ἑλληνικὰς εἶναι λογίζομαι, τὰς δ' ὠμὰς καὶ θηριώδεις, ἄλλως τε κἂν περὶ συγγενεῖς τε καὶ φίλους γίνωνται, βαρβαρικάς. Τουσκλανοὶ μὲν δὴ πρὸς τῷ μηδὲν ἀφαιρεθῆναι τῶν σφετέρων ἁλούσης τῆς πόλεως, [ἀλλὰ] καὶ τὰ τῶν κεκρατηκότων ἀγαθὰ προσλαβόντες ἀπῆλθον. Vales.

VII. Ὅτι Σολπίκιος Ῥοῦφος ἐπίκλησιν ἀνὴρ ἦν ἔν τε ταῖς πολεμικαῖς πράξεσιν ἐπιφανὴς καὶ πολιτείας προαίρεσιν ἐζηλωκὼς τὴν διὰ μέσου. Vales.

VIII. (12) Οἱ Κελτοὶ τῇ Ῥώμῃ ἐκ δευτέρου ἐπιστρατεύσαντες τὴν χώραν τὴν Ἀλβανὴν ἐπόρθουν· ἔνθα μὲν πολλῆς ἅπαντες ἐδωδῆς ἐμπιμπλάμενοι, πολὺν δὲ πίνοντες ἄκρατον οἶνον — ἔστι δὲ ὁ τῇδε φυόμενος μετὰ τὸν Φαλερινὸν ἥδιστος οἴνων μελικράτῳ μάλιστα προσεμφερής — ὕπνον τε πλείονα τοῦ συνήθους αἱρούμενοι καὶ δίαιταν ὑπὸ σκιαῖς ὡς τὰ πολλὰ ἔχοντες τοσαύτην ἔλαβον ἐπίδοσιν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα καὶ οὕτως ἐξεθηλύνθησαν τὰς δυνάμεις,

1 χάριν Turon. χάριτι Valesius 2 μηδενὶ Valesius μηδὲν Reiske ὑπὲρ] Cobet Obs. p. 214 falso παρὰ coniecit 3 φύσιν ἀλλήλους Turon. εἰς add. Reiske πρὸς Kiessling cf. Tegge Quaest. de D. H. usu praeposit. p. 34 adn. 4 τὰ ἐπιπλεῖον Valesius τὰ ἐπιεικῆ πλείονα vel ταῦτα ἐπὶ πλεῖον vel τὰ εἰρημένα ἐπὶ πλεῖον c Reiske τάδε ἐπὶ πλεῖον Krüger Ind. p. 263 9 γίνωνται] γένωνται c. Kiessling 11 ἀλλὰ Reiske delevit 16 στρατεύσαντες Ambr. corr. Hertlein Hermes X 421; cf. XV 1, 1

ὥσθ᾽, ὁπότε γυμνάζειν ἐπιβάλοιντο τὰ σώματα καὶ διαπονεῖν ἐν τοῖς ὅπλοις, κόπτεσθαι μὲν ἄσθματι συνεχεῖ τὰ πνεύματα, ῥεῖσθαι δ᾽ ἱδρῶτι πολλῷ τὰ μέλη, θᾶττον δὲ ἀφίστασθαι τῶν πόνων ἢ κελευσθεῖεν ὑπὸ τῶν ἡγεμόνων. *Ambr.*

VIIII. (13) Ταῦτα μαθὼν ὁ τῶν Ῥωμαίων δικτάτωρ Κάμιλλος, συγκαλέσας τοὺς ἀμφ᾽ αὐτὸν ἐδημηγόρησε πολλὰ παρορμῶντα εἰς τόλμαν, ἐν οἷς καὶ τάδε·

ὅπλα κρείττονα τῶν βαρβαρικῶν ἡμῖν μεμηχάνηται, 2
θώρακες καὶ κράνη καὶ κνημῖδες καὶ κραταιοὶ θυρεοί, ὑφ᾽ ὧν ὅλα τὰ σώματα ἔχομεν ἐν φυλακῇ, ξίφη τε ἀμφίστομα καὶ ἀντὶ λόγχης ὑσσός, ἄφυκτον βέλος· τὰ μὲν σκεπαστήρια, οἷα μὴ ῥᾳδίως ταῖς πληγαῖς εἴκειν, τὰ δ᾽ ἀμυντήρια, ὡς διὰ πάσης φέρεσθαι προβολῆς. τῶν δὲ γυμναὶ μὲν αἱ κεφαλαί, γυμνὰ δὲ τὰ στέρνα καὶ αἱ λαγόνες, γυμνοὶ δὲ μηροὶ καὶ σκέλη μέχρι ποδῶν, ἔρυμά τε οὐδὲν ἕτερον, ὅ τι μὴ θυρεοί· ἀμυντήρια δὲ
λόγχαι καὶ μάχαιραι κοπίδες ὑπερμήκεις. (14) Τό τε 3
χωρίον, ἐν ᾧ τὸν ἀγῶνα ποιησόμεθα, σύνεργον ἡμῖν τοῖς ἀπὸ μετεώρου κατιοῦσιν ἐπὶ τὸ πρανές, ἐκείνοις δὲ πολέμιον τοῖς ἐκ τοῦ χθαμαλοῦ πρὸς τὰ μετέωρα χωρεῖν ἀναγκαζομένοις. φοβείσθω δὲ μηδεὶς ὑμῶν

7 ἀμφ᾽] ἀφ᾽ Ambr. 8 *τόλμαν, ἐν οἷς καὶ τάδε. ὅπλα* Ambr. *τόλμαν· Ἄνδρες τὰ μὲν ὅπλα* Maius 12 *ὀιστός* Ambr. *ὑσσός* rectissime c. Naber Mnem. 30, 259; cf. verba Dionysi V 46, 2 14 *δι᾽ ἁπάσης* vulgo correxi 15 *τῶν δὲ* Ambr. *Κελτῶν δὲ* Struve 18 *μάχαιραι κοπίδες* Ambr. *μαγειρικαὶ κοπίδες* Struve *μάχαιραι* delevit Kiessling. Mea quidem sententia nihil mutandum est; Dionysius multa vocabula e poetarum sermone adoptavit; cf. Euripides Cycl. 240 | *τό τε* Ambr. *τὸ δὲ* Struve 22 *φοβείτω δὲ μηδὲ ὑμῶν* Ambr. *φοβείσθω* Struve cf. Baumann Obs. gram. p. 62 *μηδεὶς* Maius *τοῖς ἀπὸ τοῦ μετεώρου κατιοῦσιν* Tegge Quaest. p. 20

μήτε τὸ πλῆθος τῶν πολεμίων μήτε τὸ μέγεθος, μηδ' εἰς ταῦτά τις πλεονεκτήματα αὐτῶν ὁρῶν ἀθυμότερος πρὸς τὸν ἀγῶνα ἔστω, ἀλλ' ἐνθυμείσθω πρῶτον μέν, ὅτι κρεῖττόν ἐστιν ἔλαττον στράτευμα ἐπιστάμενον, ἃ δεῖ πράττειν, ἢ πολὺ ἀμαθές· ἔπειθ' ὅτι τοῖς μὲν ὑπὲρ τῶν ἰδίων ἀγωνιζομένοις ἡ φύσις αὐτὴ θάρσος τέ τι πρὸς τοὺς κινδύνους παρίστησι, καὶ πνεῦμα ἐνθουσιῶδες ὥσπερ τοῖς θεοφορήτοις παρέχει, τοῖς δ' ἁρπάσαι τὰ ἀλλότρια προθυμουμένοις μαλακώτεραι πρὸς
4 τὰ δεινὰ ⟨αἱ⟩ τόλμαι φιλοῦσι γίνεσθαι. (15) Ἀλλὰ μὴν οὐδ' οἷς δεδίττονται τοὺς πολεμίους καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν ἐκδειματοῦσιν, ὀρρωδητέα ἡμῖν ἐστιν, ὥσπερ ἀπείροις πολέμου. τί γὰρ ἂν δυνήσονται δεινὸν ἐργάσασθαι τοὺς ὁμόσε χωροῦντας αἱ βαθεῖαι κόμαι καὶ τὸ ἐν τοῖς ὄμμασιν αὐτῶν πικρὸν καὶ ὁ βλοσυρὸς τῆς ὄψεως χαρακτὴρ αἵ τε δὴ πλημμελεῖς αὗται σκιρτήσεις καὶ τὰ διὰ κενῆς ἀνασείσματα τῶν ὅπλων καὶ οἱ πολλοὶ τῶν θυρεῶν κτύποι, καὶ ὅσα ἄλλα ὑπὸ βαρβάρου καὶ ἄφρονος ἀλαζονείας κατά τε μορφὰς καὶ φωνὰς ἐν ἀπειλαῖς πολεμίων σπαθᾶται, τίνα παρέχειν πέφυκε τοῖς ἀνοήτως ἐπιοῦσι πλεονεξίαν ἢ τοῖς μετὰ
5 λογισμοῦ παρὰ τὰ δεινὰ ἑστῶσι φόβον; (16) Ταῦτα δὴ διανοηθέντες, ὅσοι τε ὑμῶν ἐν τῷ κατὰ Κελτῶν

4 κρείττων Ambr.(?) 10 αἱ add. Struve 11 δίττονται Ambr. 13 ἂν δυνήσονται Ambr. cf. Struve, quo auctore ἂν Kiessling delevit; Baumann Obs. gram. p. 6; 11; 18; W. Schmidt de Flav. Ios. eloc. p. 414 adn. Jacoby Philol. 37 (1877) 338 14 ἐργάσεσθαι Ambr. ἐργάσασθαι Kiessling 16 αἱ δὲ δὴ Ambr. αἵ τε δὴ Kiessling 19 μορφῆς Ambr. 20 τίνα παρέχειν πέφυκε Ambr. 22 παρὰ τὰ δεινὰ] πρὸς τὰ δεινὰ Struve cf. Tegge Quaest. de usu D. H. praep. p. 11 n.; Grasberger Tess. Herbip. p. 15

προτέρῳ πολέμῳ παρεγένεσθε καὶ ὅσοι διὰ νεότητα ἀπελείφθητε αὐτοῦ, οἱ μὲν ἵνα ⟨τὴν⟩ τότε ἀρετὴν μὴ καταισχύνητε τῇ νῦν δειλίᾳ, οἱ δ' ἵνα μηδὲν ἐνδεέστεροι γένησθε τῶν πρεσβυτέρων ἐν ἐπιδείξει καλῶν ἔργων, ἴτε, ὦ γενναῖοι παῖδες ἀγαθῶν ζηλωταὶ πατέρων, ἴτε ἀκαταπλήκτως ἐπ' αὐτοὺς θεούς τε ἀρωγοὺς ἔχοντες, οἳ παρέξουσιν ὑμῖν ἐξουσίαν, οἵας ἐβούλεσθε παρὰ τῶν ἐχθίστων ἀναπράξασθαι δίκας, καὶ στρατηγὸν ἐμέ, ᾧ πολλὴν μὲν εὐβουλίαν μαρτυρεῖτε, πολλὴν δ' εὐποτμίαν· μακάριον μὲν ἕξοντες τὸν ἀπὸ τοῦδε 6
χρόνον, οἷς ἂν ἐγγένηται τὸν ἐπιφανέστατον τῇ πατρίδι στέφανον καταγαγεῖν, καλὴν δὲ καὶ ἀθάνατον εὔκλειαν καταλείψοντες ἀντὶ τοῦ θνητοῦ σώματος νηπίοις παισὶ καὶ γηραιοῖς γονεῦσιν, οἱ ταύτην ἐκπληρώσοντες τὴν τοῦ βίου τελευτήν. οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· κινεῖται γὰρ ἤδη τὸ βάρβαρον στράτευμα χωροῦν ἐφ' ἡμᾶς. ἀλλ' ἄπιτε καὶ καθίστασθε εἰς τάξιν. *Ambr.*

X. (17) Ἡ μὲν οὖν τῶν βαρβάρων μάχη πολὺ τὸ θηριῶδες καὶ μανικὸν ἔχουσα πλημμελής τις ἦν καὶ σοφίας τῆς ἐν ὅπλοις ἄμοιρος. τοτὲ μὲν γὰρ ἀνατείνοντες ἄνω τὰς μαχαίρας τὸν ἄγριον τρόπον ἔπαιον ὅλοις συνεμπίπτοντες τοῖς ἑαυτῶν σώμασιν, ὥσπερ ὑλοτόμοι τινὲς ἢ σκαπανεῖς, τοτὲ δ' ἐκ τῶν πλαγίων ἀστοχάστους πληγὰς ἐξέφερον, ὡς αὐτοῖς σκεπαστη-

2 τὴν add. Struve 11 χρόνον] βίον c. Smit Obs. p. 60 | ἐν τῇ πατρίδι στέφανον καταλαβεῖν c. Struve cf. Flierle Über die Nachahmungen Leipzig 1890, 33 14 οἱ ταύτην ἐκπληρώσοντες] οἱ ταύτῃ ἂν ἐκπληρώσαντες c. Struve 21 τοῖς ἐν ὅπλοις Ambr. corr. Maius 22 τὸν ἄγριον τρόπον verba sana non esse Struve censet

*ρίοις ὅλα διακόψοντες τὰ σώματα τῶν ἀντιπολέμων·*

2 *ἔπειτα τὰς ἀκμὰς τῶν σιδήρων ἀπέστρεφον.* (18) *Ἡ δὲ τῶν Ῥωμαίων ἀλκὴ καὶ πρὸς τὸ βάρβαρον αὐτῶν ἀντιτέχνησις εὐπαίδευτός τε ἦν καὶ πολὺ τὸ ἀσφαλὲς ἔχουσα. ἔτι γὰρ αὐτῶν ἀναιρομένων τὰς μαχαίρας ὑποδύνοντες ὑπὸ τοὺς βραχίονας καὶ τοὺς θυρεοὺς εἰς ὕψος ἀνατείνοντες, ἔπειτα γυροὶ καὶ βραχεῖς γινόμενοι, τὰς μὲν ἐκείνων πληγὰς ὑπερπετεῖς γινομένας ἀπράκτους καὶ κενὰς ἐποίουν, αὐτοὶ δὲ ὀρθὰ τὰ ξίφη φέροντες βουβῶνάς τε αὐτῶν ἔπαιον καὶ λαγόνας διῄρουν καὶ διὰ στέρνων ἐπὶ τὰ σπλάγχνα τὰς πληγὰς ἐξέτεινον· ὅσους δὲ ταῦτα τὰ μέρη διὰ φυλακῆς ἔχοντας αἴσθοιντο, γονάτων ἢ σφυρῶν νεῦρα διακείροντες ἐξέχεον ἐπὶ τὴν γῆν βεβρυχότας καὶ τοὺς θυρεοὺς ὀδακτίζοντας καὶ βοὴν ὠρυγῇ παραπλησίαν ὥσπερ τὰ*

3 *θηρία προϊεμένους.* (19) *Ἥ τε δύναμις ὑπέλειπε πολλοὺς τῶν βαρβάρων ἐκλυομένων τῶν μελῶν ὑπὸ κόπων καὶ τῶν ὅπλων τὰ μὲν ἀπεστόμωτο, τὰ δὲ συνετέθραυστο, τὰ δ' οὐκέτι προσωφελεῖν δυνατὰ ἦν· χωρὶς γὰρ τοῦ καταρρέοντος ἐκ τῶν τραυμάτων αἵματος οἱ δι' ὅλων ἐκχεόμενοι τῶν σωμάτων ἱδρῶτες οὔτε τὰς μαχαίρας εἴων κρατεῖν οὔτε τοὺς θυρεοὺς κατέχειν, περιολισθανόντων ταῖς λαβαῖς τῶν δακτύλων καὶ τὰς ἀφὰς οὐκέτι κραταιὰς ἐχόντων. Ῥωμαῖοι δὲ πολλῶν ἐθάδες ὄντες πόνων διὰ τὰς ἀτρύτους καὶ συνεχεῖς στρατείας ἅπαντα τὰ δεινὰ γενναίως ἀνέφερον.* *Ambr.*

4 *εὔπαιδος* Ambr. *εὐπαίδευτος* Maius, corruptum esse Struve censet; cf. Götzeler Animadv. I 28 5 *διαιρουμένων* Ambr. *διαιρομένων* Struve *ἀναιρομένων* Kiessling 15 *βοῇ* Ambr. *βοὴν* Maius 18 *συντέθραυτο* Ambr. 23 *περιολισθαινόντων* Ambr. *περιολισθανόντων* Cobet Obs. p. 214 26 *ἀνέφερον* Ambr. *διέφερον* Naber Mnem. 30, 259

XI. (20) Ἐν Ῥώμῃ πολλὰ μὲν καὶ ἄλλα σημεῖα
θεόπεμπτα γέγονε, μέγιστον δ' ἁπάντων τόδε· τῆς
ἀγορᾶς κατὰ τὸ μέσον μάλιστα διαρραγῆναί τι τῆς γῆς
εἰς βάθος ἄβυσσον καὶ τοῦτ' ἐπὶ πολλὰς ἡμέρας δια-
μεῖναι. ψηφισαμένης δὲ τῆς βουλῆς οἱ ἐπὶ τῶν Σι-
βυλλείων χρησμῶν ἐπισκεψάμενοι τὰ βιβλία εἶπον, ὅτι
τὰ πλείστου ἄξια τῷ Ῥωμαίων δήμῳ λαβοῦσα ἡ γῆ
συνελεύσεταί τε καὶ πολλὴν ἀφθονίαν εἰς τὸν λοιπὸν
χρόνον ἁπάντων ἀγαθῶν ἀνήσει. τοιαῦτα τῶν ἀνδρῶν 2
ἀποφηναμένων ἀπαρχὰς ἕκαστος εἰς τὸ χάσμα ἔφερεν,
ὧν ᾤετο δεῖν ἀγαθῶν τῇ πατρίδι, ἀπό τε καρπῶν
πελάνους καὶ ἀπὸ χρημάτων ἀπαρχάς. (21) Μάρκος 3
δέ τις Κούρτιος ἐν τοῖς πρώτοις τῶν νέων ἀριθμού-
μενος σωφροσύνης ἕνεκα καὶ τῆς κατὰ πολέμους ἀρε-
τῆς ἔφοδον αἰτησάμενος ἐπὶ τὴν βουλὴν εἶπεν, ὅτι
τῶν πάντων ἐστὶν ἀγαθῶν χρῆμα κάλλιστον καὶ πόλει
Ῥωμαίων ἀναγκαιότατον ἀνδρῶν ἀρετή· εἰ δὴ καὶ ταύ-
της ἀπαρχήν τινα ἡ γῆ λάβοι καὶ γένοιτο ἑκὼν ὁ
τοῦτο χαριούμενος τῇ πατρίδι, πολλοὺς ἀνήσει ἡ γῆ
ἄνδρας ἀγαθούς. ταῦτ' εἰπὼν καὶ μηδενὶ παραχωρή- 4
σειν ἑτέρῳ τῆς φιλοτιμίας ταύτης ὑποσχόμενος τά τε
ὅπλα περιέθετο καὶ ἐπὶ τὸν πολεμιστὴν ἵππον ἀνέβη·
συναχθέντος δ' ἐπὶ τὴν θέαν τοῦ κατὰ τὴν πόλιν
ὄχλου πρῶτον μὲν ηὔξατο τοῖς θεοῖς ἐπιτελῆ ποιῆσαι
τὰ μαντεύματα καὶ πολλοὺς ἄνδρας ὁμοίους αὐτῷ δοῦναι
τῇ πόλει τῇ Ῥωμαίων γενέσθαι· ἔπειτ' ἐφεὶς τῷ ἵππῳ
τὰς ἡνίας καὶ τὰ κέντρα προσβαλὼν ἔρριψε κατὰ τοῦ

3 διαρραγῆναι Ambr. διερράγη Kiessling 4 *διαμένειν Ambr. διέμεινεν Kiessling διαμεῖναι ego 7 τῶν Ῥωμαίων Ambr. corr. Struve 9 αὐτῶν Ambr. ἀγαθῶν Struve 11 δεῖν Ambr. ἔχειν Struve

5 χάσματος ἑαυτόν. ἐπὶ δὲ αὐτῷ πολλὰ μὲν ἱερεῖα, πολλοὶ δὲ καρποί, πολλὰ δὲ χρήματα, πολὺς δὲ κόσμος ἐσθῆτος, πολλαὶ δὲ ἀπαρχαὶ συμπασῶν τεχνῶν δημοσίᾳ κατὰ τοῦ χάσματος ἐρρίφησαν· καὶ αὐτίκα ἡ γῆ συνῆλθεν. *Ambr.*

XII. (22) ὑπερφυές τι χρῆμα σώματος ἦν ὁ Κελτός, οἷος ὑπεραίρειν πολὺ τὴν κοινὴν φύσιν. *Ambr.*

Λικίνιος Στόλων, ὁ δεκάκις δημαρχήσας καὶ τοὺς νόμους εἰσηγησάμενος ὑπὲρ ὧν ἡ δεκαετὴς στάσις ἐγένετο, ἁλοὺς ἐν δίκῃ καὶ ὑπὸ τοῦ δήμου καταψηφισθεὶς τίμημα ἀργυρικὸν εἶπεν, ὅτι θηρίον οὐδέν ἐστι δήμου μιαρώτερον, ὃς οὐδὲ τῶν σιτιζόντων ἀπέχεται. *Ambr.*

XIII. (23) Τοῦ ὑπάτου Μαρκίου Πριβερνάτας πολιορκοῦντος, ἐπεὶ οὐδεμία τούτοις σωτηρίας ἐλπὶς ὑπελείπετο, ἐπρεσβεύοντο πρὸς αὐτόν· τοῦ δ' εἰπόντος· φράσατέ μοι, πῶς αὐτοὶ κολάζετε τοὺς ἀφισταμένους ὑμῶν οἰκέτας; ἀποκρίνεται πρὸς αὐτὸν ὁ πρεσβευτής· ὡς δεῖ κολάζεσθαι τοὺς ποθοῦντας ἀπο-
2 λαβεῖν τὴν ἔμφυτον ἐλευθερίαν. καὶ ὁ Μάρκιος ἀποδεξάμενος αὐτοῦ τὴν παρρησίαν φησίν· ἐὰν δὲ δὴ καὶ πεισθῶμεν ὑμῖν ἀφεῖναι τὰς ὀργάς, τίνα δώσετε πίστιν ὑπὲρ τοῦ μηδὲν ἔτι ποιήσειν ἐχθρῶν ἔργον; ἀποκρίνεται πάλιν ὁ πρεσβευτής· ἐπὶ σοὶ τοῦτ' ἔστι καὶ τοῖς ἄλλοις Ῥωμαίοις, Μάρκιε· κομισάμενοι μὲν γὰρ ἅμα τῇ πατρίδι καὶ τὴν ἐλευθερίαν βέβαιοι διὰ παντὸς ὑμῖν ἐσόμεθα φίλοι, δουλεύειν ⟨δ'⟩ ἀναγκασθέντες οὐδέποτε. ἠγάσθη τε δὴ τῆς μεγαλοφροσύνης τοὺς ἄνδρας ὁ Μάρκιος καὶ τὴν πολιορκίαν ἔλυσε. *Ambr.*

1 ἐπεὶ δὲ Ambr. 12 τιβερνάτας Ambr. corr. Maius 14 ὑπολείπεται Ambr. ὑπελείπετο Cobet Obs. p. 214 17 πρεσβύτατος Ambr. πρεσβευτὴς Struve 24 βεβαίως falso Kiessling 25 δουλεύειν ἀναγκασθέντες Ambr. δ' inseruit Struve

# EXCERPTA

## EX

## LIBRO XV.

---

I. *Τῶν Κελτῶν ἐπιστρατευσάντων τῇ Ῥώμῃ καί
τινος βασιλέως εἰς μονομαχίαν προκαλουμένου τῶν
Ῥωμαίων, ὅστις εἴη ἀνήρ, Μάρκος Οὐαλέριος, εἷς τῶν
χιλιάρχων, ἀπόγονος ὢν Οὐαλερίου Ποπλικόλα τοῦ
συνελευθερώσαντος ἀπὸ τῶν βασιλέων τὴν πόλιν,
ἐξῄει τῷ Κελτῷ διαγωνίσασθαι. ὡς δὲ συνῄεσαν ὁμόσε,* 2
*κόραξ καθεζόμενος ἐπὶ τοῦ κράνους αὐτοῦ ἐκεκράγει
τε δεινὸν εἰς τὸν βάρβαρον ὁρῶν καί, ὁπότε μέλλοι
πληγὴν ἐκφέρειν, πηδῶν ἐπ' αὐτὸν τοτὲ μὲν τοῖς
ὄνυξιν ἤμυττε τὰς παρειάς, τοτὲ δὲ τῷ ῥύγχει τοὺς
ὀφθαλμοὺς ἔκοπτεν, ὥστε τὸν Κελτὸν ἔξω γενέσθαι
τῶν φρενῶν, οὔθ' ὅπως τὸν ἄνδρα ἀμύνοιτο δυνά-
μενον συμβαλεῖν, οὔθ' ὅπως τὸν κόρακα φυλάττοιτο.*
(2) *Ὡς δὲ πολὺς ἐγεγόνει τῇ μάχῃ χρόνος, ὁ μὲν* 3
*Κελτὸς φέρων ἐπὶ τὸν Οὐαλέριον τὴν μάχαιραν ὡς
διὰ τῆς προβολῆς εἰς τὰ πλευρὰ βάψων, ἔπειτ'*

7 *ἐκέκραγε* Ambr. corr. Struve 9 *ἐκφέρει* Ambr. corr. Maius 11 *γίνεσθαι* Ambr. 16 *προσβολῆς* Ambr. corr. Kiessling | *βάψας* Ambr. *βάψων* Smit Obs. p. 60 cf. p. 260 v. 2 *ὡς ἀπελάσων*

IIII. (6) *Μάλλιος ὁ ἀριστεύσας, ὅτε εἰς τὸ Καπιτώλιον Ῥωμαῖοι κατέφυγον, κινδυνεύων διὰ τυραννίδος ἐπίθεσιν ἀπολέσθαι, βλέψας εἰς τὸ Καπιτώλιον καὶ τὰς χεῖρας ἐκτείνας εἰς τὸν ἐν αὐτῷ νεὼν τοῦ Διὸς εἶπεν· οὐδ' ἐκεῖνος ὁ τόπος ἱκανὸς ἔσται με σῶσαι, ὃν ὑπὸ τῶν βαρβάρων κρατηθέντα διέσωσα ὑμῖν ἐγώ; ἀλλὰ καὶ τότε ὑπὲρ ὑμῶν ἀπέθνησκον καὶ νῦν ὑφ' ὑμῶν ἀποθανοῦμαι. τότε μὲν οὖν συμπαθήσαντες ἀφῆκαν αὐτόν, ὕστερον δὲ κατὰ κρημνοῦ ἐρρίφη. Ambr.*

V. (7) *Κρατήσας τῶν πολεμίων καὶ τὴν στρατιὰν ἐπικλύσας ταῖς ὠφελείαις Τίτος Κοίντιος δικτατορεύων ἐν ἡμέραις ἐννέα πόλεις ἐννέα πολεμίων ἔλαβεν.*

*Ληφθέντες ἀμφοτέρωθεν ἀγεληδὸν οἱ θεοστυγεῖς κατεκόπησαν. Ambr.*

VI. (8) *Ὅτι οἱ Ῥωμαῖοι μεγαλοπρεπεῖς. τῶν γὰρ* 2310 *ἄλλων ὀλίγου δεῖν πάντων ἔν τε τοῖς κοινοῖς τῶν πόλεων πράγμασι καὶ ἐν τοῖς ἰδίοις βίοις πρὸς τὰ τελευταῖα τῶν συμβαινόντων τὰς διανοίας μεθαρμοττομένων καὶ πολλάκις ἔχθρας τε μεγάλας διὰ τὰς τυχούσας φιλανθρωπίας καταλυομένων καὶ φιλίας πολυχρονίους διὰ μικρὰ καὶ φαῦλα προσκρούματα διαιρούντων ἐκεῖνοι τοὐναντίον ἐπὶ τῶν φίλων ᾤοντο χρῆναι ποιεῖν, ταῖς τε παλαιαῖς εὐεργεσίαις χαρίζεσθαι τὰς ἐπὶ τοῖς* 2 *προσφάτοις ἐγκλήμασιν ὀργάς.* (9) *Θαυμαστὸν μὲν δὴ καὶ τοῦτο τῶν ἀνδρῶν· λέγω δὲ τὸ μηδενὶ μνησικακῆσαι τῶν Τυσκλάνων, ἀλλὰ πάντας ἀφεῖναι τοὺς ἐξαμαρτόντας ἀζημίους· πολλῷ δ' ἔτι τούτου θαυμασιώ-*

4 *τὸν ἑαναύτῶν* Ambr. Q 6 *διέσωσ$\overset{α}{ε}$ν* Ambr. 7 *ἀπέθνησκον*] mutandum non est, Struve errat

τερον, ὃ μετὰ τὴν ἄφεσιν τῶν ἐγκλημάτων αὐτοῖς
2311 ἐχαρίσαντο. σκοπούμενοι γάρ, ὡς μηδὲν ἔτι τοιοῦτον
ἐν τῇ πόλει γενήσεται μηδ' ἀφορμὴν νεωτερισμοῦ λή-
ψονταί τινες, οὔτε φρουρὰν εἰς τὴν ἀκρόπολιν αὐτῶν
ᾤοντο δεῖν εἰσάγειν, οὔτε παρὰ τῶν ἐπιφανεστάτων
ἀνδρῶν ὅμηρα λαμβάνειν, οὔτε ὅπλα τοὺς ἔχοντας ἀφε-
λέσθαι, οὔτ' ἄλλο σημεῖον οὐδὲν ἀπιστουμένης φιλίας
ποιῆσαι· μίαν δὲ πρᾶξιν οἰόμενοι ⟨συνέχειν⟩ ἅπαντας 3
τοὺς κατὰ συγγένειαν ἢ φιλίαν προσήκοντας ἀλλήλοις
τὴν τῶν ἀγαθῶν ἰσομοιρίαν, πολιτείαν ἔγνωσαν τοῖς
κρατηθεῖσι χαρίσασθαι, πάντων μεταδόντες ὧν τοῖς
φύσει Ῥωμαίοις μετῆν, (10) οὐ τὴν αὐτὴν διάνοιαν
λαβόντες τοῖς ἀξιοῦσι τῆς Ἑλλάδος ἄρχειν οὔτ' Ἀθη-
ναίοις οὔτε Λακεδαιμονίοις· τί γὰρ δεῖ περὶ τῶν ἄλλων 4
Ἑλλήνων λέγειν; Ἀθηναῖοι μέν γε Σαμίους ἀποίκους
2312 ἑαυτῶν ὄντας, Λακεδαιμόνιοι δὲ Μεσσηνίους ἀδελφῶν
οὐδὲν διαφέροντας, ἐπειδὴ προσέκρουσαν αὐτοῖς τι,
διαλυσάμενοι τὴν συγγένειαν οὕτως ὠμῶς διεχειρί-
σαντο καὶ θηριωδῶς, ἐπειδὴ τὰς πόλεις αὐτῶν ὑπο-
χειρίους ἔλαβον, ὥστε μηδὲ τοῖς ἀγριωτάτοις τῶν βαρ-
βάρων ὑπερβολὴν τῆς εἰς τὰ ὁμόφυλα παρανομίας
παραλιπεῖν. (11) Μυρία τοιαῦτα λέγειν ἄν τις ἔχοι 5
ταῖς πόλεσι ταύταις ἡμαρτημένα, ἃ παρίημι, ἐπεὶ καὶ
τούτων μεμνημένος ἄχθομαι· τὸ γὰρ Ἑλληνικὸν οὐκ
ὀνόματι διαφέρειν τοῦ βαρβάρου ἠξίουν οὐδὲ διαλέκ-

2 ὡς] πῶς c. Naber Mnem. 30, 259 an ὅπως? 3 ἐν] ἐπὶ c. Kiessling 8 post πρᾶξιν Valesio videtur deesse verbum aliquod ut συνέχειν vel simile quid. Ego post οἰόμενοι cum Prou συνέχειν inserui. An post οἰόμενοι excidit καθομιλεῖν? 25 pro ἠξίουν (sic) c. Kayser Fleck. Ann. 1870, 727 ἄξιον

του χάριν, ἀλλὰ συνέσει καὶ χρηστῶν ἐπιτηδευμάτων 2313
προαιρέσει, μάλιστα δὲ τῷ μηδὲν τῶν ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ⟨εἰς⟩ ἀλλήλους παρανομεῖν. ὅσοις μὲν οὖν ταῦτα ἐπὶ πλεῖον ὑπῆρξεν ἐν τῇ φύσει, τούτους οἶμαι δεῖν λέγειν Ἕλληνας, ὅσοις δὲ τἀναντία
6 βαρβάρους. καὶ τὰς μὲν ἐπιεικεῖς καὶ φιλανθρώπους διανοίας τε καὶ πράξεις αὐτῶν Ἑλληνικὰς εἶναι λογίζομαι, τὰς δ' ὠμὰς καὶ θηριώδεις, ἄλλως τε κἂν περὶ συγγενεῖς τε καὶ φίλους γίνωνται, βαρβαρικάς. Τυσκλανοὶ μὲν δὴ πρὸς τῷ μηδὲν ἀφαιρεθῆναι τῶν σφετέρων ἁλούσης τῆς πόλεως, [ἀλλὰ] καὶ τὰ τῶν κεκρατηκότων ἀγαθὰ προσλαβόντες ἀπῄεσαν. *Vales.*

VII. Ὅτι Σολπίκιος Ῥοῦφος ἐπίκλησιν ἀνὴρ ἦν ἔν τε ταῖς πολεμικαῖς πράξεσιν ἐπιφανὴς καὶ πολιτείας προαίρεσιν ἐξηλωκὼς τὴν διὰ μέσου. *Vales.*

VIII. (12) Οἱ Κελτοὶ τῇ Ῥώμῃ ἐκ δευτέρου ἐπιστρατεύσαντες τὴν χώραν τὴν Ἀλβανὴν ἐπόρθουν· ἔνθα μὲν πολλῆς ἅπαντες ἐδωδῆς ἐμπιμπλάμενοι, πολὺν δὲ πίνοντες ἄκρατον οἶνον — ἔστι δὲ ὁ τῇδε φυόμενος μετὰ τὸν Φαλερινὸν ἥδιστος οἴνων μελικράτῳ μάλιστα προσεμφερής — ὕπνον τε πλείονα τοῦ συνήθους αἱρούμενοι καὶ δίαιταν ὑπὸ σκιαῖς ὡς τὰ πολλὰ ἔχοντες τοσαύτην ἔλαβον ἐπίδοσιν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα καὶ οὕτως ἐξεθηλύνθησαν τὰς δυνάμεις,

1 χάριν Turon. χάριτι Valesius 2 μηδενὶ Valesius μηδὲν Reiske | ὑπὲρ] Cobet Obs. p. 214 falso παρὰ coniecit 3 φύσιν ἀλλήλους Turon. εἰς add. Reiske πρὸς Kiessling cf. Tegge Quaest. de D. H. usu praeposit. p. 34 adn. 4 τὰ ἐπιπλεῖον Valesius τὰ ἐπιεικῆ πλείονα vel ταῦτα ἐπὶ πλεῖον vel τὰ εἰρημένα ἐπὶ πλεῖον c. Reiske τάδε ἐπὶ πλεῖον Krüger Ind. p. 263 9 γίνωνται] γένωνται c. Kiessling 11 ἀλλὰ Reiske delevit 16 στρατεύσαντες Ambr. corr. Hertlein Hermes X 421; cf. XV 1, 1

*ὥσθ᾽, ὁπότε γυμνάζειν ἐπιβάλοιντο τὰ σώματα καὶ διαπονεῖν ἐν τοῖς ὅπλοις, κόπτεσθαι μὲν ἄσθματι συνεχεῖ τὰ πνεύματα, ῥεῖσθαι δ᾽ ἱδρῶτι πολλῷ τὰ μέλη, θᾶττον δὲ ἀφίστασθαι τῶν πόνων ἢ κελευσθεῖεν ὑπὸ τῶν ἡγεμόνων. Ambr.*

VIIII. (13) *Ταῦτα μαθὼν ὁ τῶν Ῥωμαίων δικτάτωρ Κάμιλλος, συγκαλέσας τοὺς ἀμφ᾽ αὐτὸν ἐδημηγόρησε πολλὰ παρορμῶντα εἰς τόλμαν, ἐν οἷς καὶ τάδε·*

*ὅπλα κρείττονα τῶν βαρβαρικῶν ἡμῖν μεμηχάνηται,* 2
*θώρακες καὶ κράνη καὶ κνημῖδες καὶ κραταιοὶ θυρεοί,*
*ὑφ᾽ ὧν ὅλα τὰ σώματα ἔχομεν ἐν φυλακῇ, ξίφη τε*
*ἀμφίστομα καὶ ἀντὶ λόγχης ὑσσός, ἄφυκτον βέλος· τὰ*
*μὲν σκεπαστήρια, οἷα μὴ ῥαδίως ταῖς πληγαῖς εἴκειν,*
*τὰ δ᾽ ἀμυντήρια, ὡς διὰ πάσης φέρεσθαι προβολῆς.*
*τῶν δὲ γυμναὶ μὲν αἱ κεφαλαί, γυμνὰ δὲ τὰ στέρνα*
*καὶ αἱ λαγόνες, γυμνοὶ δὲ μηροὶ καὶ σκέλη μέχρι ποδῶν,*
*ἔρυμά τε οὐδὲν ἕτερον, ὅ τι μὴ θυρεοί· ἀμυντήρια δὲ*
*λόγχαι καὶ μάχαιραι κοπίδες ὑπερμήκεις.* (14) *Τό τε* 3
*χωρίον, ἐν ᾧ τὸν ἀγῶνα ποιησόμεθα, σύνεργον ἡμῖν*
*τοῖς ἀπὸ μετεώρου κατιοῦσιν ἐπὶ τὸ πρανές, ἐκείνοις*
*δὲ πολέμιον τοῖς ἐκ τοῦ χθαμαλοῦ πρὸς τὰ μετέωρα*
*χωρεῖν ἀναγκαζομένοις. φοβείσθω δὲ μηδεὶς ὑμῶν*

7 *ἀμφ᾽*] *ἀφ᾽* Ambr. 8 *τόλμαν, ἐν οἷς καὶ τάδε. ὅπλα* Ambr. *τόλμαν· Ἄνδρες τὰ μὲν ὅπλα* Maius 12 *ὀιστός* Ambr. *ὑσσός* rectissime c. Naber Mnem. 30, 259; cf. verba Dionysi V 46, 2 14 *δι᾽ ἁπάσης* vulgo correxi 15 *τῶν δὲ* Ambr. *Κελτῶν δὲ* Struve 18 *μάχαιραι κοπίδες* Ambr. *μαγειρικαὶ κοπίδες* Struve *μάχαιραι* delevit Kiessling. Mea quidem sententia nihil mutandum est; Dionysius multa vocabula e poetarum sermone adoptavit; cf. Euripides Cycl. 240 | *τό τε* Ambr. *τὸ δὲ* Struve 22 *φοβείτω δὲ μηδὲ ὑμῶν* Ambr. *φοβείσθω* Struve cf. Baumann Obs. gram. p. 62 *μηδεὶς* Maius *τοῖς ἀπὸ τοῦ μετεώρου κατιοῦσιν* Tegge Quaest. p. 20

10 μον οὔτ' ἄπορον οὐδὲν οὔτ' ἀντίπαλον. Τοιαῦτα δια-
λεγόμενοι πρὸς ἀλλήλους ὀλίγοι μὲν τὰ πρῶτα, ἔπειτα
πλείους ἔγνωσαν ἐπιχειρεῖν ταῖς πόλεσι καὶ δι' ὅρκων
ἐδίδοσαν ἀλλήλοις τὸ πιστόν. ἔφθασε δὲ τὴν ἐπιχεί-
ρησιν αὐτῶν εἰς τοὐμφανὲς ἀγαγοῦσα μήνυσις, ἣν τῶν
συνομοσάντων τινὲς ἐποιήσαντο πρὸς τὸν ἕτερον τῶν
ὑπάτων Μάρκιον, ᾧ τὸν κατὰ Σαυνιτῶν πόλεμον ὁ
κλῆρος ἀπένειμεν, ἤδη παρειληφότα τὰς ἐν τῇ Ῥώμῃ
καταγραφείσας δυνάμεις καὶ ὄντα ἐν ὁδῷ. ὁ δὲ ὕπα-
τος ἀπροσδοκήτου καὶ δεινοῦ πράγματος ἀκούσας
ἔκρινε μὴ δείξειν τὸ πρᾶγμα μηδ' εἰδέναι δοκεῖν, ἀλλὰ
δι' ἀπάτης τινὸς καὶ στρατηγίας κωλῦσαι τὰ συμβησό-
11 μενα ταῖς πόλεσιν. ἀποστείλας δή τινας ἅμα τοῖς μη-
νυταῖς κατασκευαστοὺς εἰς τὰς πόλεις πρὶν αὐτὸς
ἐλθεῖν, προσεσκεύασε λέγεσθαι πρὸς τοὺς ἐν ταῖς παρα-
χειμασίαις, ὅτι τὰς μὲν φρουρὰς ἔγνω καταλιπεῖν ἐν
ταῖς πόλεσι τὰς τότε οὔσας, ἐπειδὴ βουλομένοις ἐστὶ
τοῖς Καμπανοῖς αὐτὰς μένειν, τῇ δ' οἴκοθεν ἀφιγμένῃ
σὺν αὐτῷ δυνάμει πολεμεῖν πρὸς Σαυνίτας παρα-
σκευάζεται, καὶ ἔπεισεν ἅπαντας ταῦτα ὑπολαβεῖν.
12 ἀφικόμενος δὲ εἰς τὴν Καμπανίαν μετὰ τῆς στρατιᾶς
ἁπάσης εἰς ἑκάστην παρῄει πόλιν καὶ τοὺς ἐν ταῖς
φρουραῖς ἀνακαλούμενος διέκρινεν ἁπάντων τοὺς μετα-

5 εἰς ἐμφανὲς Esc. εἰς τοὐμφανὲς consulto Feder neglexit, recepit Kiessling 8 παρείληψεν ὅτι Esc. παρειληφότι Feder et Müller in textum receperunt; Feder autem παρειληφότα et v. 9 ὄντα corrigendum esse censet 11 *λέξειν Esc., an omnino necessaria emendatio λέξαι? interrogat Feder, ἐλέγξαι c. Cobet Obs. p. 215, ego δείξειν in textum recepi | μήτ' Esc. μηδ' Kiessling 14 αὐτοὺς Esc. αὐτὸς Feder αὐτὸν Müller 15 προ-παρεσκεύασε c. Kiessling 17 ἐπεὶ δὲ Esc. ἐπειδὴ Feder ἐπεί γε Müller 20 ἔπεισεν] ἔπεισαν Müller

σχόντας τῆς συνωμοσίας. ἔπειτα φιλανθρώπως ἑκά-
στοις διαλεγόμενος οὓς μὲν ἀπέλυσε τῶν σημείων, ὡς
ἂν χαριζόμενος τὴν ἄφεσιν τῆς στρατείας, οὓς δὲ τῷ
πρεσβευτῇ καὶ τῷ χιλιάρχῳ παραδοὺς ὡς ἐπὶ χρείας
δή τινας στρατιωτικὰς ἀπέλυσεν — οὗτοι δ' ἦσαν οἱ
πονηρότατοι καὶ οὐχ ὑπομένοντες ἀφεῖσθαι τῆς στρα-
τείας — ἐντειλάμενος τοῖς ἄγουσιν αὐτοὺς εἰς Ῥώμην
διακομίσαι καὶ φυλάττειν ἐν ἀδήλοις φυλακαῖς, χωρί-
σαντας ἄλλους ἀπ' ἄλλων, ἕως ἂν αὐτὸς ἀφίκηται.
τοῖς δὲ ἀνδράσιν ἐνθυμουμένοις, ὅτι πάντες οἱ κορυ- 13
φαιότατοι τῆς συνωμοσίας οἱ μὲν ἀπολύονται τῶν
σημείων, οἱ δ' ἀποστέλλονται δίχα τῶν ἄλλων ὁποιδή-
ποτε, λογισμὸς εἰσῆλθε περιφανῆ γεγονέναι σφῶν τὴν
συνωμοσίαν καὶ μετὰ τοῦτο δέος, εἰ χωρὶς ἀλλήλων
γένοιντο καὶ τὰ ὅπλα θεῖεν, μὴ δίκας ὑπόσχωσιν εἰς
Ῥώμην ἀπαχθέντες· συνιόντες τε κατ' ὀλίγους ἐσκό-
πουν, τί χρὴ πράττειν. ἔπειτα γνώμην τινῶν εἰσηγη- 14
σαμένων περὶ ἀποστάσεως, ἐπαινέσαντες τὸ βούλευμα
καὶ πίστεις ἀπορρήτους ἐν ἀλλήλοις ποιησάμενοι, ⟨οἱ⟩
τῆς στρατείας ἀφειμένοι περὶ Ταρρακίναν πόλιν ἐν
ἐπιτηδείοις χωρίοις παρ' αὐτὴν τὴν ὁδὸν στρατοπεδεύ-
ονται. ἔπειθ' οἱ μετὰ τοῦ πρεσβευτοῦ καὶ τῶν χιλιάρ- 15
χων ἀποστελλόμενοι τοὺς ἡγεμόνας καταλιπόντες, ἐστὶ
δ' οὓς καὶ τῶν ἀγόντων σφᾶς στρατιωτῶν πείσαντες
ἀποστῆναι, περὶ ⟨τὸν⟩ αὐτὸν ἱδρύονται τόπον. ὡς δὲ
ἅπαξ οὗτοι τὰς παρόδους κατελάβοντο, πολλοὶ προσ-

6 ὑπομενοῦντες c. Kiessling   14 τοῦτο] ταῦτα c. Kiessling   17 τινὰς εἰσηγησαμένων Esc. τινῶν εἰσηγ. Feder τινὸς εἰσηγησαμένων Müller   19 οἱ add. Feder   20 Ταρακινάπολιν Esc. Ad hunc locum verba Steph. Byz. spectant: Ταρρακηνὰ πόλις Ἰταλίας   25 τὸν add. Feder

ἦσαν αὐτοῖς ὀσημέραι, καὶ χεὶρ ἐγένετο περὶ αὐτοὺς καρτερά· ἔπειτα τὰ δεσμωτήρια ἁπάντων, ὅσα κατὰ τοὺς ἀγροὺς ἦν, ἐλύετο καὶ συνέρρει .... *Escor.*

IIII. Οἱ δὲ τῶν Ῥωμαίων ὕπατοι πᾶσαν τὴν μεταξὺ γῆν ἀδεῶς διελθόντες τῶν μὲν οὐκ ἐναντιουμένων, τῶν δὲ συμπροπεμπόντων — πολλαὶ δ' εἰσὶ δυσχωρίαι κατὰ τὴν ἐκ Ῥώμης εἰς Καμπανίαν ἄγουσαν ὁδὸν ὄρεσί τε καὶ τέλμασι καὶ θαλάτταις καὶ ποταμοῖς ναυσιπόροις διακλειόμεναι, ἃς οὐ ῥᾴδιον ἦν
2 διελθεῖν ὑπὸ τῶν πολεμίων προκαταληφθείσας — καί τινα καὶ ποταμόν, ὃς διὰ τῆς Κασιλίνων χώρας καὶ πόλεως φέρεται, τριάκοντα τῆς Καπύης ἀπέχοντα στάδια, Οὐολτοῦρνον ὄνομα, τεττάρων οὐκ ἐλάττω πλέθρων ὄντα τὸ πλάτος, ξυλίνῃ γεφύρᾳ διαβάντες, ἣν ἐν τρισὶ κατεσκεύασαν ἡμέραις, διεξῄεσαν, ἵνα τοῖς μὲν τὰ σφέτερα φρονοῦσι Καμπανοῖς θάρσος ὡς τὰ κράτιστα προῃρημένοις ἐγγένηται, τοῖς δὲ τἀναντία
3 δέος. καὶ προελθόντες ἐπέκεινα τῆς πόλεως ἀπὸ τετταράκοντα σταδίων Καπύης στρατοπεδεύονται ἐν ὑψηλῷ τόπῳ θέντες τὸν χάρακα, ἔνθα ὑπομένοντες τὰς παρὰ Σαυνιτῶν ἀγοράς τε καὶ συμμαχίας ἐκαραδόκουν. οἱ δ' ἄρα ὑπισχνοῦντο μὲν αὐτοῖς πλείω τῶν ἱκανῶν, ἐπήρκουν δ' οὐδὲν ὅτι καὶ λόγου ἄξιον, στρατιάν τ' ἀγείρειν ἐκ πάσης πόλεως σκηπτόμενοι κατέτριβον

1 *καὶ χεὶρ* Esc. teste Federo *καὶ γὰρ* teste Müllero, qui post *γὰρ* verba excidisse censet 2 *ὑπ' αὐτῶν* Esc. teste Federo *ὑπάντων* teste Müllero, qui *ἁπάντων* scripsit 11 *βασιληνῶν* Esc. 13 *οὐατουρνῶν* Esc. 15 *διεξίεσαν* Esc. 23 *στρατιάν τε γὰρ* Esc. *στρατιάν τ' ἀγείρειν* Feder 24 *ἐκ πάσης πόλεως* cf. Jacoby Aar. Progr. p. 23 | post *πόλεως* lacunam Müller statuit

τοὺς χρόνους. ἀπογνόντες δὴ τῆς ἐκεῖθεν ἐπικουρίας 4
καὶ τὰς μὲν ἑαυτῶν δυνάμεις ὁρῶντες οὐθὲν ἰσχύος
ἐκ τοῦ χρόνου προσλαμβανούσας, τὰς δὲ τῶν πολεμίων
μακρῷ πλείους γιγνομένας, ἐπὶ τὰ ἔργα χωρεῖν ἔγνωσαν.
ἐνθυμούμενοι δ' ὅτι πολὺ τῆς στρατιᾶς ἐστι τὸ 5
δυσάγωγον καὶ ταῖς ἐπιταγαῖς τῶν ἡγεμόνων ἀπειθές,
ὡς ἐν ἄλλαις τε πολλαῖς πείραις ἐδήλωσε καὶ τὰ τελευταῖα
ἐν τῇ Καμπανικῇ παραχειμασίᾳ, ἀφ' ἧς εἰς
τοσαύτην ἀπόνοιαν ἦλθον αὐτῶν τινες, ὥστε καὶ πόλεσιν
ἐπιθέσθαι καὶ τὸν ὕπατον καταλιπεῖν καὶ κατὰ
τῆς πατρίδος ὅπλα ἀναλαβεῖν, τούτους ᾤοντο δεῖν
πρῶτον ἀποδεῖξαι σωφρονεστέρους, δεινότερον ποιήσαντες
αὐτοῖς τὸν ἀπὸ τῶν ἡγεμόνων φόβον ἢ τὸν
ἀπὸ τῶν πολεμίων κίνδυνον. ταῦτα διανοηθέντες ἐκ- 6
κλησίαν συνῆγον, καὶ λέγει Μάλλιος· [ζήτει ἐν τῷ
περὶ στρατηγημάτων καὶ δημηγοριῶν. περὶ τοῦ υἱοῦ
Μαλλίου τοῦ μονομαχήσαντος.] *Escor.*

2314 V. (4) ἀλλὰ ⟨καὶ⟩ διότι τοὺς φίλους αὐτῶν Καμπανοὺς
πολλὰ καὶ μεγάλα ἔβλαπτον. ἡ δὲ βουλὴ τῶν
Ῥωμαίων Καμπανῶν πολλάκις ἐμφανιζόντων καὶ ἀποδυρομένων
⟨κατὰ⟩ τῶν Νεαπολιτῶν, πρέσβεις ἐψηφίσατο
πρὸς τοὺς Νεαπολίτας ἀποστεῖλαι τοὺς ἀξιώσον-

1 τῆς ἐκεῖθεν Esc. τὰς ἐκεῖθεν Kiessling cf. Baumann Obs. gram. p. 49 3 χρόνου Esc. χρονισμοῦ Müller sine nota 6 ἀπιθὲς Esc. ἀπειθὲς Müller 13 φόνων vel φόνον Esc. teste Federo, qui φόβον correxit, ψόγον teste Müllero 14 πολεμίων] πόλεων Esc. πολέμων Müller cf. Tegge Quaest. p. 29 16 ὑπὲρ τοῦ [υἱοῦ τοῦ] ὑπάτου Μαλλίου Müller 18 ἀλλὰ om. de Boor | καὶ om. V add. Ursinus 21 κατὰ add. Ursinus 21. 22 Νεαπολιτῶν ἀποστεῖλαι V Ν. ἀπέστειλε Ursinus scripsit, sed cum ER ἐφηφίσατο, ceteri cod. ἐποιήσατο praebeant, Kiessling in textum recipiendum esse Ν., πρέσβεις ἐψηφίσατο πρὸς τ. Ν. ἀποστεῖλαι, quae verba de Boor recepit. Post Νεαπολιτῶν videtur

τας αὐτοὺς μηθὲν εἰς τοὺς ὑπηκόους τῆς τῶν Ῥωμαίων
ἡγεμονίας παρανομεῖν, ἀλλὰ καὶ διδόναι τὰ δίκαια καὶ
λαμβάνειν, καί, εἴ γε διαφέρονται πρὸς ἀλλήλους, μὴ
δι' ὅπλων, ἀλλὰ διὰ λόγων, σύμβολα ποιησαμένους
πρὸς αὐτούς, καὶ τὸ λοιπὸν εἰρήνην ἄγειν πρὸς ἅπαν- 2315
τας τοὺς περιοικοῦντας τὸ Τυρρηνικὸν πέλαγος, μήτ'
αὐτοὺς ἔργα πράττοντας, ἃ μὴ προσήκει Ἕλλησι, μήτε
τοῖς πράττουσι συνεργοῦντας· μάλιστα δ' εἰ δύναιντο
θεραπείαις τῶν δυνατῶν παρασκευάσοντας ἀποστῆναι
μὲν ἀπὸ Σαυνιτῶν τὴν πόλιν, σφίσι δ' αὐτοῖς γενέ-
2 σθαι φίλην. (5) Ἔτυχον δὲ κατὰ τὸν αὐτὸν χρόνον
ἀφιγμένοι πρὸς τοὺς Νεαπολίτας πρέσβεις ὑπὸ Ταραν-
τίνων ἀποσταλέντες, ἄνδρες ἐπιφανεῖς καὶ πρόξενοι
διὰ γένους τῶν Νεαπολιτῶν· καὶ ἕτεροι ὑπὸ Νωλάνων
ὁμόρων ὄντων καὶ σφόδρα τοὺς Ἕλληνας ἀσπαζομένων,
τἀναντία τοὺς Νεαπολίτας ἀξιώσοντες μήτε σύμβολα
ποιεῖσθαι πρὸς τοὺς Ῥωμαίους ἢ τοὺς ὑπηκόους αὐ-
3 τῶν μήτε διαλύεσθαι τὴν πρὸς Σαυνίτας φιλίαν. ἐὰν 2316
δὲ ταύτην ποιήσωνται Ῥωμαῖοι τοῦ πολέμου τὴν πρό-
φασιν, μὴ ὀρρωδεῖν, μηδ' ὡς ἄμαχόν τινα τὴν ἰσχὺν
αὐτῶν καταπεπλῆχθαι, ἀλλὰ μένειν γενναίως καὶ ὡς
προσῆκεν Ἕλλησι πολεμεῖν, τῇ τ' οἰκείᾳ πιστεύοντας

Reiskio deesse τὰς ἀδικίας vel τὰς παρανομίας vel tale quid | ἀξιώσαντας V corr. Sylburg 3 καὶ delendum esse c. Valesius | εἴ γε] εἴ τι c. Sylburg 4 post λόγων verbum excidisse ut διαλύσασθαι vel tale quid c. Stephanus, κρίνεσθαι vel διακρίνεσθαι c. Reiske | ποιησαμένους] ποιήσασθαι vel καὶ delendum c. Sylburg 6 post μητ' αὐτοὺς Reiskio videtur deesse κατατρέχειν 7 τὰ μὴ προσήκειν O τὰ μὴ προσήκοντα Ursinus ἃ μὴ προσήκει Stephanus ἃ μὴ προσῆκεν Kiessling cf. Hertlein Progr. Wertheim 1873, 9 9 θεραπείας O corr. Sylburg 18 διαλύεσθαι] καταλύεσθαι c. Reiske 19 τὴν del. Hertlein Progr. Wertheim 1873, 9 22 πιστεύοντες O corr. Portus

δυνάμει καὶ τῇ παρὰ Σαυνιτῶν ἀφιξομένῃ βοηθείᾳ, ναυτικήν τ' ἰσχὺν προσληψομένους ἔξω τῆς ἑαυτῶν, ἣν Ταραντῖνοι πέμψουσιν, ἐὰν ἄρα καὶ ταύτης δέωνται, πολλὴν καὶ ἀγαθήν. Vrsin.

VI. (6) Συναχθείσης δὲ τῆς βουλῆς καὶ πολλῶν
ῥηθέντων ἐν αὐτῇ λόγων, οὓς αἵ τε πρεσβεῖαι διεξῆλ-
θον καὶ οἱ συναγορεύοντες αὐταῖς, διέστησαν αἱ γνῶ-
μαι τῶν συνέδρων, καὶ οἵ γε χαριέστατοι τὰ τῶν
2317 Ῥωμαίων ἔδοξαν φρονεῖν. ἐκείνην μὲν οὖν τὴν ἡμέραν 2
οὐδὲν ἐξηνέχθη προβούλευμα, εἰς ἑτέραν δὲ πάλιν
ἕδραν ἀναβληθείσης τῆς περὶ τῶν πρεσβειῶν διαγνώ-
σεως, ἀφικόμενοι κατὰ πλῆθος εἰς τὴν Νεάπολιν Σαυ-
νιτῶν οἱ δυνατώτατοι καὶ τοὺς προεστηκότας τῶν
κοινῶν θεραπείαις τισὶν οἰκειωσάμενοι πείθουσι τὴν
βουλὴν ἐπὶ τῷ δήμῳ ποιῆσαι τὴν τοῦ συμφέροντος
αἵρεσιν. καὶ παρελθόντες εἰς τὴν ἐκκλησίαν πρῶτον 3
μὲν τὰς ἑαυτῶν εὐεργεσίας διεξῄεσαν, ἔπειτα τῆς Ῥω-
μαίων πόλεως πολλὰ κατηγόρουν, ὡς ἀπίστου καὶ δο-
λίου, τελευτῶντες δὲ τοῦ λόγου θαυμαστὰς ἐποιοῦντο
τοῖς Νεαπολίταις ὑποσχέσεις, ἐὰν εἰς τὸν πόλεμον
καταστῶσι, στρατιάν τε πέμψειν, ὅσης ἂν δέωνται, τὴν
φυλάξουσαν αὐτῶν τὰ τείχη, καὶ ταῖς ναυσὶν ἐπιβάτας
2318 καὶ τὴν εἰρεσίαν ἅπασαν παρέξειν, οὐ μόνον καταγ-
γέλλοντες τοῖς ἰδίοις στρατεύμασιν, ἀλλὰ κἀκείνοις
ἁπάσας τὰς εἰς πόλεμον δαπάνας ἐπιχορηγοῦντες· ἀπ- 4
ωσαμένοις τε τὸ Ῥωμαϊκὸν στράτευμα Κύμην τ' ἀνασώ-

1 ἀφανιζομένη O ἀφιξομένῃ corr. Ursinus 5 δὲ τῆς V οὖν τῆς X (BMP) 17 διεξίεσαν O corr. Sylburg cf. XV 4, 2 18 ἀπίστους καὶ δολίους O corr. Ursinus 19 τελευτῶντος O corr. Sylburg 20 τοὺς Νεαπολίτας O corr. Ursinus 24 κά-κείνους O corr. Ursinus 25 ἐπιχορηγήσειν c. Reiske

*σειν, ἣν δευτέρᾳ γενεᾷ πρότερον ἐξελάσαντες τοὺς
Κυμαίους Καμπανοὶ κατέσχον, καὶ συγκατάξειν ἐπὶ τὰ
σφέτερα τοὺς περιόντας ἔτι Κυμαίων, οὓς οἱ Νεαπο-
λῖται τῆς πατρίδος ἐκπεσόντας ὑπεδέξαντο καὶ πάντων
ἐποιήσαντο κοινωνοὺς τῶν ἰδίων ἀγαθῶν, χώραν τε
προσθήσειν τοῖς Νεαπολίταις, ἐξ ἧς οἱ Καμπανοὶ κατ-*
5 *εἶχον πάνυ πολλήν.* (7) *Τῶν δὲ Νεαπολιτῶν ὅσον
μὲν ἦν μέρος εὔλογον καὶ πρὸ πολλοῦ δυνάμενον ὁρᾶν* 2319
*τὰς καταληψομένας τὴν πόλιν ἐκ τοῦ πολέμου συμ-
φορὰς εἰρήνην ἄγειν ἠξίου· τὸ δὲ φιλόκαινον καὶ τὰς
ἐκ τῆς ταραχῆς πλεονεξίας διῶκον ἐπὶ τὸν πόλεμον
συνελάμβανον, καταβοαί τ' ἀλλήλων ἐγίνοντο καὶ χει-
ροκρασίαι καὶ προέβη τὸ νεῖκος εἰς λίθων βολάς, καὶ
τελευτῶντες ἐκράτησαν οἱ κακίους τῶν κρειττόνων,
ὥστε τοὺς πρέσβεις τῶν Ῥωμαίων ἀπράκτους ἀπελθεῖν.
διὰ ταύτας τὰς αἰτίας ἡ βουλὴ τῶν Ῥωμαίων στρα-
τιὰν ἐπὶ Νεαπολίτας ἀποστεῖλαι ἐβουλεύθη. Vrsin.*

VII. (8) *Ὅτι μαθόντες οἱ Ῥωμαῖοι Σαυνίτας στρα-
τιὰν ἀγείρειν τὸ μὲν πρῶτον πρέσβεις ἔπεμψαν, οἱ δὲ
προχειρισθέντες ἐκ τῶν βουλευτῶν πρέσβεις ἐλθόντες* 2320
*ἐπὶ τοὺς προβούλους τῶν Σαυνιτῶν ἔλεξαν·*

2 *Ἀδικεῖτε, ἄνδρες Σαυνῖται, παραβαίνοντες τὰς
ὁμολογίας, ἃς ἐποιήσασθε πρὸς ἡμᾶς, ὄνομα μὲν ὑπο-*

1 *δευτέρᾳ γενεᾷ*] cf. Ambrosch Quaest. ad D. H. Antiq. pertin. p. I 13 Vratisl. 1842   6 *κατεῖσχον* O *κατέσχον* Ursinus   7 *τινὰ πόλιν* O *πάνυ πολλὴν* c. Reiske   8 *εὐλόγιστον* c. Stephanus   12 *συνελάμβανεν* c. Ursinus; lacuna ante *συνελάμβανε* sic ferme Reiskio explenda videtur esse: *ἐπὶ τὸν πόλεμον ὥρμα. ἐξ ὧν, ἐπειδὴ ἕκαστος τῷ ἑαυτοῦ μέρει συνελάμβανε* | *χειροκρασίαι*] *χειροκρατίαι* c. Stephanus cf. Götzeler Animadv. I 68   17 *ἐβουλεύθη*] cf. Thuc. I 69, 3 *βεβουλευμένοι*   20 *βουλευμάτων* O *βουλευτῶν* vel *βουλευτικῶν* c. Sylburg   23 *ὀνόματι* O *ὄνομα* Stephanus *ὀνόματα* Kiessling

δυόμενοι συμμάχων, ἔργα δὲ πράττοντες πολεμίων, πολλαῖς μὲν ἡττηθέντες ὑπὸ Ῥωμαίων μάχαις, δεήσει δὲ μεγάλῃ καταλυσάμενοι τὸν πόλεμον καὶ τυχόντες εἰρήνης οἵας ἐβούλεσθε· τὰ δὲ τελευταῖα φίλοι γενέσθαι τῆς πόλεως ἡμῶν προθυμηθέντες καὶ σύμμαχοι καὶ τοὺς αὐτοὺς Ῥωμαίοις ὀμόσαντες ἕξειν ἐχθροὺς καὶ φίλους. (9) Ὧν ἁπάντων ἐπιλαθόμενοι καὶ παρ' 3
οὐδὲν ἡγησάμενοι τοὺς ὅρκους ἐγκατελείπετε μὲν ἡμᾶς ἐν τῷ πρὸς Λατίνους πολέμῳ καὶ πρὸς Οὐολούσκους
2321 συστάντι, οὓς δι' ὑμᾶς ἐχθροὺς ἔχομεν οὐ βουλόμενοι τοῦ καθ' ὑμῶν αὐτοῖς συνάρασθαι πολέμου· ἐν δὲ τῷ παρελθόντι ἐνιαυτῷ Νεαπολίτας δεδιότας ἀναδεῖξαι τὸν καθ' ἡμῶν πόλεμον ἁπάσῃ σπουδῇ καὶ προθυμίᾳ χρώμενοι παρωρμήσατε, μᾶλλον δ' ἠναγκάσατε καὶ τὰς δαπάνας ἐπιχορηγεῖτε καὶ τὴν πόλιν δι' ὑμῶν αὐτῶν ἔχετε. νῦν δὲ παρασκευάζεσθε στρατιὰν ἐκ παντὸς 4
ἀγείροντες τόπου, πρόφασιν μὲν ἑτέραν ποιούμενοι, τὸ δ' ἀληθὲς ἐπὶ τοὺς ἡμετέρους ἐγνωκότες ἄγειν ἀποίκους· καὶ ἐπὶ ταύτας τὰς ἀδίκους πλεονεξίας Φουνδανοὺς παρακαλεῖτε καὶ Φορμιανοὺς καὶ ἄλλους τινάς, οἷς ἡμεῖς ἰσοπολιτείας μετεδώκαμεν. (10) Οὕτω 5
δὲ φανερῶς καὶ ἀναισχύντως συγχεόντων ὑμῶν τὰ περὶ τῆς φιλίας καὶ συμμαχίας ὅρκια, [ποιοῦντες] πρεσβείαν πρὸς ὑμᾶς ἐκρίναμεν ἀποστεῖλαι πρῶτον,
2322 καὶ μὴ πρότερον ἄρξαι τῶν ἔργων πρὶν ἢ πειραθῆναι

6 Ῥωμαίους V corr. Ursinus 9 πρὸς Οὐολούσκοις συστάντες O corr. Sylburg 14 παρορμήσατε O 15 δὲ ἡμῶν αὐτῶν O corr. Reiske 17 ἐγείροντες O corr. Sylburg 19 ἐποίκους O corr. Ursinus 23 ὅρκια ποιοῦντες πρεσβείαν O ποιοῦντες in textu Ursinus omisit, sed nihil annotavit, de Boor post ὅρκια lacunam significavit 24 ἔκριναν O ἐκρίναμεν Reiske

τῶν λόγων. ἃ δὲ προκαλούμεθα ὑμᾶς, καὶ ὧν τυχόν-
τες τὴν ἐπὶ τοῖς παρελθοῦσιν ὀργὴν ἀποπληρώσειν
οἰόμεθα, ταῦτα ἔστι· πρῶτον μὲν ἀπάγειν ὑμᾶς ἀξιοῦ-
μεν τὴν ἀποσταλεῖσαν Νεαπολίταις συμμαχίαν, ἔπειτα
μηδεμίαν ἐκπέμπειν στρατιὰν κατὰ τῶν ἀποίκων τῶν
ἡμετέρων μηδὲ τοὺς ὑπηκόους ἐπὶ πάσας τὰς πλεονε-
6 ξίας παρακαλεῖν· εἰ δὲ μὴ πᾶσι δόξαντα ταῦτα ὑμῖν
[ἃ] ἔπραττόν τινες, ἀλλ' ἀπὸ τῆς ἑαυτῶν γνώμης,
παραδοῦναι τοὺς ἄνδρας ἡμῖν ἐπὶ δίκην. τούτων τυ-
χόντες ἀρκούμεθα, μὴ τυχόντες δὲ θεοὺς καὶ δαίμονας,
οὓς ἐν ταῖς συνθήκαις ὠμόσατε, μαρτυρόμεθα, καὶ
τοὺς εἰρηνοδίκας ἐπὶ τοῦτο ἄγοντες ἐληλύθαμεν. *Vrsin.*

VIII. (11) Τοιαῦτα τοῦ Ῥωμαίου λέξαντος βουλευ-
σάμενοι καθ' αὑτοὺς οἱ πρόβουλοι τῶν Σαυνιτῶν τοι-
αύτην ἐξήνεγκαν ἀπόκρισιν·
2 Τοῦ μὲν ὀψισμοῦ τῆς ἐπὶ τὸν κατὰ Λατίνων πόλε- 2323
μον συμμαχίας οὐ τὸ κοινὸν αἴτιον — ἐψηφισάμεθα
γὰρ ἀποσταλῆναι τὴν στρατιὰν ὑμῖν — οἱ δὲ τὴν ἡγε-
μονίαν ἔχοντες αὐτῆς πλείονα χρόνον ἀναλώσαντες ἐν
τῇ παρασκευῇ, καὶ ὑμεῖς αὐτοὶ θᾶττον ἐπειχθέντες ἐπὶ

1 προσκαλούμεθα O corr. Sylburg 4 ἔπειτα δὲ μίαν O ἔπειτα δὲ μηδεμίαν Ursinus corr. Reiske 7 εἰ δὲ μὴ πᾶσι δόξαντα ταῦτα ὑμῖν ἃ ἔπραττόν τινες ἀλλ' O εἰ δὲ πᾶσιν ἔδοξαν ταῦτα ὑμῖν, ἀλλ' ἔπραττόν τινες ἀπὸ τῆς ἑαυτῶν γνώμης Stephanus, sed magis placet eidem expungendum esse ἃ ante ἔπραττον | pro ἃ praebent E (cod. Scorialenses) σοι cf. de Boor | pro ταῦτα c. ταὐτὰ Reiske, cui post πᾶσι videtur φήσετε deesse εἰ δὲ μὴ πᾶσιν ἔδοξεν ταῦτα ὑμῖν, ἀλλ' — ἔπραττόν τινες Kiessling 8 post γνώμης intercidisse ἐτόλμησαν vel simile quid de Boor suspicatur; ego cum Stephano ἃ uncis inclusi; item in edit. Paris. legitur 14 πρόβολοι V 20 παρασκευῇ] παρῇ PV | ἡμεῖς O corr. Ursinus | ἐπιχθέντες BEV ἐπι$^{α}$χθέντες P ἐπαχθέντες M corr. Sylburg

τὸν ἀγῶνα. τρισὶ γοῦν ἢ τέτταρσιν ἡμέραις ὕστερον
τῆς μάχης ⟨οἱ⟩ πεμφθέντες ὑφ' ἡμῶν ἀφίκοντο. περὶ 3
δὲ τῆς Νεαπολιτῶν πόλεως, ἐν ᾗ τῶν ἡμετέρων τινές
εἰσιν, τοσούτου δέομεν ἀδικεῖν ὑμᾶς, εἴ τινα τοῖς κιν-
δυνεύουσι βοήθειαν εἰς σωτηρίαν κοινῇ παρεχόμεθα,
ὥστ' αὐτοὶ δοκοῦμεν ὑφ' ὑμῶν ἀδικεῖσθαι μεγάλα.
2324 φίλην γὰρ ἡμῶν καὶ σύμμαχον οὖσαν τὴν πόλιν ταύ-
την οὐκ ἔναγχος οὐδ' ἀφ' οὗ τὰς πρὸς ὑμᾶς ἐποιησά-
μεθα ὁμολογίας, ἀλλὰ δευτέρᾳ γενεᾷ πρότερον διὰ
πολλὰς καὶ μεγάλας εὐεργεσίας, οὐθὲν ἀδικηθέντες
ὑμεῖς κατεδουλώσασθε. (12) Οὐ μὴν οὐδὲ τούτῳ γε 4
τῷ ἔργῳ τὸ κοινὸν ὑμᾶς τῶν Σαυνιτῶν ἠδίκησεν·
ἰδιόξενοι δέ τινές εἰσιν, ὡς πυνθανόμεθα, καὶ φίλοι
τῶν Νεαπολιτῶν οἱ κατὰ τὴν ἑαυτῶν προαίρεσιν τῇ
πόλει βοηθοῦντες καί τινες καὶ δι' ἀπορίαν ἴσως βίου
μισθοφόροι. † φέρειν δὲ τοὺς ὑπηκόους ὑμῶν οὐθὲν
δεόμεθα· καὶ γὰρ ἄνευ Φουνδανῶν καὶ Φορμιανῶν
ἱκανοὶ βοηθεῖν αὐτοῖς ἐσμεν, ἐὰν καταστῶμεν εἰς
ἀνάγκην πολέμου. ἡ δὲ παρασκευὴ τῆς στρατιᾶς ἡμῶν 5
ἐστιν οὐχ ὡς ἀφαιρησομένων τοὺς ὑμετέρους ἀποίκους
τὰ ἴδια, ἀλλ' ὡς τὰ ἴδια ἑξόντων διὰ φυλακῆς. ἀντι-
2325 προκαλούμεθά τε ὑμᾶς, εἰ βούλεσθε τὰ δίκαια ποιεῖν,
ἐκχωρεῖν Φρεγέλλης, ἣν οὐ πρὸ πολλοῦ πολέμῳ κρατη-
σάντων ἡμῶν, ὅσπερ ἐστὶ νόμος κτήσεως δικαιότατος,

2 οἱ add. Stephanus 3 ὑμετέρων O corr. Ursinus 4 *τοσοῦτον O correxi Aar. Progr. p. 24 8 ἡμᾶς O ὑμᾶς Sylburg 9 δευτέραι γενεαὶ O corr. Ursinus 11 οὐδ' ἐν τούτῳ c. Reiske 16 μισθοφόροι. φέρειν δὲ O μ. φέρειν δὲ καὶ ἄγειν c. Ursinus μ. ἀφαιρεῖν δὲ Sylburg μ. διαφθείρειν δὲ Reiske 21 διαφυλακαῖς V corr. Ursinus | ἀντικαλούμεθα O ἀντιπροκαλούμεθα c. Sylburg 23 φλυγέλλης O corr. Ursinus | οὐ om. V | πολέμου O πολέμῳ Ursinus 24 post ἡμῶν de Boor add. νόμῳ | ὅπερ O corr. Sylburg

ἦσαν αὐτοῖς ὁσημέραι, καὶ χεὶρ ἐγένετο περὶ αὐτοὺς καρτερά· ἔπειτα τὰ δεσμωτήρια ἁπάντων, ὅσα κατὰ τοὺς ἀγροὺς ἦν, ἐλύετο καὶ συνέρρει .... *Escor.*

IIII. Οἱ δὲ τῶν Ῥωμαίων ὕπατοι πᾶσαν τὴν μεταξὺ γῆν ἀδεῶς διελθόντες τῶν μὲν οὐκ ἐναντιουμένων, τῶν δὲ συμπροπεμπόντων — πολλαὶ δ' εἰσὶ δυσχωρίαι κατὰ τὴν ἐκ Ῥώμης εἰς Καμπανίαν ἄγουσαν ὁδὸν ὄρεσί τε καὶ τέλμασι καὶ θαλάτταις καὶ ποταμοῖς ναυσιπόροις διακλειόμεναι, ἃς οὐ ῥᾴδιον ἦν
2 διελθεῖν ὑπὸ τῶν πολεμίων προκαταληφθείσας — καί τινα καὶ ποταμόν, ὃς διὰ τῆς Κασιλίνων χώρας καὶ πόλεως φέρεται, τριάκοντα τῆς Καπύης ἀπέχοντα στάδια, Οὐολτοῦρνον ὄνομα, τεττάρων οὐκ ἐλάττω πλέθρων ὄντα τὸ πλάτος, ξυλίνῃ γεφύρᾳ διαβάντες, ἣν ἐν τρισὶ κατεσκεύασαν ἡμέραις, διεξῄεσαν, ἵνα τοῖς μὲν τὰ σφέτερα φρονοῦσι Καμπανοῖς θάρσος ὡς τὰ κράτιστα προῃρημένοις ἐγγένηται, τοῖς δὲ τἀναντία
3 δέος. καὶ προελθόντες ἐπέκεινα τῆς πόλεως ἀπὸ τετταράκοντα σταδίων Καπύης στρατοπεδεύονται ἐν ὑψηλῷ τόπῳ θέντες τὸν χάρακα, ἔνθα ὑπομένοντες τὰς παρὰ Σαυνιτῶν ἀγοράς τε καὶ συμμαχίας ἐκαραδόκουν. οἱ δ' ἄρα ὑπισχνοῦντο μὲν αὐτοῖς πλείω τῶν ἱκανῶν, ἐπήρκουν δ' οὐδὲν ὅτι καὶ λόγου ἄξιον, στρατιάν τ' ἀγείρειν ἐκ πάσης πόλεως σκηπτόμενοι κατέτριβον

1 *καὶ χεὶρ* Esc. teste Federo *καὶ γὰρ* teste Müllero, qui post *γὰρ* verba excidisse censet 2 *ὑπ' αὐτῶν* Esc. teste Federo *ὑπάντων* teste Müllero, qui *ἁπάντων* scripsit 11 *βασιληνῶν* Esc. 13 *οὐατουρνῶν* Esc. 15 *διεξίεσαν* Esc. 23 *στρατιάν τε γὰρ* Esc. *στρατιάν τ' ἀγείρειν* Feder 24 *ἐκ πάσης πόλεως* cf. Jacoby Aar. Progr. p. 23 | post *πόλεως* lacunam Müller statuit

τοὺς χρόνους. ἀπογνόντες δὴ τῆς ἐκεῖθεν ἐπικουρίας 4
καὶ τὰς μὲν ἑαυτῶν δυνάμεις ὁρῶντες οὐθὲν ἰσχύος
ἐκ τοῦ χρόνου προσλαμβανούσας, τὰς δὲ τῶν πολεμίων
μακρῷ πλείους γιγνομένας, ἐπὶ τὰ ἔργα χωρεῖν ἔγνω-
σαν. ἐνθυμούμενοι δ' ὅτι πολὺ τῆς στρατιᾶς ἐστι τὸ 5
δυσάγωγον καὶ ταῖς ἐπιταγαῖς τῶν ἡγεμόνων ἀπειθές,
ὡς ἐν ἄλλαις τε πολλαῖς πείραις ἐδήλωσε καὶ τὰ τε-
λευταῖα ἐν τῇ Καμπανικῇ παραχειμασίᾳ, ἀφ' ἧς εἰς
τοσαύτην ἀπόνοιαν ἦλθον αὐτῶν τινες, ὥστε καὶ πό-
λεσιν ἐπιθέσθαι καὶ τὸν ὕπατον καταλιπεῖν καὶ κατὰ
τῆς πατρίδος ὅπλα ἀναλαβεῖν, τούτους ᾤοντο δεῖν
πρῶτον ἀποδεῖξαι σωφρονεστέρους, δεινότερον ποιή-
σαντες αὐτοῖς τὸν ἀπὸ τῶν ἡγεμόνων φόβον ἢ τὸν
ἀπὸ τῶν πολεμίων κίνδυνον. ταῦτα διανοηθέντες ἐκ- 6
κλησίαν συνῆγον, καὶ λέγει Μάλλιος· [ζήτει ἐν τῷ
περὶ στρατηγημάτων καὶ δημηγοριῶν. περὶ τοῦ υἱοῦ
Μαλλίου τοῦ μονομαχήσαντος.] *Escor.*

2314 V. (4) ἀλλὰ ⟨καὶ⟩ διότι τοὺς φίλους αὐτῶν Καμ-
πανοὺς πολλὰ καὶ μεγάλα ἔβλαπτον. ἡ δὲ βουλὴ τῶν
Ῥωμαίων Καμπανῶν πολλάκις ἐμφανιζόντων καὶ ἀπο-
δυρομένων ⟨κατὰ⟩ τῶν Νεαπολιτῶν, πρέσβεις ἐψηφί-
σατο πρὸς τοὺς Νεαπολίτας ἀποστεῖλαι τοὺς ἀξιώσου-

1 τῆς ἐκεῖθεν Esc. τὰς ἐκεῖθεν Kiessling cf. Baumann Obs. gram. p. 49  3 χρόνου Esc. χρονισμοῦ Müller sine nota  6 ἀπιθὲς Esc. ἀπειθὲς Müller  13 φόνων vel φόνον Esc. teste Federo, qui φόβον correxit, ψόγον teste Müllero  14 πολεμίων] πόλεων Esc. πολέμων Müller cf. Tegge Quaest. p. 29  16 ὑπὲρ τοῦ [υἱοῦ τοῦ] ὑπάτου Μαλλίου Müller  18 ἀλλὰ om. de Boor | καὶ om. V add. Ursinus  21 κατὰ add. Ursinus  21. 22 Νεαπολιτῶν ἀποστεῖλαι V N. ἀπέστειλε Ursinus scripsit, sed cum ER ἐφηφίσατο, ceteri cod. ἐποιήσατο praebeant, Kiessling in textum recipiendum esse N., πρέσβεις ἐψηφίσατο πρὸς τ. N. ἀποστεῖλαι, quae verba de Boor recepit. Post Νεαπολιτῶν videtur

τας αὐτοὺς μηθὲν εἰς τοὺς ὑπηκόους τῆς τῶν Ῥωμαίων ἡγεμονίας παρανομεῖν, ἀλλὰ καὶ διδόναι τὰ δίκαια καὶ λαμβάνειν, καί, εἴ γε διαφέρονται πρὸς ἀλλήλους, μὴ δι' ὅπλων, ἀλλὰ διὰ λόγων, σύμβολα ποιησαμένους πρὸς αὐτούς, καὶ τὸ λοιπὸν εἰρήνην ἄγειν πρὸς ἅπαν- 2315
τας τοὺς περιοικοῦντας τὸ Τυρρηνικὸν πέλαγος, μήτ' αὐτοὺς ἔργα πράττοντας, ἃ μὴ προσήκει Ἕλλησι, μήτε τοῖς πράττουσι συνεργοῦντας· μάλιστα δ' εἰ δύναιντο θεραπείαις τῶν δυνατῶν παρασκευάσοντας ἀποστῆναι μὲν ἀπὸ Σαυνιτῶν τὴν πόλιν, σφίσι δ' αὐτοῖς γενέ-
2 σθαι φίλην. (5) Ἔτυχον δὲ κατὰ τὸν αὐτὸν χρόνον ἀφιγμένοι πρὸς τοὺς Νεαπολίτας πρέσβεις ὑπὸ Ταραντίνων ἀποσταλέντες, ἄνδρες ἐπιφανεῖς καὶ πρόξενοι διὰ γένους τῶν Νεαπολιτῶν· καὶ ἕτεροι ὑπὸ Νωλάνων ὁμόρων ὄντων καὶ σφόδρα τοὺς Ἕλληνας ἀσπαζομένων, τἀναντία τοὺς Νεαπολίτας ἀξιώσοντες μήτε σύμβολα ποιεῖσθαι πρὸς τοὺς Ῥωμαίους ἢ τοὺς ὑπηκόους αὐ-
3 τῶν μήτε διαλύεσθαι τὴν πρὸς Σαυνίτας φιλίαν. ἐὰν 2316
δὲ ταύτην ποιήσωνται Ῥωμαῖοι τοῦ πολέμου τὴν πρόφασιν, μὴ ὀρρωδεῖν, μηδ' ὡς ἄμαχόν τινα τὴν ἰσχὺν αὐτῶν καταπεπλῆχθαι, ἀλλὰ μένειν γενναίως καὶ ὡς προσῆκεν Ἕλλησι πολεμεῖν, τῇ τ' οἰκείᾳ πιστεύοντας

Reiskio deesse τὰς ἀδικίας vel τὰς παρανομίας vel tale quid | ἀξιώσαντας V corr. Sylburg 3 καὶ delendum esse c. Valesius | εἴ γε] εἴ τι c. Sylburg 4 post λόγων verbum excidisse ut διαλύσασθαι vel tale quid c. Stephanus, κρίνεσθαι vel διακρίνεσθαι c. Reiske | ποιησαμένους] ποιήσασθαι vel καὶ delendum c. Sylburg 6 post μητ' αὐτοὺς Reiskio videtur deesse κατατρέχειν 7 τὰ μὴ προσήκειν O τὰ μὴ προσήκοντα Ursinus ἃ μὴ προσήκει Stephanus ἃ μὴ προσῆκεν Kiessling cf. Hertlein Progr. Wertheim 1873, 9 9 θεραπείας O corr. Sylburg 18 διαλύεσθαι] καταλύεσθαι c. Reiske 19 τὴν del. Hertlein Progr. Wertheim 1873, 9 22 πιστεύοντες O corr. Portus

δυνάμει καὶ τῇ παρὰ Σαυνιτῶν ἀφιξομένῃ βοηθείᾳ,
ναυτικήν τ' ἰσχὺν προσληψομένους ἔξω τῆς ἑαυτῶν,
ἣν Ταραντῖνοι πέμψουσιν, ἐὰν ἄρα καὶ ταύτης δέων-
ται, πολλὴν καὶ ἀγαθήν. *Vrsin.*

VI. (6) Συναχθείσης δὲ τῆς βουλῆς καὶ πολλῶν
ῥηθέντων ἐν αὐτῇ λόγων, οὓς αἵ τε πρεσβεῖαι διεξῆλ-
θον καὶ οἱ συναγορεύοντες αὐταῖς, διέστησαν αἱ γνῶ-
μαι τῶν συνέδρων, καὶ οἵ γε χαριέστατοι τὰ τῶν
2317 Ῥωμαίων ἔδοξαν φρονεῖν. ἐκείνην μὲν οὖν τὴν ἡμέραν 2
οὐδὲν ἐξηνέχθη προβούλευμα, εἰς ἑτέραν δὲ πάλιν
ἕδραν ἀναβληθείσης τῆς περὶ τῶν πρεσβειῶν διαγνώ-
σεως, ἀφικόμενοι κατὰ πλῆθος εἰς τὴν Νεάπολιν Σαυ-
νιτῶν οἱ δυνατώτατοι καὶ τοὺς προεστηκότας τῶν
κοινῶν θεραπείαις τισὶν οἰκειωσάμενοι πείθουσι τὴν
βουλὴν ἐπὶ τῷ δήμῳ ποιῆσαι τὴν τοῦ συμφέροντος
αἵρεσιν. καὶ παρελθόντες εἰς τὴν ἐκκλησίαν πρῶτον 3
μὲν τὰς ἑαυτῶν εὐεργεσίας διεξῄεσαν, ἔπειτα τῆς Ῥω-
μαίων πόλεως πολλὰ κατηγόρουν, ὡς ἀπίστου καὶ δο-
λίου, τελευτῶντες δὲ τοῦ λόγου θαυμαστὰς ἐποιοῦντο
τοῖς Νεαπολίταις ὑποσχέσεις, ἐὰν εἰς τὸν πόλεμον
καταστῶσι, στρατιάν τε πέμψειν, ὅσης ἂν δέωνται, τὴν
φυλάξουσαν αὐτῶν τὰ τείχη, καὶ ταῖς ναυσὶν ἐπιβάτας
2318 καὶ τὴν εἰρεσίαν ἅπασαν παρέξειν, οὐ μόνον καταγ-
γέλλοντες τοῖς ἰδίοις στρατεύμασιν, ἀλλὰ κἀκείνοις
ἁπάσας τὰς εἰς πόλεμον δαπάνας ἐπιχορηγοῦντες· ἀπ- 4
ωσαμένοις τε τὸ Ῥωμαϊκὸν στράτευμα Κύμην τ' ἀνασώ-

1 ἀφανιζομένῃ O ἀφιξομένῃ corr. Ursinus 5 δὲ τῆς V οὖν τῆς X (BMP) 17 διεξίεσαν O corr. Sylburg cf. XV 4, 2 18 ἀπίστους καὶ δολίους O corr. Ursinus 19 τελευτῶντος O corr. Sylburg 20 τοὺς Νεαπολίτας O corr. Ursinus 24 κἀκείνους O corr. Ursinus 25 ἐπιχορηγήσειν c. Reiske

*τῶν σπλάγχνων ἀνθήσειν τὴν χολήν, ἐὰν κωλύῃ τις*
*αὐτοὺς τοσαύταις ψυχαῖς πολεμίων τιμῆσαι τοὺς κατὰ*
*γῆς, αἵπερ μόναι τῶν κατοιχομένων δοκοῦσιν εἶναι*
3 *τιμαί;* (5) *Φέρε δὴ κεὶ τοῦτο πεισθέντες ἢ βιασθέντες*
*ἢ ὅ τι δή ποτε παθόντες εἴξουσί τε καὶ ζῆν αὐτοὺς*
*ἐάσουσιν, ἆρ' ἔτι σοι δοκοῦσι καὶ τὰ χρήματα αὐτοὺς*
*ἐάσειν ἔχειν καὶ μηδεμιᾶς πειραθέντας ἀσχημοσύνης,*
*ὥσπερ ἡρῶάς τινας ἐπ' ἀγαθῷ τῇσδε τῆς γῆς φανέντας,*
*ὁπότε δόξειεν αὐτοῖς, ἀπελθεῖν, ἀλλ' οὐχ ὥσπερ θηρία*
*περιχυθέντας διασπάσεσθαι ταῦτα λέγειν ἐπιβαλόμενον*
4 *ἐμέ; οὐχ ὁρᾷς, ὅτι καὶ τοὺς κυνηγοὺς οἱ θηρευταὶ*
*κύνες, ὅταν ἁλῷ θηρίον κατακλεισθὲν ὑπ' αὐτῶν εἰς*
*τὰ λίνα, περιίστανται τὴν ἐπιβάλλουσαν μοῖραν ἀπαιτοῦντες τῆς ἄγρας, καὶ ἐὰν μὴ μεταλάβωσιν εὐθὺς αἵματος ἢ σπλάγχνων, ἀρράζουσιν ἑπόμενοι καὶ σπαράττουσι τὸν κυνηγόν, καὶ οὔτε διωκόμενοι οὔτε παιόμενοι ἀπείργονται;* *Ambr.*

III. (6) *Δι' ἡμέρας μὲν ὅλης ἀγωνιζόμενοι τῶν πόνων ἠνείχοντο, ἀφελομένου δὲ τοῦ σκότους τὴν γνῶσιν τῶν τε οἰκείων καὶ τῶν πολεμίων πρὸς τοὺς οἰκείους χάρακας ἀπηλλάγησαν.*

*Ἄππιος Κλαύδιος περὶ τὰς θυσίας παρανομήσας*

2 *κατὰ γῆν* Ambr. corr. K. W. Krüger Ind. gr. gr. 1856, 263; cf. Jacoby Obs. crit. p. 329 4 *φέρε δὲ καὶ* Ambr. teste Maio *φ. δὴ καὶ* teste Ambroschio et Kiesslingio *φ. δὴ κἂν* Kiessling 5 **εἴξωσί με* Ambr. *εἴξωσί μοι* Maius *εἴξουσί τε* Struve *εἴξωσι γε — ἐάσωσιν* Kiessling: totum locum Naber Mnem. 30, 259 sic constituit: *φέρε εἰ δὲ δὴ — εἴξουσι — ἐάσουσιν*, ego: *φέρε δὴ κεὶ* (vel *καὶ εἰ*) *εἴξουσί τε — ἐάσουσιν* 8 *τῇδε τῇ γῇ* c. Struve 10 *περιχυθέντες* c. dubitanter Kiessling 14 *ἀγορᾶς* Ambr. corr. Maius 16 *οὔτε διωκόμενοι οὔτε ἀγωνιζόμενοι παιόμενοι* Ambr., sed *ἀγωνιζόμενοι* erasum

*τι ἀπετυφλώθη καὶ Καῖκος προσηγορεύθη· οὕτω γὰρ τοὺς τυφλοὺς Ῥωμαῖοι καλοῦσιν.*

*Αἱ ἐντοίχιοι γραφαὶ ταῖς τε γραμμαῖς πάνυ ἀκρι-* 2
*βεῖς ἦσαν καὶ τοῖς μίγμασιν ἡδεῖαι, παντὸς ἀπηλλαγμένον ἔχουσαι τοῦ καλουμένου ῥώπου τὸ ἀνθηρόν.*

*Τὰς νουμηνίας οἱ Ῥωμαῖοι καλάνδας καλοῦσι, τὰς δὲ διχοτόμους νόννας, τὰς δὲ πανσελήνους εἰδούς. Ambr.*

(7) *Τοῖς δὲ κατὰ μέσην ἀγωνιζομένοις τὴν φά-* 3
*λαγγα ἀσπάθητον οὖσαν καὶ λαγαρὰν οἱ τῇδε τεταγμένοι συμπεσόντες ἐξέωσαν τῆς στάσεως.*

*Ὁ κατοικίδιός τε καὶ διοπετὴς πόλεμος ἐμάραινε τὴν ἀκμὴν τῆς πόλεως.*

*Ἄνδρας ἱεραγωγοὺς καὶ ἱεραφορίᾳ τετιμημένους.*

*Φορᾶς ἀβούλου μεστὸς ἀνὴρ καὶ μανικὸν ἔχων τὸ τολμηρόν, ἰδιογνωμονήσας καὶ ὑφ' ἑαυτῷ ποιήσας πάντα ⟨τὰ⟩ τοῦ πολέμου.*

*Ἔπειτα σὺ τολμᾷς κατηγορεῖν τῆς τύχης ὡς κακῶς* 4
*τοῖς πράγμασι χρησαμένης ἐπὶ περιτραπέντος αὐτὴν καθίσας σκάφους; οὕτω σκαιὸς ἦν.*

*Μέλη τὰ μὲν θεραπείας ἔτι δεόμενα, τὰ δὲ τὰς οὐλὰς ἐφέλκοντα νεωστί. Ambr.*

2 *τοὺς* supra versum scriptum 4 *μίγμασιν*] *μιμήμασιν* Struve, sed cf. Dionys. de Isaeo iud. 4 12 **κλινοπετὴς πόλεμος* quid sit Struve ignorat *διοπετὴς* ego cum *καὶ* duplicatum sit; cf. Dion. Hal. XI 27, 4 16 *ὑφ' ἑαυτῷ* Ambr. *ἐφ' ἑαυτῷ* Kiessling cf. Cobet Obs. p. 66 17 *τὰ* add. Hertlein Hermes X 421 19 *αὐτὴν*] *αὐτὸς* Struve 20 *ἦν*] *εἶ* c. Struve cf. Hertlein Progr. Wertheim 1878, 9 Kiessling se verba lacera emendare noluisse adnotat, ego verba, quae proverbii locum obtinent, sanissima esse censeo 22 *ἐφέλκοντα*] *ἐφ' ἑλκῶν ἔχοντα* dubitanter c. Kiessling

IIII. (8) Ὅτι, φησὶ Διονύσιος, μιᾶς ἔτι μνησθή- 2336
σομαι πράξεως πολιτικῆς ἀξίας ὑπὸ πάντων ἀνθρώ-
πων ἐπαινεῖσθαι, ἐξ ἧς καταφανὲς ἔσται τοῖς Ἕλλη-
σιν, ὅσον ἦν τὸ μισοπόνηρον ἐν τῇ Ῥώμῃ τότε καὶ
τὸ πρὸς τοὺς παραβαίνοντας τὰ κοινὰ νόμιμα τῆς
2 ἀνθρωπίνης φύσεως ἀμείλικτον. Γάιος Λαιτώριος
Μέργος ἐπίκλησιν ἐπιφανὴς κατὰ γένος καὶ κατὰ τὰς 2337
πολεμικὰς πράξεις οὐκ ἀγεννής, ἑνὸς τῶν ταγμάτων
χιλίαρχος ἀποδειχθεὶς ἐν τῷ Σαυνιτικῷ πολέμῳ,
νεανίαν τινὰ τῶν ὁμοσκήνων διαφέροντα τὴν ὄψιν
ἑτέρων μέχρι μέν τινος ἔπειθεν ἑαυτῷ χαρίσασθαι
τὴν τοῦ σώματος ὥραν ἑκόντα. ὡς δ' οὔτε δωρεαῖς
οὔτ' ἄλλῃ φιλανθρωπίᾳ τὸ μειράκιον ἡλίσκετο, κατ-
έχειν τὴν ἐπιθυμίαν ἀδύνατος ὢν βίαν προσφέρειν
3 ἐπεβάλετο. περιβοήτου δὲ τῆς ἀκοσμίας τοῦ ἀνδρὸς
ἅπασι τοῖς ἐπὶ τοῦ στρατοπέδου γενομένης κοινὸν
ἀδίκημα τῆς πόλεως εἶναι νομίσαντες οἱ δήμαρχοι
γραφὴν ἀποφέρουσι κατ' αὐτοῦ δημοσίᾳ, καὶ ὁ δῆμος
ἁπάσαις ταῖς ψήφοις τοῦ ἀνδρὸς κατέγνω τίμημα δί-
κης ὁρίσας θάνατον, οὐκ ἀξιῶν εἰς ἐλεύθερα σώματα
καὶ προπολεμοῦντα τῆς τῶν ἄλλων ἐλευθερίας τοὺς
ἐν ταῖς τιμαῖς ὄντας <καὶ> ἀρχαῖς ὑβρίζειν τὰς ἀν-

5 κοινὰ καὶ νόμιμα Suidas 16 τοῦ om. Suidas 18 δη-
μοσίαν c. Reiske 20 θανάτου Turon. corr. Valesius 22 *ἐν
ταῖς ἄλλαις ὄντας ἀρχαῖς Turon. ἐν ταῖς στρατηγίαις καὶ ταῖς
ἄλλαις ὄντας ἀρχαῖς c. Reiske ἐν μεγάλαις ὄντας ἀρχαῖς c. Smit
Obs. p. 61 ἐν ταῖς τιμαῖς ὄντας καὶ ἀρχαῖς ego

v. 6. Ῥωμαῖός τις Γάιος Λαιτώριος, νεανίαν τινὰ τῶν ὁμο-
σκήνων ἔπειθεν ἑαυτῷ χαρίσασθαι τὴν τοῦ σώματος ὥραν· ὡς
δ' οὔτε δωρεαῖς οὔτε φιλανθρωπίᾳ τὸ μειράκιον ἡλίσκετο, περι-
βοήτου τῆς ἀκοσμίας τοῦ ἀνδρὸς γενομένης οἱ δήμαρχοι θάνατον
αὐτοῦ [cod. Q αὐτὸν] κατέγνωσαν. *Ambr.*

*ηκέστους καὶ παρὰ φύσιν τοῖς ἄρρεσιν ὕβρεις.* Vales. et Suid. s. v. *Γάιος Λαιτώριος.*

V. (9) *Ἔτι δὲ τούτου θαυμασιώτερον ἔπραξαν οὐ*
2338 *πολλοῖς πρότερον χρόνοις, καίτοι περὶ δοῦλον σῶμα*
*γενομένης τῆς ὕβρεως. ἑνὸς γὰρ τῶν παραδόντων*
*Σαυνίταις τὸ στρατόπεδον χιλιάρχων καὶ ὑπὸ ζυγὸν*
*ὑπελθόντων, Ποπλιλίου υἱὸς ὡς ἐν πολλῇ καταλειφθεὶς*
*πενίᾳ δάνειον ἠναγκάσθη λαβεῖν εἰς τὴν ταφὴν τοῦ*
*πατρός, ὡς ἐρανισθησόμενος ὑπὸ τῶν συγγενῶν. δια-*
*ψευσθεὶς δὲ τῆς ἐλπίδος ἀπήχθη πρὸς τὸ χρέος τῆς*
*προθεσμίας διελθούσης, κομιδῇ νέος ὢν καὶ τῇ ὄψει*
*ὡραῖος. οὗτος τὰ μὲν ἄλλα ὑπηρετῶν, ὅσα δούλους* 2
*δεσπόταις νόμος ἦν, ἠνείχετο, τὴν δὲ τοῦ σώματος*
*ὥραν χαρίσασθαι κελευόμενος ἠγανάκτει καὶ μέχρι*
*παντὸς ἀπεμάχετο. πολλὰς δὲ διὰ τοῦτο μαστίγων*
*λαβὼν πληγὰς ἐξέδραμεν εἰς τὴν ἀγορὰν καὶ στὰς ἐπὶ*
*μετεώρου τινός, ἔνθα πολλοὺς ἔμελλε τῆς ὕβρεως λή-*
*ψεσθαι μάρτυρας, τήν τ' ἀκολασίαν τοῦ δανειστοῦ*
*διηγήσατο καὶ τῶν μαστίγων τοὺς μώλωπας ὑπέδειξεν.*
2339 *ἀγανακτήσαντος δὲ τοῦ δήμου καὶ δημοσίας ὀργῆς* 3
*ἄξιον ἡγησαμένου τὸ πρᾶγμα [καὶ τὴν κρίσιν] κατ-*
*ηγορούντων τὴν εἰσαγγελίαν τῶν δημάρχων ὦφλε θα-*
*νάτου δίκην. καὶ δι' ἐκεῖνο τὸ πάθος ἅπαντες οἱ δου-*

7 *ποπλίου* Turon. et Suidas; Dionysium *ποπλιλίου* scripsisse Livius VIII 28 docet | *υἱὸς ὢν* Turon. *υἱὸς ὡς* Reiske | *καταληφθεὶς* Turon. corr. Valesius 8 *εἰς τὴν ταφὴν τοῦ πατρὸς* om. Suidas 21 *πρᾶγμα καὶ τὴν κρίσιν* Turon. *καὶ τὴν κρίσιν* om. Suidas. Aut *τὴν κρίσιν* aut *τὴν εἰσαγγελίαν* delendum videtur aut si tamen utrumque servatum volumus, fortasse sic est legendum: *καὶ εἰσαχθεὶς εἰς τὴν κρίσιν κατηγορούντων τῶν δημάρχων τὴν εἰσαγγελίαν. ἁλοὺς, ὦφλε θανάτου δίκην* Reiske *πρᾶγμα ἀχθεὶς εἰς τὴν κρίσιν κατηγορούντων* Kiessling *καὶ τὴν κρίσιν* cum Suida delevi

IIII. (8) Ὅτι, φησὶ Διονύσιος, μιᾶς ἔτι μνησθή- 2336
σομαι πράξεως πολιτικῆς ἀξίας ὑπὸ πάντων ἀνθρώ-
πων ἐπαινεῖσθαι, ἐξ ἧς καταφανὲς ἔσται τοῖς Ἕλλη-
σιν, ὅσον ἦν τὸ μισοπόνηρον ἐν τῇ Ῥώμῃ τότε καὶ
τὸ πρὸς τοὺς παραβαίνοντας τὰ κοινὰ νόμιμα τῆς
2 ἀνθρωπίνης φύσεως ἀμείλικτον. Γάιος Λαιτώριος
Μέργος ἐπίκλησιν ἐπιφανὴς κατὰ γένος καὶ κατὰ τὰς 2337
πολεμικὰς πράξεις οὐκ ἀγεννής, ἑνὸς τῶν ταγμάτων
χιλίαρχος ἀποδειχθεὶς ἐν τῷ Σαυνιτικῷ πολέμῳ,
νεανίαν τινὰ τῶν ὁμοσκήνων διαφέροντα τὴν ὄψιν
ἑτέρων μέχρι μέν τινος ἔπειθεν ἑαυτῷ χαρίσασθαι
τὴν τοῦ σώματος ὥραν ἑκόντα. ὡς δ' οὔτε δωρεαῖς
οὔτ' ἄλλῃ φιλανθρωπίᾳ τὸ μειράκιον ἡλίσκετο, κατ-
έχειν τὴν ἐπιθυμίαν ἀδύνατος ὢν βίαν προσφέρειν
3 ἐπεβάλετο. περιβοήτου δὲ τῆς ἀκοσμίας τοῦ ἀνδρὸς
ἅπασι τοῖς ἐπὶ τοῦ στρατοπέδου γενομένης κοινὸν
ἀδίκημα τῆς πόλεως εἶναι νομίσαντες οἱ δήμαρχοι
γραφὴν ἀποφέρουσι κατ' αὐτοῦ δημοσίᾳ, καὶ ὁ δῆμος
ἁπάσαις ταῖς ψήφοις τοῦ ἀνδρὸς κατέγνω τίμημα δί-
κης ὁρίσας θάνατον, οὐκ ἀξιῶν εἰς ἐλεύθερα σώματα·
καὶ προπολεμοῦντα τῆς τῶν ἄλλων ἐλευθερίας τοὺς
ἐν ταῖς τιμαῖς ὄντας <καὶ> ἀρχαῖς ὑβρίζειν τὰς ἀν-

5 *κοινὰ καὶ νόμιμα* Suidas 16 *τοῦ* om. Suidas 18 *δημοσίαν* c. Reiske 20 *θανάτου* Turon. corr. Valesius 22 **ἐν ταῖς ἄλλαις ὄντας ἀρχαῖς* Turon. *ἐν ταῖς στρατηγίαις καὶ ταῖς ἄλλαις ὄντας ἀρχαῖς* c. Reiske *ἐν μεγάλαις ὄντας ἀρχαῖς* c. Smit Obs. p. 61 *ἐν ταῖς τιμαῖς ὄντας καὶ ἀρχαῖς* ego

---

v. 6. *Ῥωμαῖός τις Γάιος Λαιτώριος, νεανίαν τινὰ τῶν ὁμοσκήνων ἔπειθεν ἑαυτῷ χαρίσασθαι τὴν τοῦ σώματος ὥραν· ὡς δ' οὔτε δωρεαῖς οὔτε φιλανθρωπίᾳ τὸ μειράκιον ἡλίσκετο, περιβοήτου τῆς ἀκοσμίας τοῦ ἀνδρὸς γενομένης οἱ δήμαρχοι θάνατον αὐτοῦ* [cod. Q *αὐτὸν*] *κατέγνωσαν. Ambr.*

*ηκέστους καὶ παρὰ φύσιν τοῖς ἄρρεσιν ὕβρεις.* Vales. et Suid. s. v. *Γάιος Λαιτώριος.*

V. (9) *Ἔτι δὲ τούτου θαυμασιώτερον ἔπραξαν οὐ*
2338 *πολλοῖς πρότερον χρόνοις, καίτοι περὶ δοῦλον σῶμα γενομένης τῆς ὕβρεως. ἑνὸς γὰρ τῶν παραδόντων Σαυνίταις τὸ στρατόπεδον χιλιάρχων καὶ ὑπὸ ζυγὸν ὑπελθόντων, Ποπλιλίου υἱὸς ὡς ἐν πολλῇ καταλειφθεὶς πενίᾳ δάνειον ἠναγκάσθη λαβεῖν εἰς τὴν ταφὴν τοῦ πατρός, ὡς ἐρανισθησόμενος ὑπὸ τῶν συγγενῶν. διαψευσθεὶς δὲ τῆς ἐλπίδος ἀπήχθη πρὸς τὸ χρέος τῆς προθεσμίας διελθούσης, κομιδῇ νέος ὢν καὶ τῇ ὄψει ὡραῖος. οὗτος τὰ μὲν ἄλλα ὑπηρετῶν, ὅσα δούλους* 2
*δεσπόταις νόμος ἦν, ἠνείχετο, τὴν δὲ τοῦ σώματος ὥραν χαρίσασθαι κελευόμενος ἠγανάκτει καὶ μέχρι παντὸς ἀπεμάχετο. πολλὰς δὲ διὰ τοῦτο μαστίγων λαβὼν πληγὰς ἐξέδραμεν εἰς τὴν ἀγορὰν καὶ στὰς ἐπὶ μετεώρου τινός, ἔνθα πολλοὺς ἔμελλε τῆς ὕβρεως λήψεσθαι μάρτυρας, τήν τ' ἀκολασίαν τοῦ δανειστοῦ διηγήσατο καὶ τῶν μαστίγων τοὺς μώλωπας ὑπέδειξεν.*
2339 *ἀγανακτήσαντος δὲ τοῦ δήμου καὶ δημοσίας ὀργῆς* 3
*ἄξιον ἡγησαμένου τὸ πρᾶγμα [καὶ τὴν κρίσιν] κατηγορούντων τὴν εἰσαγγελίαν τῶν δημάρχων ὦφλε θανάτου δίκην. καὶ δι' ἐκεῖνο τὸ πάθος ἅπαντες οἱ δου-*

7 *ποπλίου* Turon. et Suidas; Dionysium *ποπλιλίου* scripsisse Livius VIII 28 docet | *υἱὸς ὢν* Turon. *υἱὸς ὡς* Reiske | *καταληφθεὶς* Turon. corr. Valesius 8 *εἰς τὴν ταφὴν τοῦ πατρὸς* om. Suidas 21 *πρᾶγμα καὶ τὴν κρίσιν* Turon. *καὶ τὴν κρίσιν* om. Suidas. Aut *τὴν κρίσιν* aut *τὴν εἰσαγγελίαν* delendum videtur aut si tamen utrumque servatum volumus, fortasse sic est legendum: *καὶ εἰσαχθεὶς εἰς τὴν κρίσιν κατηγορούντων τῶν δημάρχων τὴν εἰσαγγελίαν. ἁλοὺς, ὦφλε θανάτου δίκην* Reiske *πρᾶγμα ἀχθεὶς εἰς τὴν κρίσιν κατηγορούντων* Kiessling *καὶ τὴν κρίσιν* cum Suida delevi

*λωθέντες πρὸς τὰ χρέα Ῥωμαῖοι νόμῳ κυρωθέντι τὴν ἀρχαίαν ἐλευθερίαν ἐκομίσαντο. Vales. et Suidas s. v. Γάιος Λαιτώριος.*

VI. (10) *Ἀξιῶν τὴν βουλὴν ὑπὲρ τῶν ἀπόρων καὶ κατάχρεων.*

*Αἱ νεοσφαγεῖς τῶν θυομένων σάρκες μέχρι τούτου διατελοῦσι τρέμουσαί τε καὶ παλλόμεναι, ἕως ἂν τὸ κατεχόμενον ἐν αὐταῖς συγγενὲς πνεῦμα βιασάμενον*
2 *τοὺς πόρους ἅπαν ἐξαναλωθῇ. τοῦτο σεισμῶν αἴτιον γίνεται καὶ τῇ Ῥώμῃ· ἅπασα γὰρ ὑπόνομος οὖσα μεγάλαις καὶ συνεχέσι τάφροις, δι' ὧν ὀχετεύεται τὸ ὕδωρ, καὶ πολλὰς ἀναπνοὰς στομάτων ἔχουσα, διὰ τούτων ἀνίησι τὸ κατακλεισθὲν πνεῦμα ἐν αὐτῇ· καὶ τοῦτο ἔστιν, ὃ κραδαίνει τε αὐτὴν καὶ σπαράττει τὴν ἐπιφάνειαν, ὅταν πολὺ καὶ βίαιον ἐναποληφθὲν εἴργηται. Ambr.*

7 *ἂν ἕως τὸ* Ambr. corr. Struve, an *τέως*? cf. Aar. Progr. p. 13  9 *τοιοῦτό τι σεισμῶν* c. Struve  15 *ἐναπολειφθὲν* Ambr. corr. Struve

---

*Φρέγελλα, πόλις Ἰταλίας, ἣ τὸ μὲν ἀρχαῖον ἦν Ὀπικῶν, ἔπειτα Οὐολούσκων ἐγένετο. τὸ ἐθνικὸν Φρεγελλανός, ὡς Διονύσιος ιϛ' τῆς Ῥωμαικῆς ἀρχαιολογίας καὶ ἄλλοι πλεῖστοι. Steph. Byz.* (*Liv.* VIII, 22.)

*Μέντυρνα, πόλις ἐν Ἰταλίᾳ Σαυνιτῶν. Διονύσιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν Μεντυρναῖος. Steph. Byz.* (*Liv.* VIIII, 25.)

*Αἴκαλον, φρούριον τῆς Ἰταλίας. Διονύσιος ιϛ' Ῥωμαικῆς ἀρχαιολογίας. Steph. Byz.*

*Ἰάποδες, ἔθνος Κελτικὸν πρὸς τῇ Ἰλλυρίᾳ. Διονύσιος ἑκκαιδεκάτῳ. Steph. Byz.*

---

# EXCERPTA

## EX

## LIBRIS XVII et XVIII.

---

2328 I. (16, 11) Ὅτι ὁ Σαυνιτικὸς αὖθις ἀνερριπίσθη πόλεμος ἀπὸ τοιαύτης αἰτίας ἀρξάμενος. μετὰ τὰς σπονδάς, ἃς ἐποιήσαντο πρὸς τὴν Ῥωμαίων πόλιν οἱ Σαυνῖται, χρόνον ὀλίγον ἐπισχόντες ἐπὶ Λευκανοὺς ἐστράτευσαν ὁμόρους ὄντας ἐκ παλαιᾶς τινος ὁρμη-
θέντες ἔχθρας. κατ᾽ ἀρχὰς μὲν οὖν ταῖς ἑαυτῶν δυ- 2
νάμεσι πιστεύοντες οἱ Λευκανοὶ τόν [τε] πόλεμον
2329 διέφερον· ἐν ἁπάσαις δὲ μειονεκτοῦντες ταῖς μάχαις καὶ πολλὰ μὲν ἀπολωλεκότες ἤδη χωρία, κινδυνεύοντες δὲ καὶ περὶ τῆς ἄλλης γῆς ἁπάσης, ἐπὶ τὴν Ῥωμαίων βοήθειαν ἠναγκάσθησαν καταφυγεῖν, συνειδότες μὲν ἑαυτοῖς ἐψευσμένοις ἃς πρότερον ἐποιήσαντο πρὸς αὐτοὺς ὁμολογίας, ἐν αἷς φιλίαν συνέθεντο καὶ συμμαχίαν, οὐκ ἀπογνόντες δὲ συμπείσειν αὐτούς, ἐὰν ἐξ ἁπάσης [τῆς] πόλεως τοὺς ἐπιφανεστάτους παῖδας ὁμήρους ἅμα τοῖς πρεσβευταῖς ἀποστείλωσιν· ὅπερ καὶ

5 ὁμόρρους O corr. Ursinus | ὁρμηθέντες BE ὁρμηθέντας R 7 τόν τε O vel deest comma quodpiam vel sine τε legendum τὸν πόλεμον c. Sylburg 9 μὲν om. V | ἀπολελωκότες O corr. Sylburg 14 συμπεσεῖν O corr. Ursinus 15 τῆς del. Sylburg cf. Jacoby Aar. Progr. p. 23

3 συνέβη. (12) ἀφικομένων γὰρ τῶν πρέσβεων καὶ
πολλὰ δεομένων ἥ τε βουλὴ δέχεσθαι τὰ ὅμηρα ἔγνω
καὶ τὴν φιλίαν πρὸς τοὺς Λευκανοὺς συνάψαι, καὶ ὁ
4 δῆμος ἐπεκύρωσε τὰ ψηφισθέντα ὑπ' αὐτῆς. γενομέ-
νων δὲ τῶν συνθηκῶν πρὸς τοὺς ἀποσταλέντας ὑπὸ
τῶν Λευκανῶν ἄνδρας οἱ πρεσβύτατοι Ῥωμαίων καὶ
τιμιώτατοι προχειρισθέντες ὑπὸ τῆς βουλῆς πρέσβεις 2330
ἀπεστάλησαν ἐπὶ τὴν κοινὴν τῶν Σαυνιτῶν σύνοδον,
δηλώσοντες αὐτοῖς, ὅτι φίλοι καὶ σύμμαχοι Ῥωμαίων
εἰσὶ Λευκανοί, καὶ τήν τε χώραν ἣν ἔτυχον αὐτῶν
ἀφῃρημένοι παρακαλέσοντες ἀποδιδόναι, καὶ μηδὲν ἔτι
πράττειν ἔργον πολεμίων, ὡς οὐ περιοψομένης τῆς
Ῥωμαίων πόλεως τοὺς ἑαυτῆς ἱκέτας ἐξελαυνομένους
ἐκ τῆς σφετέρας. *Vrsin.*

II. (16, 13) Οἱ δὲ Σαυνῖται τῶν πρέσβεων ἀκού-
σαντες ἠγανάκτουν τε καὶ ἀπελογοῦντο πρῶτον μὲν
οὐκ ἐπὶ τούτῳ πεποιῆσθαι λέγοντες τὰς περὶ τῆς εἰ-
ρήνης ὁμολογίας, ἐπὶ τῷ μηδένα μήτε φίλον ἴδιον
ἡγήσασθαι μήτ' ἐχθρόν, ἐὰν μὴ Ῥωμαῖοι κελεύωσιν·
ἔπειθ' ὅτι Λευκανοὺς οὐ πρότερον ἐποιήσαντο Ῥωμαῖοι
φίλους, ἀλλ' ἔναγχος πολεμίους ἤδη σφῶν ὄντας, πρό-
φασιν οὔτε δικαίαν οὔτ' εὐσχήμονα κατασκευαζόμενοι 2331
2 τοῦ καταλῦσαι τὰς σπονδάς. ἀποκρινομένων δὲ τῶν
Ῥωμαίων, ὅτι τοὺς ὑπηκόους ὁμολογήσαντας ἕπεσθαι

9 *δηλώσαντες* O corr. Kiessling 10 *τὴν τότε χώραν* O corr. Sylburg 11 *παρακαλέσαντες* O corr. Sylburg 12 *ἔργων* V | *πολεμίων περιοψομένη* M Kiesslingio teste 13 *ἱκέτας* O praeter X qui codices *οἰκέτας* praebent 16 *ἀπολογοῦντο* V *ἀπηλογοῦντο* R corr. Sylburg 18 *ἰδίᾳ* c. Stephanus 20 *οὐ πολὺ* vel *οὐ πολλῷ πρότερον* c. Stephanus 24 *ὁμολογήσαντες* O corr. Ursinus | *ἕπεσθαι* O *ἔσεσθαι* Ursinus

*καὶ ἐπὶ τούτῳ τῷ δικαίῳ καταλυσαμένους τὸν πόλεμον ἅπαντα πείθεσθαι δεῖ τοῖς παρειληφόσι τὴν ἀρχήν, καί, εἰ μὴ ποιήσουσι τὰ κελευόμενα ἑκόντες, πολεμήσειν αὐτοῖς ἀπειλούντων, ἀφόρητον ἡγησάμενοι τὴν αὐθάδειαν τῆς πόλεως οἱ Σαυνῖται τοὺς μὲν πρέσβεις ἐκέλευσαν ἀπαλλάττεσθαι παραχρῆμα, αὐτοὶ δὲ τὰ πρὸς τὸν πόλεμον ἐψηφίσαντο κοινῇ τε καὶ κατὰ πόλεις εὐτρεπίζεσθαι. Vrsin.*

III. (16, 14) *Ἡ μὲν δὴ φανερὰ τοῦ Σαυνιτικοῦ πολέμου πρόφασις καὶ πρὸς ἅπαντας εὐπρεπὴς λέγεσθαι ἡ Λευκανῶν ἐγένετο βοήθεια τῶν καταφυγόντων ἐπ' αὐτούς· ὡς κοινὸν δή τι τοῦτο καὶ πάτριον ἔθος* 2332 *τῇ Ῥωμαίων πόλει τοῖς ἀδικουμένοις καὶ καταφεύγουσιν ἐπ' αὐτὴν βοηθεῖν· ἡ δ' ἀφανὴς καὶ μᾶλλον αὐτοὺς ἀναγκάζουσα διαλύεσθαι ⟨τὴν⟩ φιλίαν ἡ τῶν Σαυνιτῶν ἰσχὺς πολλή τ' ἤδη γεγονυῖα καὶ ἔτι πλείων γενήσεσθαι νομιζομένη, ⟨εἰ⟩ Λευκανῶν τε χειρωθέντων καὶ δι' αὐτοὺς τῶν προσοίκων ἀκολουθήσειν ἔμελλε τά [τε] βαρβαρικὰ ἔθνη τὰ προσεχῆ τούτοις. αἵ τε δὴ σπονδαὶ μετὰ τὴν ἄφιξιν τῶν πρεσβευτῶν εὐθὺς ἐλέλυντο, καὶ στρατιαὶ δύο κατεγράφοντο. Vrsin.*

2 *πείσεσθαι* O *πείθεσθαι* Sylburg e codice Pacii 3 *εἰ καὶ μὴ* O *καὶ εἰ μὴ* Sylburg | *ποιήσωσι* O ut videtur, quod de Boor recepit in textum; *ποιήσουσι* Sylburg; equidem num vera sint verba Kühneri gr. gr. II § 398, 2a 2 dubito; cf. Baumann Obs. gram. de usu mod. p. 45 6 *αὐτοί*] *αὐτὸς* V 13 *καταφεύγοντας* O corr. Ursinus 15 *διαλύεσθαι τὴν πρὸς Σαυνίτας φιλίαν* c. Sylburg *δ. βλαβερὰν* aut *ἐπικίνδυνον* aut *δυσχερῆ φιλίαν* c. Reiske *τὴν* add. Kiessling 16 *ἔτι πλείων* Sylburg *ἐπὶ πλείω* vel *ἐπὶ πλεῖον* libri 17 *εἰ* add. Reiske 19 *τε* Stephanus del. *ἔμελλε καὶ τὰ β.* c. Sylburg *τά τε β. ἔθνη καὶ τὰ Ἑλληνικὰ τὰ προσεχῆ* c. Reiske

IV. (16, 15) Ὅτι Ποστόμιος ὁ ὕπατος τῆς δια-
δοχῆς αὐτοῦ ἐγγισάσης μέγα φρονῶν ἐφ' ἑαυτῷ τῆς
τ' ἀξιώσεως τοῦ γένους ἕνεκα, καὶ ὅτι διτταῖς ὑπατείαις 2333
2 ἤδη κεκοσμημένος ἦν. ἐφ' οἷς ὁ συνύπατος αὐτοῦ
καταρχὰς μὲν ὡς ἀπελαυνόμενος τῶν ἴσων ἠγανάκτει
καὶ πολλάκις ἐπὶ τῆς βουλῆς τὰ δίκαια πρὸς αὐτὸν
ἔλεγεν, ὕστερον δὲ συγγνοὺς ἑαυτῷ κατά τε προγόνων
ὄγκον καὶ φίλων πλῆθος καὶ κατὰ τὰς ἄλλας δυνάμεις
ἐλάττονα ἰσχὺν ἔχοντι — δημοτικὸς γὰρ ἦν καὶ τῶν
νεωστὶ παρελθόντων εἰς γνῶσιν — εἶξέ τε τῷ συν-
υπάτῳ καὶ παρεχώρησε τοῦ Σαυνιτικοῦ πολέμου τὴν
3 ἡγεμονίαν. πρῶτον μὲν δὴ τοῦτο διαβολὴν ἤνεγκε τῷ
Ποστομίῳ κατὰ πολλὴν αὐθάδειαν γενόμενον καὶ ἕτε-
ρον αὖθις ἐπὶ τούτῳ βαρύτερον ἢ ὡς κατὰ Ῥωμαῖον
ἡγεμόνα. ἐπιλεξάμενος γὰρ ἐκ τῆς ἑαυτοῦ στρατιᾶς
περὶ τοὺς δισχιλίους ἄνδρας εἰς τοὺς ἰδίους ἀγροὺς
ἀπήγαγεν, οἷς ἄνευ σιδήρου δρυμὸν ἐκέλευσε κείρειν.
καὶ μέχρι πολλοῦ κατέσχε τοὺς ἄνδρας ἐν τοῖς ἀγροῖς
4 θητῶν ἔργα καὶ θεραπόντων ὑπηρετοῦντας. (16) Το-
σαύτῃ δὲ αὐθαδείᾳ πρὸ τῆς ἐξόδου χρησάμενος ἔτι
βαρύτερος ἐφάνη τοῖς κατ' αὐτὴν τὴν στρατείαν ἐπι-
τελεσθεῖσι καὶ παρέσχε τῇ βουλῇ καὶ τῷ δήμῳ μίσους
ἀφορμὰς δικαίου. τὸν γὰρ ὑπατεύσαντα τῷ πρόσθεν
ἐνιαυτῷ καὶ νικήσαντα Σαυνιτῶν τοὺς καλουμένους 2334
Πέντρους Φάβιον τῆς βουλῆς ψηφισαμένης μένειν ἐπὶ
τοῦ στρατοπέδου, καὶ τὴν ἀνθύπατον ἀρχὴν ἔχοντα

2 τῆς τάξεως τοῦ γένους Turon. Suid. corr. Valesius cf. infra p. 287, 24 τὴν προυπάρχουσαν ἀξίωσιν, sed τῆς τε ἀξίας ἕνεκα c. Reiske 8 πλῆθος om. Suid. 15 ἡγεμόνα γενόμενον Suid. 17 ἄνευ σιδήρου Smit Obs. p. 62 del. 25 Φάβιον Σαυνιτῶν Turon. Φάβιον post Πέντρους Kiessling transposuit

πρὸς ⟨ταύτην⟩ τὴν μερίδα τῶν Σαυνιτῶν πολεμεῖν,
γράμματα πέμπων ἐκχωρεῖν ἐκ τῆς Σαυνίτιδος ἐκέλευ-
σεν, ὡς αὐτῷ μόνῳ τῆς ἡγεμονίας προσηκούσης. καὶ 5
πρὸς τοὺς ἀποσταλέντας ὑπὸ τῶν συνέδρων πρέσβεις
ἀξιοῦντας μὴ κωλύειν τὸν ἀνθύπατον ἐπὶ τοῦ στρα-
τοπέδου μένειν μηδ' ἀντιπράττειν τοῖς ἐψηφισμένοις
ὑφ' ἑαυτῶν, ὑπερηφάνους καὶ τυραννικὰς ἔδωκεν ἀπο-
κρίσεις, οὐ τὴν βουλὴν ἄρχειν ἑαυτοῦ φήσας, ἕως
ἐστὶν ὕπατος, ἀλλ' αὐτὸν τῆς βουλῆς. ἀπολύσας δὲ 6
τοὺς πρέσβεις ἐπὶ τὸν Φάβιον ἦγε τὴν στρατιάν, ὡς,
εἰ μὴ βούλοιτο ἑκὼν παραχωρεῖν τῆς ἀρχῆς, τοῖς ὅπλοις
προσαναγκάσων. καταλαβὼν δὲ τοῦτον Κομινίῳ πόλει
προσκαθήμενον ἐξεπίεσεν ἐκ τοῦ στρατοπέδου κατὰ
πολλὴν ὑπεροψίαν τῶν ἀρχαίων ἐθισμῶν καὶ δεινὴν
ὑπερηφανίαν. Φάβιος μὲν αὐτοῦ εἴξας τῇ μανίᾳ τῆς
ἡγεμονίας ἐξεχώρησεν. *Vales. et Suidas s. v.* Ποστόμιος.
2335 V. (16, 17) Ὅτι ὁ αὐτὸς Ποστόμιος πρῶτον μὲν
τὸ Κομίνιον ἐκ πολιορκίας παραλαμβάνει χρόνον οὐ
πολὺν ἐν ταῖς προσβολαῖς διατρίψας, ἔπειτα Οὐενου-
σίαν πολυάνθρωπον καὶ ἄλλας πόλεις πλείστας ὅσας,
ἐξ ὧν μύριοι μὲν ἐσφάγησαν, ἑξακισχίλιοι δὲ καὶ
διακόσιοι τὰ ὅπλα παρέδοσαν. ταῦτα διαπραξάμενος 2
οὐχ ὅπως χάριτος ἢ τιμῆς τινος ἠξιώθη παρὰ τῆς
βουλῆς, ἀλλὰ καὶ τὴν προυπάρχουσαν ἀξίωσιν ἀπ-
έβαλεν. ἀποστελλομένων γὰρ εἰς μίαν τῶν ἁλουσῶν
ὑπ' ἐκείνου πόλεων, τὴν καλουμένην Οὐενουσίαν,
δισμυρίων ἐποίκων ἕτεροι τῆς ἀποικίας ᾑρέθησαν ἡγε-

1 ταύτην add. Reiske 13 *ἐξέπλευσεν Turon. ἐξέκλεισεν Valesius ἐξήλασεν Reiske ἐξεπίεσεν, quae vox apud Polybium exstat, ego 15 Φάβιος μὲν οὖν aut καὶ Φάβιος μὲν Reiske

*μόνες· ὁ δὲ τὴν πόλιν ἐξελὼν καὶ τὴν γνώμην τῆς
ἀποστολῆς τῶν κληρούχων εἰσηγησάμενος οὐδὲ ταύτης*
3 *ἄξιος ἐφάνη τῆς τιμῆς.* (18) *Εἰ μὲν οὖν σώφρονι
λογισμῷ τὰ συμβάντα ἤνεγκε καὶ τὸ χαλεπὸν τοῦ
συνεδρίου λόγων τε καὶ ἔργων χρηστῶν θεραπείαις
ἐπράυνεν, οὐδεμιᾶς ⟨ἂν⟩ ἔτι συμφορᾶς εἰς ἀτιμίαν
φερούσης ἐπειράθη. νῦν δ' ἀγανακτῶν καὶ ἀντιχαλε-
παίνων τάς τ' ὠφελείας ἃς ἔλαβεν ἐκ τῶν πολεμίων* 2336
*ἁπάσας τοῖς στρατιώταις ἐχαρίσατο, καὶ πρὶν ἀποσταλῆ-
ναι τὸν διάδοχον τῆς ἀρχῆς ἀπέλυσεν ἀπὸ τῶν σημείων
τὰς δυνάμεις, καὶ τελευτῶν ὃν οὔτε ἡ βουλὴ ⟨οὔτε ὁ
δῆμος⟩ συνεχώρησεν αὐτῷ θρίαμβον ἀπὸ τῆς ἑαυτοῦ γνώ-*
4 *μης κατήγαγεν. ἐφ' οἷς ἅπασιν ἔτι μείζονος ἐξ ἁπάντων
μίσους ἐκκαυθέντος ἅμα τῷ παραδοῦναι τὴν ἀρχὴν τοῖς
μεθ' ἑαυτὸν ὑπάτοις εἰς δίκην ὑπάγεται δημοσίαν ὑπὸ
δυεῖν δημάρχων. καὶ κατηγορηθεὶς ἐν τῷ δήμῳ πάσαις
ταῖς φυλαῖς καταχρίνεται, τίμημα τῆς εἰσαγγελίας ἐχού-
σης χρηματικὸν πέντε μυριάδας ἀργυρίου. Vales.*

6 *ἂν* Kiessling addidit 11 *ὃν ἤτει βουλὴ συνεχώρησεν* Turon. *ὃν οὔτε β. σ.* Valesius *ὃν οὔτε ἡ β. οὔτε δῆμος συνεχώρησεν* cf. p. 286, 22 17 *ἔχουσαν* Turon. corr. Valesius

---

*Φερεντῖνος, πόλις Σαυνιτῶν ἐν Ἰταλίᾳ. τὸ ἐθνικὸν Φερεντανός. λέγεται καὶ Φερέντιοι, ὡς Διονύσιος ιζ' τῆς Ῥωμαικῆς ἀρχαιολογίας. Steph. Byz.*

*Μιλωνία, πόλις Σαυνιτῶν ἐπιφανεστάτη. Διονύσιος ιζ'. τὸ ἐθνικὸν Μιλωνιάτης. Steph. Byz.* (*Liv.* X, 3; 34.)

*Νηκούια, πόλις Ὀμβρικῶν. Διονύσιος ἑπτακαιδεκάτῳ Ῥωμαικῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Νηκουιάτης. Steph. Byz.* (*Liv.* X, 9.)

*Ναρνία, πόλις Σαυνιτῶν, ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ Νάρνου, ὡς Διονύσιος ὀκτωκαιδεκάτῳ Ῥωμαικῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Ναρνιάτης. Steph. Byz.* (*Liv.* X, 10.)

*Ὀκρίκολα, πόλις Τυρρηνῶν. Διονύσιος ὀκτωκαιδεκάτῳ Ῥωμαικῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Ὀκρικολανός, ὡς αὐτός φησιν. Steph. Byz.* (*Liv.* VIIII, 41.)

---

# EXCERPTA

## EX

## LIBRO XVIIII.

I. (17, 1) Ὅτι Κρότων πόλις ἐν Ἰταλίᾳ ἐστὶ καὶ Σύβαρις ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ οὕτως κληθεῖσα.

Ὅτε Λακεδαιμόνιοι Μεσσήνην ἐπολέμουν καὶ χῆρος 2
ἀνδρῶν ἡ πόλις ἦν, δεομέναις ταῖς γυναιξὶ καὶ μάλιστα ταῖς ἐν ἀκμῇ παρθένοις μὴ περιιδεῖν τὰς μὲν ἀγάμους, τὰς δὲ ἀτέκνους γινομένας ἐπέμποντό τινες ἀεὶ νέοι παραλλὰξ ἀπὸ τοῦ στρατοπέδου τῆς μίξεως τῶν γυναικῶν ἕνεκα καὶ συνῄεσαν, αἷς ἐπιτύχοιεν· ἐκ τούτων γίνονται τῶν ἀδιακρίτων ἐπιμιξιῶν παῖδες, οὓς ἀνδρωθέντας οἱ Λακεδαιμόνιοι προσεπηλάκιζον τά τε ἄλλα καὶ Παρθενίας προσηγόρευον. (2) Στάσεως δὲ γενο- 3
μένης ἡττηθέντες οἱ παρθενίαι ἀναχωροῦσιν ἑκόντες ἐκ τῆς πόλεως καὶ πέμψαντες εἰς Δελφοὺς χρησμὸν ἔλαβον πλεῖν εἰς Ἰταλίαν, ἐξευρόντας δὲ χωρίον τῆς

4 *Μεσσήνην*] cf. Dion. Hal. XX 4, 1 | *ἐπολέμουν*] cf. Zarnckii Litter. Univers. 1873, 898 Krebs Zur Rect. d. Casus I (1887) p. 11 und Zur Rect. d. Casus Progr. Regensb. 1885, 18 | *χῆρος* Ambr. Q *ἔρημος* Ambr. A 7 *γινομένας* Ambr. *γενομένας* c. Kiessling 11 *προσεπηλάκιζον*] cf. Jacoby Aar. Progr. p. 17

ἐστεφανωμένος ὥσπερ ἐκ συμποσίου, παιδίσκην περιειληφὼς αὐλητρίδα κωμαστικὰ μέλη προσαυλοῦσαν.
2 (14) Διαλυθείσης δὲ τῆς ἁπάντων σπουδῆς εἰς γέλωτα, καὶ τῶν μὲν ᾄδειν αὐτὸν κελευόντων, τῶν δὲ ὀρχεῖσθαι περιβλέψας κύκλῳ καὶ τῇ χειρὶ διασημήνας ἡσυχίαν αὐτῷ παρασχεῖν, ἐπειδὴ κατέστειλε τὸν θόρυβον· Ἄνδρες, ἔφη, πολῖται, τούτων, ὧν ἐμὲ ποιοῦντα ὁρᾶτε νῦν, οὐδὲν ὑμῖν ἐξέσται ποιεῖν, ἐὰν βασιλέα
3 καὶ φρουρὰν εἰς τὴν πόλιν εἰσελθεῖν ἐάσητε. ὡς δὲ κινουμένους καὶ προσέχοντας εἶδε πολλοὺς καὶ κελεύοντας λέγειν, σῴζων ἔτι τὸ προσποίημα τῆς κραιπάλης τὰ συμβησόμενα αὐτοῖς ἠριθμεῖτο κακά· ἔτι δὲ αὐτοῦ λέγοντος οἱ τῶν κακῶν αἴτιοι συλλαβόντες αὐτὸν κατὰ κεφαλῆς ἐξωθοῦσιν ἐκ τοῦ θεάτρου. *Ambr.*

VIIII. (17, 15) Βασιλεὺς Ἠπειρωτῶν Πύρρος, βασιλέως Αἰακίδου, Ποπλίῳ Οὐαλερίῳ τῷ Ῥωμαίων ὑπάτῳ χαίρειν. πεπύσθαι μὲν εἰκός σε παρ' ἑτέρων, ὅτι πάρειμι μετὰ τῆς δυνάμεως Ταραντίνοις τε καὶ τοῖς ἄλλοις Ἰταλιώταις ἐπικαλεσαμένοις βοηθήσων· καὶ μηδὲ ταῦτα ἀγνοεῖν, τίνων τε ἀνδρῶν ἀπόγονός εἰμι καὶ τίνας αὐτὸς ἀποδέδειγμαι πράξεις καὶ πόσην δύ-
2 ναμιν ἐπάγομαι καὶ ὡς τὰ πολέμια ἀγαθήν. οἰόμενος δή σε τούτων ἕκαστον ἐπιλογιζόμενον μὴ περιμένειν, ἕως ἔργῳ καὶ πείρᾳ μάθῃς τὴν κατὰ τοὺς ἀγῶνας

1 περιειληφὼς] παρειληφὼς Cobet Obs. p. 216 quo commodius puellula tibiis cantare possit!! 2 προσαυδοῦσαν Ambr. Maio teste προσᾴδουσαν Struve προσαυλοῦσαν c. Kiessling 12 ἠριθμεῖτε Ambr. corr. Maius 14 κατὰ κεφαλὴν O corr. Naber Mnem. 30, 260 15 Πύρρος υἱὸς βασιλέως c. Cobet Obs. p. 216 22 ἐπαγόμενος Ambr. ἐπάγομαι Struve | οἰόμενος δὴ Ambr. οἰόμενος δὲ Struve 23 περιμένειν Ambr. περιμενεῖν Struve 24 ἕως ἂν c. Kiessling; cf. Baumann de usu mod. p. 47

ἡμῶν ἀρετήν, ἀλλ' ἀποστάντα τῶν ὅπλων χωρεῖν ἐπὶ
τοὺς λόγους, συμβουλεύω τε σοι, περὶ ὧν ὁ Ῥωμαίων
δῆμος διαφέρεται πρὸς Ταραντίνους ἢ Λευκανοὺς ἢ
Σαυνίτας ἐμοὶ τὴν διάγνωσιν ἐπιτρέπειν — διαιτήσω
γὰρ ἀπὸ παντὸς τοῦ δικαίου τὰ διάφορα — καὶ παρ-
έξω τοὺς ἐμαυτοῦ φίλους ἁπάσας τὰς βλάβας ἀπο-
τίνοντας, ἃς ἂν αὐτῶν ἐγὼ καταγνῶ. (16) Ὀρθῶς δὲ 3
ποιήσετε καὶ ὑμεῖς βεβαιωτὰς παρασχόντες ὑπὲρ ὧν
ἂν ἐκείνων τινὲς ἐπικαλῶσιν, ὅτι τὰ κριθέντα ὑπ' ἐμοῦ
φυλάξετε κύρια. ταῦτα ποιοῦσι μὲν ὑμῖν εἰρήνην
ἐπαγγέλλομαι παρέξειν καὶ φίλος ἔσεσθαι καὶ ἐφ' οὓς
ἂν με παρακαλῆτε πολέμους προθύμως βοηθήσειν, μὴ 4
ποιοῦσι δ' οὐκ ἂν ἐπιτρέψαιμι χώραν συμμάχων ἀν-
δρῶν ἐξερημοῦν καὶ πόλεις Ἑλληνίδας ἀναρπάζειν καὶ
σώματα ἐλεύθερα λαφυροπωλεῖν, ἀλλὰ κωλύσω τοῖς
ὅπλοις, ἵνα παύσησθε ἤδη ποτὲ ἄγοντες καὶ φέροντες
ὅλην Ἰταλίαν καὶ πᾶσιν ἀνθρώποις ὡς δούλοις ἐντρυ-
φῶντες. ἐκδέξομαι δὲ τὰς σὰς ἀποκρίσεις μέχρι δεκά-
της ἡμέρας· περαιτέρω γὰρ οὐκ ἂν ἔτι δυναίμην. *Ambr.*

X. (17, 17) Πρὸς ταῦτα ὁ Ῥωμαίων ὕπατος ἀντι-
γράφει τήν τε αὐθάδειαν τοῦ ἀνδρὸς ἐπιρραπίζων
καὶ τὸ φρόνημα τῆς Ῥωμαίων πόλεως ἐνδεικνύμενος·
Πόπλιος Οὐαλέριος Λαβίνιος, στρατηγὸς ὕπατος Ῥω-
μαίων, βασιλεῖ Πύρρῳ χαίρειν. ἀνδρὸς ἔργον εἶναί 2

2 τε del. Struve. Totum verborum ambitum Kiesslingius sic constituendum esse censet: οἰόμενος δὴ — συμβουλεύω τε (διαιτήσω γὰρ — τὰ διάφορα) καὶ παρέξω 7 οὓς Ambr. ἃς Struve 8 ποιήσητε Ambr. corr. Struve cf. Baumann de usu mod. p. 70 11 ἐπαγγέλομεν Ambr. corr. Maius 12 παρακαλεῖτε Ambr. corr. Struve 14 διαρπάζειν c. Naber Mnem. 30, 260 17 καὶ δούλοις Ambr. ὡς δούλοις Maius

λωθέντες πρὸς τὰ χρέα Ῥωμαῖοι νόμῳ κυρωθέντι τὴν ἀρχαίαν ἐλευθερίαν ἐκομίσαντο. *Vales. et Suidas s. v.* Γάιος Λαιτώριος.

VI. (10) Ἀξιῶν τὴν βουλὴν ὑπὲρ τῶν ἀπόρων καὶ κατάχρεων.

Αἱ νεοσφαγεῖς τῶν θυομένων σάρκες μέχρι τούτου διατελοῦσι τρέμουσαί τε καὶ παλλόμεναι, ἕως ἂν τὸ κατεχόμενον ἐν αὐταῖς συγγενὲς πνεῦμα βιασάμενον
2 τοὺς πόρους ἅπαν ἐξαναλωθῇ. τοῦτο σεισμῶν αἴτιον γίνεται καὶ τῇ Ῥώμῃ· ἅπασα γὰρ ὑπόνομος οὖσα μεγάλαις καὶ συνεχέσι τάφροις, δι' ὧν ὀχετεύεται τὸ ὕδωρ, καὶ πολλὰς ἀναπνοὰς στομάτων ἔχουσα, διὰ τούτων ἀνίησι τὸ κατακλεισθὲν πνεῦμα ἐν αὐτῇ· καὶ τοῦτο ἔστιν, ὃ κραδαίνει τε αὐτὴν καὶ σπαράττει τὴν ἐπιφάνειαν, ὅταν πολὺ καὶ βίαιον ἐναπολημφθὲν εἴργηται. *Ambr.*

7 ἂν ἕως τὸ Ambr. corr. Struve, an τέως? cf. Aar. Progr. p. 13   9 τοιοῦτό τι σεισμῶν c. Struve   15 ἐναπολειφθὲν Ambr. corr. Struve

---

Φρέγελλα, πόλις Ἰταλίας, ἣ τὸ μὲν ἀρχαῖον ἦν Ὀπικῶν, ἔπειτα Οὐολούσκων ἐγένετο. τὸ ἐθνικὸν Φρεγελλανός, ὡς Διονύσιος ιϛʹ τῆς Ῥωμαικῆς ἀρχαιολογίας καὶ ἄλλοι πλεῖστοι. *Steph. Byz.* (*Liv.* VIII, 22.)

Μέντυρνα, πόλις ἐν Ἰταλίᾳ Σαυνιτῶν. Διονύσιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν Μεντυρναῖος. *Steph. Byz.* (*Liv.* VIIII, 25.)

Αἴκαλον, φρούριον τῆς Ἰταλίας. Διονύσιος ιϛʹ Ῥωμαικῆς ἀρχαιολογίας. *Steph. Byz.*

Ἰάποδες, ἔθνος Κελτικὸν πρὸς τῇ Ἰλλυρίᾳ. Διονύσιος ἑκκαιδεκάτῳ. *Steph. Byz.*

τιὰν πᾶσαν καὶ εἰς τάξιν καταστήσας, ὡς ἐπέδειξε τῷ κατασκόπῳ, φράζειν ἐκέλευσε πρὸς τὸν ἀποστείλαντα πᾶσαν τὴν ἀλήθειαν, καὶ πρὸς οἷς ἐθεάσατο λέγειν, ὅτι Λαβίνιος ὁ Ῥωμαίων ὕπατος αὐτὸν παρακαλεῖ μὴ λάθρα πέμπειν ἑτέρους ἔτι τοὺς κατασκεψομένους, ἀλλ' αὐτὸν ἐλθόντα φανερῶς ἰδεῖν τε καὶ μαθεῖν τὴν Ῥωμαίων δύναμιν. *Ambr.*

XII. (18, 2) Ἀνήρ τις Ὀβλάκος ὄνομα, Οὐλσίνιος ἐπίκλησιν, τοῦ Φερεντανῶν ἔθνους ἡγεμών, ὁρῶν τὸν Πύρρον οὐ μίαν ἔχοντα στάσιν, ἀλλὰ πᾶσι τοῖς μαχομένοις ὀξέως ἐπιφαινόμενον, προσεῖχεν ἐκείνῳ μόνῳ τὸν νοῦν, καὶ ὅποι παριππεύοι τὸν ἴδιον ἀντιπαρῆγεν ἵππον· καί τις ἰδὼν αὐτὸν τῶν μετὰ τοῦ βασιλέως, 2
Λεοννᾶτος Λεοφάντου Μακεδών, ὑποπτεύει τε καὶ δείξας τῷ Πύρρῳ λέγει· τοῦτον τὸν ἄνδρα φυλάττου, βασιλεῦ· πολεμιστὴς γὰρ ἄκρος καὶ οὐκ ἐφ' ἑνὸς ἑστηκὼς τόπου μάχεται, σὲ δὲ παρατηρεῖ καὶ τέτακεν ἐπὶ σοὶ τὸν νοῦν. (3) Τοῦ δὲ βασιλέως λέγοντος· τί δ' 3
ἄν με δράσειεν εἷς ὢν τοσούτους ἔχοντα περὶ ἐμαυτόν; καί τι καὶ νεανιευομένου περὶ τῆς ἑαυτοῦ ῥώμης, ὡς εἰ καὶ συνέλθοι πρὸς ἕνα μόνος οὐκ ἄπεισιν ὀπίσω χαίρων, λαβὼν ὃν ἀνέμενε καιρὸν ὁ Φερεντανὸς Ὀβλάκος ἐλαύνει σὺν τοῖς περὶ αὐτὸν εἰς μέσην τὴν βασιλικὴν ἴλην· διακόψας δὲ τὸ στίφος τῶν πέριξ ἱππέων ἐπ' αὐτὸν ἐφέρετο τὸν βασιλέα, διαλαβὼν ἀμφοτέραις

11 ἐπιφαινόμενον Ambr. Q ἐπιφερόμενον Ambr. A cf. Cobet Obs. p. 112 14 Λεοννᾶτος ego Λεοννάτος vulgo 20 νεανιευομένου Ambr. 24 post στίφος praebet Ambr. Q haec verba: διασκεδάσας φέρει τῷ κοντῷ, sed postea sunt oblitterata 25 ἀμφοτέρας τὰς χεῖρας Ambr. ἀμφοτέραις ταῖς χερσὶν Struve cf. D. H. XX 11, 2

4 *ταῖς χερσὶ τὸ δόρυ· κατὰ τὸν αὐτὸν δὲ χρόνον ὁ μὲν Λεοννᾶτος, ὁ προειπὼν τῷ Πύρρῳ φυλάττεσθαι τὸν ἄνδρα, μικρὸν ἐκνεύσας εἰς τὰ πλάγια τὸν ἵππον αὐτοῦ παίει τῷ ξυστῷ διὰ τῆς λαγόνος, ὁ δὲ Φερεντανὸς ἤδη καταφερόμενος τὸν τοῦ βασιλέως διὰ τοῦ στήθους ἐλαύνει, καὶ συγκαταπίπτουσι τοῖς ἵπποις*
5 *ἀμφότεροι.* (4) *Τὸν μὲν οὖν βασιλέα τῶν σωματοφυλάκων ὁ πιστότατος ἐπὶ τὸν ἴδιον ἵππον ἀναβιβάσας ἐξελαύνει, τὸν δὲ Ὀβλάκον μέχρι πολλοῦ διαγωνισάμενον, ἔπειτα ὑπὸ πλήθους τῶν τραυμάτων καταπονηθέντα, τῶν ἑταίρων τινὲς ἀράμενοι μεγάλου περὶ*
6 *τὸν νεκρὸν ἀγῶνος γενομένου διακομίζουσιν. ἐκ τότε δὲ ὁ βασιλεύς, ἵνα μὴ διάσημος εἴη τοῖς πολεμίοις, τὴν μὲν ἰδίαν χλαμύδα, ἣν ἐν ταῖς μάχαις εἰώθει φορεῖν, ἁλουργῆ τε οὖσαν καὶ χρυσόπαστον, καὶ τὸν ὁπλισμὸν πολυτελέστερον ὄντα τῶν ἄλλων τῆς τε ὕλης ἕνεκα καὶ τῆς τέχνης, τὸν πιστότατον τῶν ἑταίρων καὶ κατὰ τοὺς ἀγῶνας ἀνδρειότατον Μεγακλῆν ἐκέλευσεν ἐνδῦναι, τὴν δὲ φαιὰν ἐκείνου χλαμύδα καὶ τὸν θώρακα καὶ τὴν ἐπὶ τῇ κεφαλῇ καυσίαν αὐτὸς ἔλαβεν· ὅπερ αἴτιον αὐτῷ τῆς σωτηρίας ἔδοξε γενέσθαι. Ambr.*

XIIII. (18, 5) *Ὅτι Πύρρου τοῦ Ἠπειρωτῶν βασιλέως ἐπὶ τὴν Ῥώμην στρατιὰν ἐξαγαγόντος ἐβουλεύσαντο πρεσβευτὰς ἀποστεῖλαι τοὺς ἀξιώσοντας Πύρρον ἀπολυτρῶσαι σφίσι τοὺς αἰχμαλώτους εἴτ' ἀντιδιαλλα-*

12 *τὸ νεκρὸν* Ambr. teste Kiesslingio 13 *διασήμενος* Ambr. corr. Maius 16 *λυσιτελέστερον* Ambr. *πολυτελέστερον* Struve 17 *ἑτέρων* Ambr. corr. Struve 20 *τὴν κεφαλὴν* Ambr. corr. Struve 22 *τοῦ Ἠπειρώτου βασιλέως* libri *τ. Ἠπειρωτῶν β.* Sylburg *τῶν Ἠπειρωτῶν βασιλέως* c. Grasberger Philol. 28 (1869) 349 cf. Dion. Hal. XIX 9, 1 (17, 15)

ξάμενον ἑτέρων σωμάτων εἴτ᾽ ἀργύριον κατ᾽ ἄνδρα
ὁρίσαντα, καὶ ἀποδεικνύουσι πρέσβεις Γάιον Φαβρίκιον,
ὃς ἐνιαυτῷ τρίτῳ πρότερον ὑπατεύων Σαυνίτας καὶ
Λευκανοὺς καὶ Βρεττίους ἐνίκησε μεγάλαις μάχαις καὶ
τὴν Θουρίων πολιορκίαν ἔλυσε, καὶ Κόιντον Αἰμίλιον
τὸν συνάρξαντα τῷ Φαβρικίῳ καὶ τὴν ἡγεμονίαν τοῦ
Τυρρηνικοῦ πολέμου σχόντα, καὶ Πόπλιον Κορνήλιον,
ὃς ἐνιαυτῷ τετάρτῳ πρότερον ὑπατεύων Κελτῶν ἔθνος
ὅλον, τοὺς καλουμένους Σένωνας ἐχθίστους Ῥωμαίων
2345 ὄντας, πολεμῶν ἅπαντας ἡβηδὸν κατέσφαξεν. (6) Οὗτοι 2
πρὸς Πύρρον ἀφικόμενοι καὶ διαλεχθέντες, ὅσα τῇ
τοιαύτῃ χρείᾳ πρόσφορα ἦν, ὡς ἀτέκμαρτον πρᾶγμα
τύχη καὶ ταχεῖαι τῶν πολέμων αἱ τροπαὶ καὶ τῶν συμ-
βησομένων οὐδὲν ἀνθρώποις προειδέναι ῥᾴδιον, ἐπ᾽
ἐκείνῳ τὴν προαίρεσιν ἐποίουν, εἴτ᾽ ἀργύριον ἀντὶ
τῶν αἰχμαλώτων ἐβούλετο λαβεῖν εἴτε ἑτέρους αἰχμαλώ-
τους. (7) Πύρρος δὲ μετὰ τῶν φίλων βουλευσάμενος 3
ἀποκρίνεται τάδε αὐτοῖς·

Σχέτλιόν τι πρᾶγμα ποιεῖτε, ὦ ἄνδρες Ῥωμαῖοι,
φιλίαν μὲν οὐ βουλόμενοι συνάψαι πρὸς ἐμέ, τοὺς δὲ
ἁλόντας κατὰ πόλεμον ἀξιοῦντες ἀπολαβεῖν, ἵνα τοῖς
αὐτοῖς τούτοις σώμασιν εἰς τὸν κατ᾽ ἐμοῦ πόλεμον
ἔχητε χρῆσθαι. ἀλλ᾽ εἰ τὰ κράτιστα βουλεύεσθε πράτ- 4
τειν καὶ τὸ κοινῇ συμφέρον ἀμφοτέροις ἡμῖν σκοπεῖτε,
σπεισάμενοι τὸν πόλεμον τὸν πρὸς ἐμὲ καὶ τοὺς ἐμοὺς

2 *ἀποδείκνυσι* O corr. Reiske 9 *ὅλου* V | *Σένωνας* Ursinus *Νέωνας* V *Νέωννας* E *Γέωνας* MP cf. Cobet Obs. p. 216 10 *πολέμῳ κρατήσας ἅπαντας* c. Reiske 13 *πόλεων* O *πολέμων* Ursinus 15 *προαίρεσιν* O *αἵρεσιν* Stephanus cf. XIX 14, 3 (18, 9) et Götzeler Animadv. I 63 | *ἀργύριον αὐτῶν* O *ἀ. ἀντὶ* c. Ursinus 23 *ἔχοιτε* O *ἔχητε* Ursinus | *βουλεύεσθαι* O *βουλεύεσθε* Ursinus *βούλεσθε* Sylburg

*συμμάχους ἀπολάβετε τοὺς ἰδίους προῖκα παρ' ἐμοῦ* 2346
*πολίτας τε καὶ συμμάχους ἅπαντας· ἄλλως δ' οὐκ ἂν ὑπομείναιμι πολλοὺς καὶ ἀγαθοὺς ὑμῖν προέσθαι. Vrsin.*

XIIII. (18, 8) *Ταῦτα μὲν τῶν τριῶν πρεσβευτῶν παρόντων ἔλεξεν, ἰδίᾳ δὲ τὸν Φαβρίκιον ἀπολαβών· Ἐγὼ σέ, φησίν, ὦ Φαβρίκιε, πυνθάνομαι κράτιστον ἐν ἡγεμονίαις πολέμων εἶναι κἂν τῷ βίῳ δίκαιον καὶ σώφρονα καὶ τὰς ἄλλας ἁπάσας ἔχοντα ἀρετάς, χρημάτων δ' ἄπορον καὶ καθ' ἓν τὸ μέρος τοῦτο ἐλασσούμενον ὑπὸ τῆς τύχης, ὥστε μηδὲν ἄμεινον τῶν πενεστάτων βουλευτῶν ἐν τοῖς κατὰ τὸν βίον διατελεῖν.*
2 *τοῦτο δὴ τὸ μέρος ἐκπληρῶσαι προθυμούμενος ἕτοιμός εἰμι διδόναι σοὶ πλῆθος ἀργυρίου καὶ χρυσίου τοσοῦτον, ὅσον κτησάμενος ἅπαντας ὑπερβαλεῖς πλούτῳ τοὺς μάλιστα δοκοῦντας Ῥωμαίων εὐπορεῖν· καλὸν νομίσας*
*ἀνάλωμα καὶ πρέπον ἡγεμόνι τοὺς ἀγαθοὺς ἄνδρας* 2347
*ἀναξίως τῆς ἀρετῆς διὰ πενίαν πράττοντας εὐεργετεῖν καὶ βασιλικοῦ πλούτου τοῦτ' ἀνάθημα καὶ κατα-*
3 *σκεύασμα λαμπρότατον.* (9) *μαθὼν δὲ τὴν ἐμὴν προαίρεσιν, Φαβρίκιε, καὶ πᾶσαν ἀποθέμενος αἰδῶ μέτεχε τῶν παρ' ἡμῖν ὑπαρχόντων ἀγαθῶν, ὡς ἐμοῦ μέλλοντος εἴσεσθαι καὶ μεγάλην σοι χάριν, καὶ μὰ Δί' οὐκ ἐλάττω . . . . . . . . . καὶ ξένων τοὺς τιμιωτάτους εἶναι*

8 *ἀγαθοὺς ἄνδρας* c. Reiske   6 *σε*] *δὲ* V *ἐγὼ δὲ — πυνθάνομαί σε* Ursinus   7 *καὶ τῷ βίῳ* O *κἂν τῷ βίῳ* Struve   8 *τὰς ὅλας ἁπάσας* V | *χρημάτων τε* O *χρ. δ'* c. Sylburg   9 *ἐλασσόμενον* O corr. Sylburg   10 *μηδένα* V   11 *βουλευτῶν* del. Smit Obs. p. 63   20 *μέτασχε* EV *μήταχε* X *μέτεχε* Sylburg   22 *ἴσεται* EV *εἴσεται* X corr. Ursinus | lacunam Ursinus indicavit: *οὐκ ἐλάττων τῶν ἐμῶν φίλων καὶ ἀναγκαίων* vel *οὐκ ἐλάττω* (acc. plur.) *τῶν ἐμῶν φίλων φέρεσθαι καὶ ξένων ἐν τοῖς τιμιωτάτοις εἶναι νόμιζε* Reiske

νόμιζε. ἐμοὶ δ' ἀντὶ τούτων μήτ' ἄδικον μήτ' αἰσχρὰν
πρᾶξιν ὑπηρετήσῃς μηδεμίαν, ἀλλ' ἐξ ὧν αὐτὸς κρείτ-
των ἔσῃ καὶ τιμιώτερος ἐν τῇ σεαυτοῦ πατρίδι. καὶ 4
πρῶτον μὲν ἐπὶ τὰς διαλλαγάς, ὅση δύναμις ἐν σοί,
παρόρμησον τὴν ἄχρι τοῦδε δύσεριν καὶ οὐδὲν τῶν
μετρίων φρονοῦσαν βουλήν, διδάσκων, ὡς ⟨οὐκ⟩ ἐπὶ
2348 κακῷ τῆς πόλεως ὑμῶν ἀφῖγμαι Ταραντίνοις καὶ τοῖς
ἄλλοις Ἰταλιώταις ὑποσχόμενος βοηθήσειν, οὓς οὔτε
ὅσιον οὔτ' εὔσχημόν ἐστί μοι παρόντι μετὰ δυνάμεως
καὶ τὴν πρώτην νενικηκότι μάχην ἐγκαταλιπεῖν. καὶ
πάνυ πολλὰ καὶ ἀναγκαῖα πράγματα κατὰ τοῦτον γε-
νόμενα τὸν καιρὸν ἐπὶ τὴν ἰδίαν με ἀρχὴν μετακαλεῖ.
(10) πίστεις τε ὑπέχομαι πάσας, ὁπόσαι βεβαιοῦσιν 5
ἀνθρώπων ὁμολογίας, καὶ μόνῳ καὶ μετὰ τῶν ἄλλων
πρεσβευτῶν περὶ τῆς οἴκαδε ἀνακομιδῆς † εἶναι Ῥω-
2349 μαῖοι ποιήσαιντο φίλοι, ἵνα θαρρῶν πρὸς τοὺς σεαυτοῦ
πολίτας λέγῃς, εἰ δή τισι τὸ τῆς βασιλείας ὄνομα
ὕποπτόν ἐστιν ὡς ἀπατηλὸν ἐν ὁμολογίαις, ἐξ ὧν
ἕτεροί τινες ἐν ὅρκοις καὶ σπονδαῖς παρανομεῖν ἔδοξαν
ὅμοια καὶ περὶ ἐμοῦ τεκμαιρομένοις. γενομένης δὲ τῆς 6

2 ὑπηρετήσας X cf. Baumann Obs. de usu mod. p. 66 | αὐτὸς] αὐτῶν Hertlein Hermes X 421 αὐτός τε Kiessling 3 ἑαυτοῦ] σεαυτοῦ Hertlein l. l. 5 δύνεριν O δύσεριν Ursinus 6 οὐκ add. Reiske 7 ἡμῶν O ὑμῶν Sylburg | οὐκ v. 6 cum Reiske et Ταραντίνοις δὲ καὶ c. Hertlein Hermes X 422 8 οἷς O οὓς Sylburg 10 νενικηκόσι O corr. Ursinus | μάχην. ἐγκαταλιπεῖν δὲ καὶ X μάχην, ἐγκαταλιπεῖ δὲ καὶ EV textum Ursinus restituit 15 ἀνακομιδῆς εἶναι Ῥωμαῖοι ποιήσαιντο φίλοι, ἵνα O verba corrupta sunt; ἀ. εἶναι, ἐὰν Ῥ. ποιήσαιντο (sic) φιλίαν· ἵνα c. Reiske ἐὰν ποιήσωνται Krüger Ind. gr. gr. p. 263 ἀ. εἰ Ῥ. ποιήσονται φιλίαν, ἵνα Kiessling, alii aliud 16 ἑαυτοῦ O σεαυτοῦ Hertlein Hermes X 422 17 λέγεις O λέγῃς εἰ δέ τισι Ursinus λ. εἰ δή τισι Stephanus 20 τεκμαιρόμενος O corr. Sylburg

εἰρήνης ἴθι μετ' ἐμοῦ σύμβουλός τε ἁπάντων ἐσόμενος ἐμοὶ καὶ ὑποστράτηγος καὶ τῆς βασιλικῆς εὐτυχίας μέτοχος. ἐμοί τε γὰρ ἀνδρὸς ἀγαθοῦ καὶ πιστοῦ φίλου δεῖ, σοί τε χορηγίας βασιλικῆς καὶ πραγμάτων βασιλικῶν· ἐὰν δὴ συνενέγκωμεν ταῦτ' εἰς τὸ κοινόν, τὰ μέγιστα τῶν ἀγαθῶν παρ' ἀλλήλων ἀποισόμεθα. *Vrsin.*

XV. (18, 11) Παυσαμένου δ' αὐτοῦ μικρὸν ἐπισχὼν ὁ Φαβρίκιος εἶπε· Περὶ μὲν τῆς ἀρετῆς, ἥτις ἐστὶ περὶ ἡμᾶς ἢ κατὰ τὰς κοινὰς πράξεις ἢ κατὰ τὸν ἴδιον βίον, οὐδὲν ἐμὲ δεῖ ἐπ' ἐμαυτοῦ λέγειν, ἐπειδὴ 2350
πέπυσαι παρ' ἑτέρων· οὐδέ γε περὶ τῆς πενίας, ὅτι μοι γήδιον μικρόν ἐστι κομιδῇ καὶ φαῦλον οἰκίδιον καὶ οὔτ' ἀπὸ δανεισμάτων οὔτ' ἀπ' ἀνδραπόδων ὁ βίος· φαίνῃ γὰρ καὶ τούτων ἀκριβῶς ἀκηκοέναι παρ'
2 ἑτέρων. (12) Περὶ δὲ τοῦ κάκιόν με Ῥωμαίων τινὸς πράττειν δι' ἀπορίαν καὶ μηδὲν εἶναί μοι πλέον ἀσκοῦντι καλοκαγαθίαν, ὅτι τῶν πλουσίων οὐκ εἰμί, κακῶς ὑπείληφας, εἴτ' ἀκούσας τινὸς εἴτ' αὐτὸς εἰκάζων. ἐμοὶ γὰρ οὐδεμία πώποτε κακοδαιμονίας αἴσθησις παρὰ τὸ μὴ πολλὰ κεκτῆσθαι γέγονεν οὐδ' ἔστιν, οὐδ' ὠδυράμην τὴν ἐμαυτοῦ τύχην οὔτ' ἐν τοῖς
3 κοινοῖς πράγμασιν οὔτ' ἐν τοῖς ἰδίοις. (13) τί γὰρ καὶ παθὼν ἐγκαλοίην ἂν αὐτῇ; πότερον, ὅτι μοι τῶν καλῶν καὶ περιμαχήτων, ἐφ' οἷς ἅπασα φύσις ἐσπούδακεν εὐγενής, οὐδενὸς ἐξεγένετο παρὰ τῆς πατρίδος 2351
μεταλαβεῖν διὰ πενίαν; ὃς ἄρχω τε τὰς μεγίστας

14 τούτων] περὶ τούτων Sylburg τοῦτον sc. τὸν ἐμαυτοῦ βίον Reiske 16 πράττει O corr. Ursinus 20 παρὰ τῷ O corr. Sylburg 25 ἐξεγίνετο V 26 ὃς ἄρχω (ἄρχων M) τε καὶ μεγίστας ἀρχὰς πρεσβεύω (πρεσβεύων M) corr. Ursinus

ἀρχὰς καὶ πρεσβεύω τὰς ἐπιφανεστάτας πρεσβείας καὶ
σεβασμοὺς ἱερῶν πιστεύομαι τοὺς ἁγιωτάτους καὶ γνώ-
μην ἀγορεύειν ἀξιούμενος περὶ τῶν ἀναγκαιοτάτων
καλοῦμαι ἐν ᾧ προσήκει με τόπῳ, ἐπαινοῦμαί τε καὶ
ζηλοῦμαι καὶ οὐδενὸς δεύτερός εἰμι τῶν μέγιστα δυ-
ναμένων καὶ παράδειγμα τοῖς ἄλλοις εἶναι δοκῶ καλο-
καγαθίας, οὐδὲν ἐκ τῆς ἐμῆς οὐσίας εἰς ταῦτα δαπα-
νῶν, ὥσπερ οὐδὲ τῶν ἄλλων οὐδείς. (14) οὐ γὰρ 4
ἐνοχλεῖ τοῖς ἑκάστου βίοις ἡ πόλις ἡ Ῥωμαίων ὥσπερ
τινὲς ἕτεραι, ἐν αἷς ὁ κοινὸς μὲν πλοῦτος ὀλίγος ἐστίν,
ὁ δὲ τῶν ἰδιωτῶν πολύς, ἀλλ' αὐτὴ παρέχει τοῖς πρὸς
2352 τὰ κοινὰ προσιοῦσιν ἅπαντα, ὅσων δέονται, λαμπρὰς
καὶ μεγαλοπρεπεῖς ὑποτιθεῖσα χορηγίας· ὥστε μηδὲν
ἀτιμότερον εἶναι τὸν πενέστατον τοῦ πλουσιωτάτου
κατὰ τὴν ἐπαξίωσιν τῶν καλῶν, ἀλλὰ πάντας εἶναι
Ῥωμαίους, ὅσοι ἂν ὦσι διὰ καλοκαγαθίαν τούτων ἄξιοι
τῶν τιμῶν, ἀλλήλοις ἴσους. ὁπότε δὲ πενόμενος οὐ- 5
δὲν παρὰ τοῦτ' ἔλαττον ἔχω τῶν πολλὰ κεκτημένων,
τί παθὼν ἂν κατηγόρησα τῆς τύχης, ὅτι οὐχ ὑμῖν
<ὅμοιον ἐμὲ> ἐποίησε τοῖς βασιλεῦσιν, οἷς ὁ πολὺς θη-
σαυρίζεται χρυσός; ἀλλὰ μὴν ἕν γε τοῖς ἰδίοις τοσοῦ-
τον ἀπέχω κακοδαιμονίας, ὥστ' ἐν ὀλίγοις πάνυ τῶν

2 σεβασμίους O corr. Sylburg 4 ἐν ᾧ προσήκει μετώπῳ in edit. Ursini, με τόπῳ c. Sylburg, nihil de Boor adnotavit, μοι τόπῳ sine adnotatione Kiessling et ed. Paris. 5 δεύτερος εἰμὶ non modo Kiessling, sed etiam de Boor 9 ἐνοχλεῖ E ἐνοχλεῖν R 11 ὁ δὲ] οὐδὲ X 12 δέωνται X ὅσων ἂν δέωνται Kiessling 15 ἀπαξίωσιν EV ἐπαξίωσιν MP 17 ἀλλήλους O corr. Ursinus 19 κατηγόρηκα O κατηγόρησα Kiessling | *οὐχ ὑμῖν ἐποίησε O οὐχὶ ἴσους ὑμῖν ἐποίησε Ursinus οὐκ ἴσον ὑμῖν ἐποίησε vel οὐχ ὑμῖν ἐξίσωσε Sylburg quod Kiessling recepit; post ἴσον addit ἐμὲ Reiske οὐχ ὅμοιον ἐποίησε dubitanter de Boor οὐχ ὑμῖν ὅμοιον ἐμὲ ἐποίησε ego

ἐστεφανωμένος ὥσπερ ἐκ συμποσίου, παιδίσκην περι-
ειληφὼς αὐλητρίδα κωμαστικὰ μέλη προσαυλοῦσαν.
2 (14) Διαλυθείσης δὲ τῆς ἁπάντων σπουδῆς εἰς γέλωτα,
καὶ τῶν μὲν ᾄδειν αὐτὸν κελευόντων, τῶν δὲ ὀρχεῖ-
σθαι περιβλέψας κύκλῳ καὶ τῇ χειρὶ διασημήνας
ἡσυχίαν αὐτῷ παρασχεῖν, ἐπειδὴ κατέστειλε τὸν θόρυ-
βον· Ἄνδρες, ἔφη, πολῖται, τούτων, ὧν ἐμὲ ποιοῦντα
ὁρᾶτε νῦν, οὐδὲν ὑμῖν ἐξέσται ποιεῖν, ἐὰν βασιλέα
3 καὶ φρουρὰν εἰς τὴν πόλιν εἰσελθεῖν ἐάσητε. ὡς δὲ
κινουμένους καὶ προσέχοντας εἶδε πολλοὺς καὶ κε-
λεύοντας λέγειν, σῴζων ἔτι τὸ προσποίημα τῆς κραι-
πάλης τὰ συμβησόμενα αὐτοῖς ἠριθμεῖτο κακά· ἔτι δὲ
αὐτοῦ λέγοντος οἱ τῶν κακῶν αἴτιοι συλλαβόντες αὐτὸν
κατὰ κεφαλῆς ἐξωθοῦσιν ἐκ τοῦ θεάτρου. *Ambr.*

VIIII. (17, 15) Βασιλεὺς Ἠπειρωτῶν Πύρρος, βα-
σιλέως Αἰακίδου, Ποπλίῳ Οὐαλερίῳ τῷ Ῥωμαίων
ὑπάτῳ χαίρειν. πεπύσθαι μὲν εἰκός σε παρ' ἑτέρων,
ὅτι πάρειμι μετὰ τῆς δυνάμεως Ταραντίνοις τε καὶ
τοῖς ἄλλοις Ἰταλιώταις ἐπικαλεσαμένοις βοηθήσων· καὶ
μηδὲ ταῦτα ἀγνοεῖν, τίνων τε ἀνδρῶν ἀπόγονός εἰμι
καὶ τίνας αὐτὸς ἀποδέδειγμαι πράξεις καὶ πόσην δύ-
2 ναμιν ἐπάγομαι καὶ ὡς τὰ πολέμια ἀγαθήν. οἰόμενος
δή σε τούτων ἕκαστον ἐπιλογιζόμενον μὴ περιμένειν,
ἕως ἔργῳ καὶ πείρᾳ μάθῃς τὴν κατὰ τοὺς ἀγῶνας

1 περιειληφὼς] παρειληφὼς Cobet Obs. p. 216 quo commodius puellula tibiis cantare possit!! 2 προσαυδοῦσαν Ambr. Maio teste προσᾴδουσαν Struve προσαυλοῦσαν c. Kiessling 12 ἠριθμεῖτε Ambr. corr. Maius 14 κατὰ κεφαλὴν O corr. Naber Mnem. 30, 260 15 Πύρρος υἱὸς βασιλέως c. Cobet Obs. p. 216 22 ἐπαγόμενος Ambr. ἐπάγομαι Struve | οἰόμενος δὴ Ambr. οἰόμενος δὲ Struve 23 περιμένειν Ambr. περιμενεῖν Struve 24 ἕως ἂν c. Kiessling; cf. Baumann de usu mod. p. 47

ἡμῶν ἀρετήν, ἀλλ' ἀποστάντα τῶν ὅπλων χωρεῖν ἐπὶ
τοὺς λόγους, συμβουλεύω τε σοι, περὶ ὧν ὁ Ῥωμαίων
δῆμος διαφέρεται πρὸς Ταραντίνους ἢ Λευκανοὺς ἢ
Σαυνίτας ἐμοὶ τὴν διάγνωσιν ἐπιτρέπειν — διαιτήσω
γὰρ ἀπὸ παντὸς τοῦ δικαίου τὰ διάφορα — καὶ παρ-
έξω τοὺς ἐμαυτοῦ φίλους ἁπάσας τὰς βλάβας ἀπο-
τίνοντας, ἃς ἂν αὐτῶν ἐγὼ καταγνῶ. (16) Ὀρθῶς δὲ 3
ποιήσετε καὶ ὑμεῖς βεβαιωτὰς παρασχόντες ὑπὲρ ὧν
ἂν ἐκείνων τινὲς ἐπικαλῶσιν, ὅτι τὰ κριθέντα ὑπ' ἐμοῦ
φυλάξετε κύρια. ταῦτα ποιοῦσι μὲν ὑμῖν εἰρήνην
ἐπαγγέλλομαι παρέξειν καὶ φίλος ἔσεσθαι καὶ ἐφ' οὓς
ἂν με παρακαλῆτε πολέμους προθύμως βοηθήσειν, μὴ 4
ποιοῦσι δ' οὐκ ἂν ἐπιτρέψαιμι χώραν συμμάχων ἀν-
δρῶν ἐξερημοῦν καὶ πόλεις Ἑλληνίδας ἀναρπάζειν καὶ
σώματα ἐλεύθερα λαφυροπωλεῖν, ἀλλὰ κωλύσω τοῖς
ὅπλοις, ἵνα παύσησθε ἤδη ποτὲ ἄγοντες καὶ φέροντες
ὅλην Ἰταλίαν καὶ πᾶσιν ἀνθρώποις ὡς δούλοις ἐντρυ-
φῶντες. ἐκδέξομαι δὲ τὰς σὰς ἀποκρίσεις μέχρι δεκά-
της ἡμέρας· περαιτέρω γὰρ οὐκ ἂν ἔτι δυναίμην. *Ambr.*

X. (17, 17) Πρὸς ταῦτα ὁ Ῥωμαίων ὕπατος ἀντι-
γράφει τήν τε αὐθάδειαν τοῦ ἀνδρὸς ἐπιρραπίζων
καὶ τὸ φρόνημα τῆς Ῥωμαίων πόλεως ἐνδεικνύμενος·
Πόπλιος Οὐαλέριος Λαβίνιος, στρατηγὸς ὕπατος Ῥω-
μαίων, βασιλεῖ Πύρρῳ χαίρειν. ἀνδρὸς ἔργον εἶναί 2

2 τε del. Struve. Totum verborum ambitum Kiesslingius sic constituendum esse censet: οἰόμενος δὴ — συμβουλεύω τε (διαιτήσω γὰρ — τὰ διάφορα) καὶ παρέξω 7 οὓς Ambr. ἃς Struve 8 ποιήσητε Ambr. corr. Struve cf. Baumann de usu mod. p. 70 11 ἐπαγγέλομεν Ambr. corr. Maius 12 παρακαλεῖτε Ambr. corr. Struve 14 διαρπάζειν c. Naber Mnem. 30, 260 17 καὶ δούλοις Ambr. ὡς δούλοις Maius

μοι δοκεῖ σώφρονος ἀπειλητικὰς πέμπειν ἐπιστολὰς
πρὸς τοὺς ὑπηκόους· ὧν δ' οὔτε τὴν δύναμιν ἐξήτακεν
οὔτε τὰς ἀρετὰς ἐπέγνωκε, τούτων ὡς φαύλων καὶ
μηδενὸς ἀξίων καταφρονεῖν, ἀνοήτου μοι φαίνεται
τρόπου τεκμήριον εἶναι καὶ τὸ διάφορον οὐκ ἐπιστα-
3 μένου. ἡμεῖς δὲ οὐ τοῖς λόγοις τιμωρεῖσθαι τοὺς
ἐχθροὺς εἰώθαμεν, ἀλλὰ τοῖς ἔργοις, καὶ οὔτε δι-
καστὴν ποιούμεθά σε περὶ ὧν Ταραντίνοις ἢ Σαυνί-
ταις ἢ τοῖς ἄλλοις πολεμίοις ἐγκαλοῦμεν οὔτ' ἐγγυητὴν
λαμβάνομεν ἐκτίσματος οὐδενός, ἀλλὰ τοῖς ἡμῶν αὐ-
τῶν ὅπλοις τὸν ἀγῶνα κρινοῦμεν καὶ τὰς τιμωρίας,
ὡς ἂν αὐτοὶ θέλωμεν, ἀναπράξομεν. ταῦτα δὴ προ-
ειδὼς ἀνταγωνιστὴν ἡμῖν παρασκεύαζε σαυτόν, ἀλλὰ
4 μὴ δικαστήν. (18) Καὶ περὶ ὧν ἡμᾶς αὐτὸς ἀδικεῖς
οὕστινας ἐγγυητὰς ἐκτισμάτων παρέξεις σκόπει· μὴ
Ταραντίνους ἀναδέχου μηδὲ τοὺς πολεμίους τὰ δίκαια
ὑφέξειν. εἰ δ' ἐκ παντὸς τρόπου πόλεμον αἱρέσθαι
πρὸς ἡμᾶς διέγνωκας, ἴσθι σοι ταὐτὸ συμβησόμενον,
ὃ πᾶσι συμβαίνειν ἀνάγκη τοῖς μάχεσθαι βουλομένοις,
5 πρὶν ἐξετάσαι πρὸς οὓς ποιήσονται τὴν μάχην. ταῦτα
ἐνθυμούμενος, εἴ τινος δέῃ τῶν ἡμετέρων, ἀποθέμενος
τὰς ἀπειλὰς καὶ τὸ βασιλικὸν αὔχημα καταβαλὼν ἴθι
πρὸς τὴν βουλὴν καὶ δίδασκε καὶ πεῖθε τοὺς συν-
έδρους, ὡς οὐδενὸς ἀτυχήσων οὔτε τῶν δικαίων οὔτε
τῶν εὐγνωμόνων. *Ambr.*

XI. (18, 1) *Λαβίνιος* ὁ Ῥωμαίων ὕπατος κατά-
σκοπον τοῦ *Πύρρου* συλλαβὼν καθοπλίσας τὴν στρα-

16 τοὺς ἄλλους πολεμίους c. Kiessling dubitanter 17 *αἱρεῖσθαι Ambr. αἱρέσθαι ego cf. Obs. crit. p. 318 18 τοῦτο Ambr. ταὐτὸ Struve 27 καὶ ante καθοπλίσας Ambr. A om. Ambr. Q del. etiam Struve

*τιὰν πᾶσαν καὶ εἰς τάξιν καταστήσας, ὡς ἐπέδειξε τῷ κατασκόπῳ, φράζειν ἐκέλευσε πρὸς τὸν ἀποστείλαντα πᾶσαν τὴν ἀλήθειαν, καὶ πρὸς οἷς ἐθεάσατο λέγειν, ὅτι Λαβίνιος ὁ Ῥωμαίων ὕπατος αὐτὸν παρακαλεῖ μὴ λάθρα πέμπειν ἑτέρους ἔτι τοὺς κατασκεψομένους, ἀλλ' αὐτὸν ἐλθόντα φανερῶς ἰδεῖν τε καὶ μαθεῖν τὴν Ῥωμαίων δύναμιν. Ambr.*

XII. (18, 2) *Ἀνήρ τις Ὀβλάκος ὄνομα, Οὐλσίνιος ἐπίκλησιν, τοῦ Φερεντανῶν ἔθνους ἡγεμών, ὁρῶν τὸν Πύρρον οὐ μίαν ἔχοντα στάσιν, ἀλλὰ πᾶσι τοῖς μαχομένοις ὀξέως ἐπιφαινόμενον, προσεῖχεν ἐκείνῳ μόνῳ τὸν νοῦν, καὶ ὅποι παριππεύοι τὸν ἴδιον ἀντιπαρῆγεν*
*ἵππον· καί τις ἰδὼν αὐτὸν τῶν μετὰ τοῦ βασιλέως,* 2
*Λεοννᾶτος Λεοφάντου Μακεδών, ὑποπτεύει τε καὶ δείξας τῷ Πύρρῳ λέγει· τοῦτον τὸν ἄνδρα φυλάττου, βασιλεῦ· πολεμιστὴς γὰρ ἄκρος καὶ οὐκ ἐφ' ἑνὸς ἑστηκὼς τόπου μάχεται, σὲ δὲ παρατηρεῖ καὶ τέτακεν ἐπὶ*
*σοὶ τὸν νοῦν.* (3) *Τοῦ δὲ βασιλέως λέγοντος· τί δ'* 3
*ἄν με δράσειεν εἷς ὢν τοσούτους ἔχοντα περὶ ἐμαυτόν; καί τι καὶ νεανιευομένου περὶ τῆς ἑαυτοῦ ῥώμης, ὡς εἰ καὶ συνέλθοι πρὸς ἕνα μόνος οὐκ ἄπεισιν ὀπίσω χαίρων, λαβὼν ὃν ἀνέμενε καιρὸν ὁ Φερεντανὸς Ὀβλάκος ἐλαύνει σὺν τοῖς περὶ αὐτὸν εἰς μέσην τὴν βασιλικὴν ἴλην· διακόψας δὲ τὸ στίφος τῶν πέριξ ἱππέων ἐπ' αὐτὸν ἐφέρετο τὸν βασιλέα, διαλαβὼν ἀμφοτέραις*

11 *ἐπιφαινόμενον* Ambr. Q *ἐπιφερόμενον* Ambr. A cf. Cobet Obs. p. 112 14 *Λεοννᾶτος* ego *Λεοννάτος* vulgo 20 *νεανιευομένου* Ambr. 24 post *στίφος* praebet Ambr. Q haec verba: *διασκεδάσας φέρει τῷ κοντῷ*, sed postea sunt oblitterata 25 *ἀμφοτέρας τὰς χεῖρας* Ambr. *ἀμφοτέραις ταῖς χερσὶν* Struve cf. D. H. XX 11, 2

4 ταῖς χερσὶ τὸ δόρυ· κατὰ τὸν αὐτὸν δὲ χρόνον ὁ μὲν
Λεοννᾶτος, ὁ προειπὼν τῷ Πύρρῳ φυλάττεσθαι τὸν
ἄνδρα, μικρὸν ἐκνεύσας εἰς τὰ πλάγια τὸν ἵππον
αὐτοῦ παίει τῷ ξυστῷ διὰ τῆς λαγόνος, ὁ δὲ Φερεν-
τανὸς ἤδη καταφερόμενος τὸν τοῦ βασιλέως διὰ τοῦ
στήθους ἐλαύνει, καὶ συγκαταπίπτουσι τοῖς ἵπποις
5 ἀμφότεροι. (4) Τὸν μὲν οὖν βασιλέα τῶν σωματο-
φυλάκων ὁ πιστότατος ἐπὶ τὸν ἴδιον ἵππον ἀναβιβά-
σας ἐξελαύνει, τὸν δὲ Ὀβλάκον μέχρι πολλοῦ διαγωνι-
σάμενον, ἔπειτα ὑπὸ πλήθους τῶν τραυμάτων κατα-
πονηθέντα, τῶν ἑταίρων τινὲς ἀράμενοι μεγάλου περὶ
6 τὸν νεκρὸν ἀγῶνος γενομένου διακομίζουσιν. ἐκ τότε
δὲ ὁ βασιλεύς, ἵνα μὴ διάσημος εἴη τοῖς πολεμίοις,
τὴν μὲν ἰδίαν χλαμύδα, ἣν ἐν ταῖς μάχαις εἰώθει
φορεῖν, ἁλουργῆ τε οὖσαν καὶ χρυσόπαστον, καὶ τὸν
ὁπλισμὸν πολυτελέστερον ὄντα τῶν ἄλλων τῆς τε ὕλης
ἕνεκα καὶ τῆς τέχνης, τὸν πιστότατον τῶν ἑταίρων καὶ
κατὰ τοὺς ἀγῶνας ἀνδρειότατον Μεγακλῆν ἐκέλευσεν
ἐνδῦναι, τὴν δὲ φαιὰν ἐκείνου χλαμύδα καὶ τὸν θώ-
ρακα καὶ τὴν ἐπὶ τῇ κεφαλῇ καυσίαν αὐτὸς ἔλαβεν·
ὅπερ αἴτιον αὐτῷ τῆς σωτηρίας ἔδοξε γενέσθαι. *Ambr.*

XIIII. (18, 5) Ὅτι Πύρρου τοῦ Ἠπειρωτῶν βασι-
λέως ἐπὶ τὴν Ῥώμην στρατιὰν ἐξαγαγόντος ἐβουλεύ-
σαντο πρεσβευτὰς ἀποστεῖλαι τοὺς ἀξιώσοντας Πύρρον
ἀπολυτρῶσαι σφίσι τοὺς αἰχμαλώτους εἴτ᾽ ἀντιδιαλλα-

12 *τὸ νεκρὸν* Ambr. teste Kiesslingio 13 *διασήμενος* Ambr. corr. Maius 16 *λυσιτελέστερον* Ambr. *πολυτελέστερον* Struve 17 *ἑτέρων* Ambr. corr. Struve 20 *τὴν κεφαλὴν* Ambr. corr. Struve 22 *τοῦ Ἠπειρώτου βασιλέως* libri *τ. Ἠπειρωτῶν β.* Sylburg *τῶν Ἠπειρωτῶν βασιλέως* c. Grasberger Philol. 28 (1869) 349 cf. Dion. Hal. XIX 9, 1 (17, 15)

ξάμενον ἑτέρων σωμάτων εἴτ' ἀργύριον κατ' ἄνδρα
ὁρίσαντα, καὶ ἀποδεικνύουσι πρέσβεις Γάιον Φαβρίκιον,
ὃς ἐνιαυτῷ τρίτῳ πρότερον ὑπατεύων Σαυνίτας καὶ
Λευκανοὺς καὶ Βρεττίους ἐνίκησε μεγάλαις μάχαις καὶ
τὴν Θουρίων πολιορκίαν ἔλυσε, καὶ Κόιντον Αἰμίλιον
τὸν συνάρξαντα τῷ Φαβρικίῳ καὶ τὴν ἡγεμονίαν τοῦ
Τυρρηνικοῦ πολέμου σχόντα, καὶ Πόπλιον Κορνήλιον,
ὃς ἐνιαυτῷ τετάρτῳ πρότερον ὑπατεύων Κελτῶν ἔθνος
ὅλον, τοὺς καλουμένους Σένωνας ἐχθίστους Ῥωμαίων
2345 ὄντας, πολεμῶν ἅπαντας ἡβηδὸν κατέσφαξεν. (6) Οὗτοι 2
πρὸς Πύρρον ἀφικόμενοι καὶ διαλεχθέντες, ὅσα τῇ
τοιαύτῃ χρείᾳ πρόσφορα ἦν, ὡς ἀτέκμαρτον πρᾶγμα
τύχη καὶ ταχεῖαι τῶν πολέμων αἱ τροπαὶ καὶ τῶν συμ-
βησομένων οὐδὲν ἀνθρώποις προειδέναι ῥᾴδιον, ἐπ'
ἐκείνῳ τὴν προαίρεσιν ἐποίουν, εἴτ' ἀργύριον ἀντὶ
τῶν αἰχμαλώτων ἐβούλετο λαβεῖν εἴτε ἑτέρους αἰχμαλώ-
τους. (7) Πύρρος δὲ μετὰ τῶν φίλων βουλευσάμενος 3
ἀποκρίνεται τάδε αὐτοῖς·

Σχέτλιόν τι πρᾶγμα ποιεῖτε, ὦ ἄνδρες Ῥωμαῖοι,
φιλίαν μὲν οὐ βουλόμενοι συνάψαι πρὸς ἐμέ, τοὺς δὲ
ἁλόντας κατὰ πόλεμον ἀξιοῦντες ἀπολαβεῖν, ἵνα τοῖς
αὐτοῖς τούτοις σώμασιν εἰς τὸν κατ' ἐμοῦ πόλεμον
ἔχητε χρῆσθαι. ἀλλ' εἰ τὰ κράτιστα βουλεύεσθε πράτ- 4
τειν καὶ τὸ κοινῇ συμφέρον ἀμφοτέροις ἡμῖν σκοπεῖτε,
σπεισάμενοι τὸν πόλεμον τὸν πρὸς ἐμὲ καὶ τοὺς ἐμοὺς

2 ἀποδείκνυσι O corr. Reiske 9 ὅλον V | Σένωνας Ursinus Νέωνας V Νέωννας E Γέωνας MP cf. Cobet Obs. p. 216 10 πολέμῳ κρατήσας ἅπαντας c. Reiske 13 πόλεων O πολέμων Ursinus 15 προαίρεσιν O αἵρεσιν Stephanus cf. XIX 14, 3 (18, 9) et Götzeler Animadv. I 63 | ἀργύριον αὐτῶν O ἀ. ἀντὶ c. Ursinus 23 ἔχοιτε O ἔχητε Ursinus | βουλεύεσθαι O βουλεύεσθε Ursinus βούλεσθε Sylburg

*συμμάχους ἀπολάβετε τοὺς ἰδίους προῖκα παρ' ἐμοῦ* 2346
*πολίτας τε καὶ συμμάχους ἅπαντας· ἄλλως δ' οὐκ ἂν*
*ὑπομείναιμι πολλοὺς καὶ ἀγαθοὺς ὑμῖν προέσθαι. Vrsin.*

XIIII. (18, 8) *Ταῦτα μὲν τῶν τριῶν πρεσβευτῶν*
*παρόντων ἔλεξεν, ἰδίᾳ δὲ τὸν Φαβρίκιον ἀπολαβών·*
*Ἐγὼ σέ, φησίν, ὦ Φαβρίκιε, πυνθάνομαι κράτιστον ἐν*
*ἡγεμονίαις πολέμων εἶναι κἂν τῷ βίῳ δίκαιον καὶ*
*σώφρονα καὶ τὰς ἄλλας ἁπάσας ἔχοντα ἀρετάς, χρημά-*
*των δ' ἄπορον καὶ καθ' ἓν τὸ μέρος τοῦτο ἐλασσού-*
*μενον ὑπὸ τῆς τύχης, ὥστε μηδὲν ἄμεινον τῶν πενε-*
*στάτων βουλευτῶν ἐν τοῖς κατὰ τὸν βίον διατελεῖν.*
2 *τοῦτο δὴ τὸ μέρος ἐκπληρῶσαι προθυμούμενος ἕτοιμός*
*εἰμι διδόναι σοὶ πλῆθος ἀργυρίου καὶ χρυσίου τοσοῦ-*
*τον, ὅσον κτησάμενος ἅπαντας ὑπερβαλεῖς πλούτῳ τοὺς*
*μάλιστα δοκοῦντας Ῥωμαίων εὐπορεῖν· καλὸν νομίσας*
*ἀνάλωμα καὶ πρέπον ἡγεμόνι τοὺς ἀγαθοὺς ἄνδρας* 2347
*ἀναξίως τῆς ἀρετῆς διὰ πενίαν πράττοντας εὐεργετεῖν*
*καὶ βασιλικοῦ πλούτου τοῦτ' ἀνάθημα καὶ κατα-*
3 *σκεύασμα λαμπρότατον.* (9) *μαθὼν δὲ τὴν ἐμὴν προ-*
*αίρεσιν, Φαβρίκιε, καὶ πᾶσαν ἀποθέμενος αἰδῶ μέτεχε*
*τῶν παρ' ἡμῖν ὑπαρχόντων ἀγαθῶν, ὡς ἐμοῦ μέλλον-*
*τος εἴσεσθαι καὶ μεγάλην σοι χάριν, καὶ μὰ Δί' οὐκ*
*ἐλάττω ......... καὶ ξένων τοὺς τιμιωτάτους εἶναι*

8 *ἀγαθοὺς ἄνδρας* c. Reiske 6 *σε*] *δὲ* V *ἐγὼ δὲ — πυνθάνομαί σε* Ursinus 7 *καὶ τῷ βίῳ* O *κἂν τῷ βίῳ* Struve 8 *τὰς ὅλας ἁπάσας* V | *χρημάτων τε* O *χρ. δ'* c. Sylburg 9 *ἐλασσόμενον* O corr. Sylburg 10 *μηδένα* V 11 *βουλευτῶν* del. Smit Obs. p. 63 20 *μέτασχε* EV *μήταχε* X *μέτεχε* Sylburg 22 *ἴσεται* EV *εἴσεται* X corr. Ursinus | lacunam Ursinus indicavit: *οὐκ ἐλάττων τῶν ἐμῶν φίλων καὶ ἀναγκαίων* vel *οὐκ ἐλάττω* (acc. plur.) *τῶν ἐμῶν φίλων φέρεσθαι καὶ ξένων ἐν τοῖς τιμιωτάτοις εἶναι νόμιζε* Reiske

νόμιζε. ἐμοὶ δ' ἀντὶ τούτων μήτ' ἄδικον μήτ' αἰσχρὰν πρᾶξιν ὑπηρετήσῃς μηδεμίαν, ἀλλ' ἐξ ὧν αὐτὸς κρείττων ἔσῃ καὶ τιμιώτερος ἐν τῇ σεαυτοῦ πατρίδι. καὶ 4
πρῶτον μὲν ἐπὶ τὰς διαλλαγάς, ὅση δύναμις ἐν σοί, παρόρμησον τὴν ἄχρι τοῦδε δύσεριν καὶ οὐδὲν τῶν μετρίων φρονοῦσαν βουλήν, διδάσκων, ὡς ⟨οὐκ⟩ ἐπὶ
2348 κακῷ τῆς πόλεως ὑμῶν ἀφῖγμαι Ταραντίνοις καὶ τοῖς ἄλλοις Ἰταλιώταις ὑποσχόμενος βοηθήσειν, οὓς οὔτε ὅσιον οὔτ' εὔσχημόν ἐστί μοι παρόντι μετὰ δυνάμεως καὶ τὴν πρώτην νενικηκότι μάχην ἐγκαταλιπεῖν. καὶ πάνυ πολλὰ καὶ ἀναγκαῖα πράγματα κατὰ τοῦτον γενόμενα τὸν καιρὸν ἐπὶ τὴν ἰδίαν με ἀρχὴν μετακαλεῖ.
(10) πίστεις τε ὑπέχομαι πάσας, ὁπόσαι βεβαιοῦσιν 5
ἀνθρώπων ὁμολογίας, καὶ μόνῳ καὶ μετὰ τῶν ἄλλων πρεσβευτῶν περὶ τῆς οἴκαδε ἀνακομιδῆς † εἶναι Ῥω-
2349 μαῖοι ποιήσαιντο φίλοι, ἵνα θαρρῶν πρὸς τοὺς σεαυτοῦ πολίτας λέγῃς, εἰ δή τισι τὸ τῆς βασιλείας ὄνομα ὕποπτόν ἐστιν ὡς ἀπατηλὸν ἐν ὁμολογίαις, ἐξ ὧν ἕτεροί τινες ἐν ὅρκοις καὶ σπονδαῖς παρανομεῖν ἔδοξαν ὅμοια καὶ περὶ ἐμοῦ τεκμαιρομένοις. γενομένης δὲ τῆς 6

2 ὑπηρετήσας X cf. Baumann Obs. de usu mod. p. 66 | αὐτὸς] αὐτῶν Hertlein Hermes X 421 αὐτός τε Kiessling 3 ἑαυτοῦ] σεαυτοῦ Hertlein l. l. 5 δύνεριν O δύσεριν Ursinus 6 οὐκ add. Reiske 7 ἡμῶν O ὑμῶν Sylburg | οὐκ v. 6 cum Reiske et Ταραντίνοις δὲ καὶ c. Hertlein Hermes X 422 8 οἷς O οὓς Sylburg 10 νενικηκόσι O corr. Ursinus | μάχην. ἐγκαταλιπεῖν δὲ καὶ X μάχην, ἐγκαταλιπεῖ δὲ καὶ EV textum Ursinus restituit 15 ἀνακομιδῆς εἶναι Ῥωμαῖοι ποιήσαιντο φίλοι, ἵνα O verba corrupta sunt; ἀ. εἶναι, ἐὰν Ῥ. ποιήσαιντο (sic) φιλίαν· ἵνα c. Reiske ἐὰν ποιήσωνται Krüger Ind. gr. gr. p. 263 ἀ. εἰ Ῥ. ποιήσονται φιλίαν, ἵνα Kiessling, alii aliud 16 ἑαυτοῦ O σεαυτοῦ Hertlein Hermes X 422 17 λέγεις O λέγῃς εἰ δέ τισι Ursinus λ. εἰ δή τισι Stephanus 20 τεκμαιρόμενος O corr. Sylburg

εἰρήνης ἴθι μετ' ἐμοῦ σύμβουλός τε ἁπάντων ἐσόμενος
ἐμοὶ καὶ ὑποστράτηγος καὶ τῆς βασιλικῆς εὐτυχίας
μέτοχος. ἐμοί τε γὰρ ἀνδρὸς ἀγαθοῦ καὶ πιστοῦ φίλου
δεῖ, σοί τε χορηγίας βασιλικῆς καὶ πραγμάτων βασι-
λικῶν· ἐὰν δὴ συνενέγκωμεν ταῦτ' εἰς τὸ κοινόν, τὰ
μέγιστα τῶν ἀγαθῶν παρ' ἀλλήλων ἀποισόμεθα. *Vrsin.*

XV. (18, 11) Παυσαμένου δ' αὐτοῦ μικρὸν ἐπι-
σχὼν ὁ Φαβρίκιος εἶπε· Περὶ μὲν τῆς ἀρετῆς, ἥτις
ἐστὶ περὶ ἡμᾶς ἢ κατὰ τὰς κοινὰς πράξεις ἢ κατὰ τὸν
ἴδιον βίον, οὐδὲν ἐμὲ δεῖ ἐπ' ἐμαυτοῦ λέγειν, ἐπειδὴ 2350
πέπυσαι παρ' ἑτέρων· οὐδέ γε περὶ τῆς πενίας, ὅτι
μοι γήδιον μικρόν ἐστι κομιδῇ καὶ φαῦλον οἰκίδιον
καὶ οὔτ' ἀπὸ δανεισμάτων οὔτ' ἀπ' ἀνδραπόδων ὁ
βίος· φαίνῃ γὰρ καὶ τούτων ἀκριβῶς ἀκηκοέναι παρ'
2 ἑτέρων. (12) Περὶ δὲ τοῦ κάκιόν με Ῥωμαίων τινὸς
πράττειν δι' ἀπορίαν καὶ μηδὲν εἶναί μοι πλέον
ἀσκοῦντι καλοκαγαθίαν, ὅτι τῶν πλουσίων οὐκ εἰμί,
κακῶς ὑπείληφας, εἴτ' ἀκούσας τινὸς εἴτ' αὐτὸς εἰ-
κάζων. ἐμοὶ γὰρ οὐδεμία πώποτε κακοδαιμονίας αἴ-
σθησις παρὰ τὸ μὴ πολλὰ κεκτῆσθαι γέγονεν οὐδ'
ἔστιν, οὐδ' ὠδυράμην τὴν ἐμαυτοῦ τύχην οὔτ' ἐν τοῖς
3 κοινοῖς πράγμασιν οὔτ' ἐν τοῖς ἰδίοις. (13) τί γὰρ
καὶ παθὼν ἐγκαλοίην ἂν αὐτῇ; πότερον, ὅτι μοι τῶν
καλῶν καὶ περιμαχήτων, ἐφ' οἷς ἅπασα φύσις ἐσπού-
δακεν εὐγενής, οὐδενὸς ἐξεγένετο παρὰ τῆς πατρίδος 2351
μεταλαβεῖν διὰ πενίαν; ὃς ἄρχω τε τὰς μεγίστας

14 τούτων] περὶ τούτων Sylburg τοῦτον sc. τὸν ἐμαυτοῦ βίον Reiske 16 πράττει O corr. Ursinus 20 παρὰ τῷ O corr. Sylburg 25 ἐξεγίνετο V 26 ὃς ἄρχω (ἄρχων M) τε καὶ μεγίστας ἀρχὰς πρεσβεύω (πρεσβεύων M) corr. Ursinus

ἀρχὰς καὶ πρεσβεύω τὰς ἐπιφανεστάτας πρεσβείας καὶ
σεβασμοὺς ἱερῶν πιστεύομαι τοὺς ἁγιωτάτους καὶ γνώ-
μην ἀγορεύειν ἀξιούμενος περὶ τῶν ἀναγκαιοτάτων
καλοῦμαι ἐν ᾧ προσήκει με τόπῳ, ἐπαινοῦμαί τε καὶ
ζηλοῦμαι καὶ οὐδενὸς δεύτερός εἰμι τῶν μέγιστα δυ-
ναμένων καὶ παράδειγμα τοῖς ἄλλοις εἶναι δοκῶ καλο-
καγαθίας, οὐδὲν ἐκ τῆς ἐμῆς οὐσίας εἰς ταῦτα δαπα-
νῶν, ὥσπερ οὐδὲ τῶν ἄλλων οὐδείς. (14) οὐ γὰρ 4
ἐνοχλεῖ τοῖς ἑκάστου βίοις ἡ πόλις ἡ Ῥωμαίων ὥσπερ
τινὲς ἕτεραι, ἐν αἷς ὁ κοινὸς μὲν πλοῦτος ὀλίγος ἐστίν,
ὁ δὲ τῶν ἰδιωτῶν πολύς, ἀλλ' αὐτὴ παρέχει τοῖς πρὸς
2352 τὰ κοινὰ προσιοῦσιν ἅπαντα, ὅσων δέονται, λαμπρὰς
καὶ μεγαλοπρεπεῖς ὑποτιθεῖσα χορηγίας· ὥστε μηδὲν
ἀτιμότερον εἶναι τὸν πενέστατον τοῦ πλουσιωτάτου
κατὰ τὴν ἐπαξίωσιν τῶν καλῶν, ἀλλὰ πάντας εἶναι
Ῥωμαίους, ὅσοι ἂν ὦσι διὰ καλοκαγαθίαν τούτων ἄξιοι
τῶν τιμῶν, ἀλλήλοις ἴσους. ὁπότε δὲ πενόμενος οὐ- 5
δὲν παρὰ τοῦτ' ἔλαττον ἔχω τῶν πολλὰ κεκτημένων,
τί παθὼν ἂν κατηγόρησα τῆς τύχης, ὅτι οὐχ ὑμῖν
⟨ὅμοιον ἐμὲ⟩ ἐποίησε τοῖς βασιλεῦσιν, οἷς ὁ πολὺς θη-
σαυρίζεται χρυσός; ἀλλὰ μὴν ἔν γε τοῖς ἰδίοις τοσοῦ-
τον ἀπέχω κακοδαιμονίας, ὥστ' ἐν ὀλίγοις πάνυ τῶν

2 σεβασμίους O corr. Sylburg 4 ἐν ᾧ προσήκει μετώπῳ in edit. Ursini, με τόπῳ c. Sylburg, nihil de Boor adnotavit, μοι τόπῳ sine adnotatione Kiessling et ed. Paris. 5 δεύτερος εἰμὶ non modo Kiessling, sed etiam de Boor 9 ἐνοχλεῖ E ἐνοχλεῖν R 11 ὁ δὲ] οὐδὲ X 12 δέωνται X ὅσων ἂν δέωνται Kiessling 15 ἀπαξίωσιν EV ἐπαξίωσιν MP 17 ἀλλήλους O corr. Ursinus 19 κατηγόρηκα O κατηγόρησα Kiessling | *οὐχ ὑμῖν ἐποίησε O οὐχὶ ἴσους ὑμῖν ἐποίησε Ursinus οὐκ ἴσον ὑμῖν ἐποίησε vel οὐχ ὑμῖν ἐξίσωσε Sylburg quod Kiessling recepit; post ἴσον addit ἐμὲ Reiske οὐχ ὅμοιον ἐποίησε dubitanter de Boor οὐχ ὑμῖν ὅμοιον ἐμὲ ἐποίησε ego

*μακαρίων ἐμαυτὸν εἶναι δοκῶ παρὰ τοὺς πλουσίους
ἐξετάζων, καὶ ἐπὶ τούτῳ μέγιστον φρονῶ,* (15) *ἐπειδὴ
τὰ μὲν ἀναγκαῖα τὸ λυπρὸν ἀπόχρη μοι γήδιον φιλερ-
6 γοῦντι καὶ ταμιευομένῳ παρέχειν, τὰ δ' ἔξω τῶν ἀναγ-
καίων οὐ βιάζεται ζητεῖν ἡ φύσις, ἀλλὰ καὶ τροφὴ
πᾶσα ἡδεῖά μοι, ἣν ἂν ὁ λιμὸς σκευάσῃ, καὶ ποτὸν* 2353
*ἅπαν γλυκύ, ὅταν ἡ δίψα πορίσῃ, καὶ ὕπνος μαλθακός,
ὅταν ἡγήσηται κόπος, ἐσθής τε ἡ παρέχουσα μὴ ῥιγοῦν
αὐταρκεστάτη, καὶ σκεῦος ὅ τι ἂν εὐτελέστατον τῶν
δυναμένων τὰς αὐτὰς παρέχειν χρείας οἰκειότατον.
7 ὥστ' οὐδὲ κατὰ τοῦτο δίκαιος εἴην ἂν τῆς τύχης κατ-
ηγορεῖν, ἥ μοι τοσαύτην παρέσχεν οὐσίαν, ὅσην ἡ
φύσις ἐβούλετο ἔχειν· τῶν δ' ὑπερβαλλόντων οὔτε πό-
θον ἐνέφυσεν οὔτ' εὐπορίαν ἔδωκεν. Vrsin.*

XVI. (18, 16) *Νὴ Δί', ἀλλ' οὐ περίεστί μοι τοῖς
πλησίον ἐπαρκεῖν, οὐδ' ἐκ περιουσίας ἐπιστήμην ἔδωκέ
μοι ὁ θεὸς ἔχειν οὐδὲ μαντικήν, αἷς ὠφέλουν ἂν τοὺς* 2354
*δεομένους, οὐδ' ἄλλα πολλά· ἃ* ⟨*δ'*⟩ *ἐστὶν ἐν ἐμοί,
τούτων μεταδιδοὺς καὶ πόλει καὶ φίλοις, καὶ ἀφ' ὧν
δύναμαι ποιεῖν εὖ τινας, ταῦτα* [*τὰ*] *κοινὰ τοῖς δεομέ-
νοις παρέχων, οὐκ ἂν ἡγησαίμην αἴτιον ἐμαυτόν. ταῦτα
δ' ἐστίν, ἃ σὺ κράτιστα νομίζεις εἶναι καὶ πολλῶν*

1 *ἐμαυτὸν* om. V  2 *ἐπὶ τοῦτο* O corr. Ursinus  4 *παρέχει* O corr. Ursinus  6 *σκεδάσῃ* O corr. Sylburg  7 *ὅταν*. O *ὅ τι ἂν* Kiessling *ὅγ' ἂν* c. Krüger Index gr. gr. p. 263  8 *παράσχουσα* O *παρέχουσα* Sylburg  11 **δίκαιος εἶναι* O *δ. εἴην* Reiske, *δ. ἂν εἴην* c. Krüger l. l. *οὐδ' ἂν κατὰ τοῦτο — εἴην* Hertlein Hermes X 422; pro *εἶναι* scribendum esse *εἴην ἂν* censeo 12 *παρέσχων* X  13 *δὲ ὑπερβαλόντων* X  15 *τοὺς πλουσίους* V *τοὺς πλησίους* MP *τοῖς πλουσίοις* Ursinus *τοῖς πλησίον* Sylburg 17 *ὁ* V om. R | *αὐτοὺς* O *ἂν τοὺς* Ursinus  18 *δ'* add. Sylburg 19 *μεταδοὺς* X  20 *τὰ* del. Sylburg  21 *αἴστον* O *ἐπαίτιον* Reiske *ἄθλιον* Cobet Obs. p. 216 | *ἐμαυτόν*; *ταῦτα* Kiessling

χρημάτων αἰτεῖς πρίασθαι. (17) εἰ δὲ δὴ καὶ τὰ μά- 2
λιστα διὰ τὰς εὐεργεσίας τῶν δεομένων τὸ πολλὰ
κεκτῆσθαι χρήματα μεγάλης ἦν σπουδῆς καὶ φιλοτιμίας
ἄξιον, καὶ μακαριωτάτους ὑπῆρχεν εἶναι τοὺς πλου-
2355 σιωτάτους, ὡς τοῖς βασιλεῦσιν ὑμῖν δοκεῖ, πότερος ἦν
μοι τρόπος εὐπορίας κρείττων; ἀφ' ὧν σύ μοι νῦν
μεταδίδως αἰσχρῶς ἢ ἀφ' ὧν αὐτὸς ἐκτησάμην καλῶς
πρότερον; παρέσχε γάρ μοι τὰ πολιτικὰ πράγματα χρη- 3
ματισμῶν ἀφορμὰς δικαίας, πολλάκις μὲν καὶ πρότερον,
μάλιστα δ', ⟨ἐπεὶ⟩ ἐπὶ Σαυνίτας καὶ Λευκανοὺς ⟨καὶ⟩
Βρεττίους στρατιὰν ἄγων ἐστάλην τετάρτῳ πρότερον
ἐνιαυτῷ τὴν ὕπατον ἀρχὴν ἔχων, καὶ πολλὴν μὲν
χώραν ἐλεηλάτησα, πολλαῖς δὲ μάχαις τοὺς ἀντιταξα-
μένους ἐνίκησα, πολλὰς δὲ καὶ εὐδαίμονας πόλεις κατὰ
κράτος ἑλὼν ἐξεπόρθησα, ἐξ ὧν τὴν στρατιὰν ἅπασαν
ἐπλούτισα, καὶ τὰς εἰσφορὰς τοῖς ἰδιώταις, ἃς εἰς τὸν
πόλεμον προεισήνεγκαν, ἀπέδωκα, καὶ τετρακόσια τά-
2356 λαντα μετὰ τὸν θρίαμβον εἰς τὸ ταμιεῖον εἰσήνεγκα.
(18) ἔπειτ' ἐκείνων τῶν δορικτήτων ἐξόν μοι λαβεῖν 4
ὁπόσ' ⟨ἂν⟩ ἐβουλόμην οὐ λαβών, ἀλλὰ καὶ τὸν ἐκ τοῦ
δικαίου πλοῦτον ὑπεριδὼν ἕνεκα δόξης, ὡς Οὐαλέριος
Ποπλικόλας ἐποίησε καὶ ἄλλοι πλεῖστοι πρὸς τούτῳ

1 αἴτιος εἰ O αἴτιος εἶ Ursinus ἕτοιμος εἶ Sylburg αἰτεῖς Kiessling ἀξιοῖς Cobet Obs. p. 216   3 πράγματα O χρήματα Ursinus   4 μακαριωτάτους] μακάριον τούτους V | πλησιωτάτους X   7 καλῶν O corr. Ursinus   10 ἐπεὶ add. Kiessling ἡνίκα c. Reiske | καὶ ante Βρεττίους add. Ursinus   11 ἐστάλη O corr. Ursinus   15 ἐξελὼν O ἑλὼν Sylburg   17 προσήνεγκαν O προεισήνεγκαν Reiske   18 τῶν θριάμβων O corr. Portus   20 *βουλόμην V βουλοίμην R et Sylburg ἐβουλόμην editio Kiesslingiana ὁπόσ' ἂν ἐβουλόμην ego | καὶ τὸν P καὶ τῶν BEV καίτοι M   22 πρὸς τούτοις O πρὸς τούτῳ Sylburg, sed excerptor, ut idem Sylburg recte admonuit, aliorum virorum nomina suppressisse videtur

*συχνοί, δι' οὓς ἡ πόλις ἡμῶν τηλικαύτη γέγονε, τὰς* 2357
*παρὰ σοῦ δέξομαι δωρεὰς καὶ ἀντὶ τῆς κρείττονος εὐπορίας ἀλλάξομαι τὴν χείρονα; ἐκείνῃ μέν γε τῇ κτήσει καὶ τὸ μεθ' ἡδονῆς ποιεῖσθαι τὰς ἀπολαύσεις πρὸς τῷ καλῶς καὶ δικαίως προσῆν· ταύτης δὲ καὶ τοῦτ' ἄπεστι. δανείσματα γάρ ἐστιν, ὅσα προσλαμβάνουσιν ἄνθρωποι παρ' ἑτέρων, βαρύνοντα τὴν ψυχὴν ἕως ἂν ἀποδοθῇ, κἂν ὀνόμασι καλοῖς αὐτὰ κοσμήσῃ τις, φιλανθρωπίας*
5 *καλῶν καὶ δωρεὰς ἢ χάριτας.* (19) *φέρε, ἐὰν δὴ μα-* 2358
*νεὶς δέξωμαι χρυσόν, ὃν δίδως μοι, καὶ τοῦθ' ἅπασι Ῥωμαίοις γένηται φανερόν, ἔπειθ' οἱ τὴν ἀνυπεύθυνον ἔχοντες ἀρχήν, οὓς ἡμεῖς τιμητὰς καλοῦμεν, οἷς ἀποδέδοται τοὺς ἁπάντων Ῥωμαίων ἐξετάζειν βίους καὶ τοὺς ἐκβαίνοντας ἐκ τῶν πατρίων ἐθῶν ζημιοῦν, καλέσαντές με λόγον ἀποδοῦναι κελεύσωσι τῆς δωροδοκίας, ἁπάντων παρόντων ταῦτα προφερόμενοι. Vrsin. et* 308, 11—16 *Ambr.*

XVII. (18, 20) *Ἐπέμψαμέν σε, ὦ Φαβρίκιε, πρεσβευτὴν σὺν ἑτέροις δυσὶν ὑπατικοῖς ἀνδράσι πρὸς βασιλέα Πύρρον ὑπὲρ αἰχμαλώτων λύσεως διαλεξόμενον· ἥκεις ἀπὸ τῆς πρεσβείας τοὺς μὲν αἰχμαλώτους οὐκ ἄγων οὐδὲ ἄλλο τῇ πόλει φέρων ἀγαθὸν οὐθέν, αὐτὸς δὲ βασιλικὰς δωρεὰς εἰληφὼς μόνος τῶν συναποσταλέντων σοι πρέσβεων, καὶ ἣν ὁ δῆμος ἀπεψηφίσατο*

1 *συχνοὶ* vel *πλεῖστοι* del. Sylburg 3 *ἀλλ' ἄξομαι* O corr. Sylburg 4 *πρὸς τὸ* O corr. Sylburg 5 *καλῷ καὶ δικαίῳ* c. Reiske | *πόσος ἦν* EV *ποσὸν ἦν* P *προσῆν* Stephanus 6 *προλαμβάνουσιν* c. Naber Mnem. 30, 260 7 *βαρύνοντες* O corr. Sylburg 8 *κοσμήσῃ*] *κοσμήσας* Kiesslingio teste O, sed errat 9 *χάριτας φέρε. ἐὰν δὲ* EX *χάριτας. φέρε ἐὰν δὴ* V *φέρε δὲ ἐὰν* c. dubitanter de Boor 16 *ταῦτα προφερόμενοι* libri Ursiniani omittunt, addunt Ambr. 24 *ἣν* Ambr.

ποιήσασθαι ⟨εἰρήνην, ταύτην ποιήσας⟩ μόνος, ἐπ' οὐ-
θενὶ τῆς πόλεως ἀγαθῷ· πόθεν γάρ; ἀλλ' ἵνα προδῷς 2
αὐτὴν τῷ βασιλεῖ, καὶ διὰ σοῦ μὲν ἐκεῖνος ἅπασαν
Ἰταλίαν ὑφ' αὑτῷ ποιήσηται, δι' ἐκείνου δὲ σὺ τῆς
πατρίδος ἀφέλῃ τὴν ἐλευθερίαν. τοῦτο γάρ ἐστιν, ὃ
διώκουσιν ἅπαντες οἱ μὴ τὴν ἀληθινήν, ἀλλὰ τὴν
προσποιητὸν ἐπιτηδεύσαντες ἀρετήν, ὅταν εἰς ὄγκον
καὶ μέγεθος πραγμάτων προέλθωσιν. (21) εἰ δὲ δὴ 3
μὴ τὸ πρεσβύτερον ἔχων ἀξίωμα, μηδὲ παρὰ τῶν πο-
λεμίων τῆς πατρίδος, μηδ' ἐπὶ προδοσίᾳ καὶ τυραννίδι
τῶν σεαυτοῦ πολιτῶν ἐδωροδόκεις, ἀλλ' ἰδιώτης ὢν
καὶ παρ' ἀνδρὸς συμμάχου καὶ ἐπ' οὐδενὶ κακῷ τῆς
πόλεως, ἆρ' οὐ δι' ἐκεῖνα τῆς μεγάλης ἄξιος εἶ ζημίας,
ὅτι διαφθείρεις μὲν τοὺς νέους πλούτου καὶ τρυφῆς
καὶ πολυτελείας βασιλικῆς ζῆλον εἰς τοὺς βίους εἰσ-
άγων, οἷς πολλῆς δεῖ σωφροσύνης, εἰ μέλλει σωθήσε-
σθαι τὰ κοινά· καταισχύνεις δὲ τοὺς σεαυτοῦ προγό- 4
νους, ὧν οὐθεὶς ἐξέβη τοὺς πατρίους ἐθισμοὺς οὐδ'
ἠλλάξατο πλοῦτον αἰσχρὸν ἀντὶ πενίας καλῆς, ἀλλ'
ἅπαντες ἐπ' αὐτῆς ἔμειναν τῆς μικρᾶς οὐσίας, ἣν σὺ
παραλαβὼν ἐλάττονα ἢ κατὰ σεαυτὸν ἡγήσω· (22) 5
διαφθείρεις δὲ τὴν ἐκ τῶν προτέρων ἐπιτηδευμάτων
γενομένην σοι δόξαν, ὡς ἐγκρατὴς καὶ σώφρων καὶ
πάσης αἰσχρᾶς ἐπιθυμίας κρείττων; ἔπειτα χαιρήσεις
κακὸς ἐξ ἀγαθοῦ γενόμενος, ὅτ' ἔδει σε, καὶ εἰ πρό-
τερον πονηρὸς ἦσθα, πεπαῦσθαι; ἢ τῶν καλῶν τινος

1 ποιήσασθαι μόνος Ambr. ποιήσασθαι εἰρήνην ταύτην ποιήσας μόνος Struve cf. iud. litt. in Zarnckii Litterar. Univers. 1870, 893 9 πρεσβύτερον Ambr. πρεσβευτικὸν c. Struve 13 τῆς μεγάλης — ζημίας Ambr. τῆς μεγίστης — ζ. c. Struve; an τῆς delendum est?

ἔτι μεθέξεις τῶν ὀφειλομένων τοῖς ἀγαθοῖς, ἀλλ' οὐκ ἄπει μάλιστα μὲν ἐκ τῆς πόλεως, εἰ δὲ μή γ' ἐκ τῆς ἀγορᾶς; *Ambr.*

XVIII. Ἂν ταῦτα λέγοντες ἐκγράψωσί με τῆς βουλῆς καὶ μεταγάγωσιν εἰς τὰς τῶν ἀτίμων φυλάς, τί πρὸς αὐτοὺς ἔξω λέγειν δίκαιον ἢ ποιεῖν; τίνα τὸν μετὰ ταῦτα βίον ζήσομαι τηλικαύτῃ περιπεσὼν ἀτιμίᾳ
2 καὶ τοὺς ἐξ ἐμαυτοῦ πάντας περιλαβών; (23) σοὶ δὲ αὐτῷ τί χρήσιμος ἔτι φανήσομαι τὸ δύνασθαί τι καὶ τιμᾶσθαι παρὰ τοῖς πολίταις ἀποβαλών, δι' ἃ νῦν ἐσπούδακας περὶ ἐμοῦ; λείπεται δὴ τὸν οὐδεμίαν ἔτι χώραν ἐν τῇ πατρίδι κατέχειν δυνάμενον ἀπιέναι πανοικεσίᾳ, τὰς ἀσχήμονας αὑτοῦ καταγνόντα φυγάς.
3 ἔπειτα ποῦ τὸν λοιπὸν ἔσομαι χρόνον; ἢ τίς ὑποδέξεταί με τόπος ἀπαρρησίαστον γενόμενον ὥσπερ εἰκός; ἡ σὴ βασιλεία, νὴ Δία, καὶ παρέξεις μοι σὺ τὴν τυραννικὴν ἅπασαν εὐδαιμονίαν; καὶ τί μοι τηλικοῦτο δώσεις ἀγαθόν, ὅσον ἀφελεῖ τὸ πάντων τιμιώτατον
4 κτημάτων ἀφελόμενος, τὴν ἐλευθερίαν; (24) πῶς δ' ἂν ὑπομεῖναι δυναίμην ἐγὼ τοῦ βίου μεταβολὴν ὀψὲ δουλεύειν διδασκόμενος; ὅπου γὰρ οἱ γεννηθέντες ἐν βασιλείαις καὶ τυραννίσιν, ὅταν εὐγενῶς ἔχωσι, τῆς ἐλευθερίας γλίχονται καὶ πάνθ' ἡγοῦνται τἀγαθὰ ταύτης ἐλάττω, ἤ που οἱ ἐν ἐλευθέρᾳ καὶ ἑτέρων ἄρχειν μαθούσῃ πόλει βιώσαντες πρᾴως οἴσουσι τὴν ἐκ τῶν κρειττόνων ἐπὶ τὰ χείρω μεταβολήν, ἐξ ἐλευθέρων

5 μετάγωσιν Ambr. corr. Kiessling 8 περιβαλὼν Ambr. περιλαβὼν vel συμπεριλαβὼν c. Struve Kiesslingi adnotatio falsa est 9 χρήσιμον Ambr. corr. Struve 13 αὐτοῦ Ambr. corr. Struve 16 καὶ εἰ παρέξεις c. Struve 17 καὶ ante τι del. idem 22 εὐγενὲς Ambr. τὸ εὐγενὲς Kiessling εὐγενῶς Struve

ὑπομείναντες δοῦλοι γενέσθαι, ἵνα λαμπρὰς παρατιθῶνται καθ' ἡμέραν τραπέζας καὶ πολλοὺς θεράποντας περιάγωνται καὶ γυναικῶν καὶ παίδων εὐπρεπῶν ἀφειδεῖς ἀπολαύσεις λαμβάνωσιν, ὥσπερ ἐν τούτοις τῆς ἀνθρωπίνης εὐδαιμονίας κειμένης, ἀλλ' οὐκ ἐν
ἀρετῇ; (25) αὐτῶν δὲ τούτων, ἵνα συγχωρήσῃ τις 5
αὐτὰ πολλῆς εἶναι σπουδῆς ἄξια, τίς γένοιτ' ἂν ἱλαρὰ χρῆσις οὐκ ἔχουσα τὸ βέβαιον; ἐφ' ὑμῖν γάρ ἐστι τοῖς παρέχουσι τὰς ἡδονὰς ταύτας, ὅταν αὐτοὶ θέλητε, πάλιν αὐτὰς ἀφαιρεῖσθαι. ἐῶ γὰρ λέγειν τοὺς φθόνους, τὰς διαβολάς, τὸ μηδένα χρόνον ἄνευ κινδύνου καὶ φόβου ζῆν, τἆλλα πολλά, ὅσα φέρει χαλεπὰ καὶ οὐκ ἄξια γενναίου φρονήματος ὁ παρὰ τοῖς βασιλεῦσι βίος.
μὴ τοσαύτη μανία κατάσχοι Φαβρίκιον, ὥστε τὴν περι- 6
βόητον καταλιπόντα Ῥώμην τὸν ἐν Ἠπείρῳ προελέσθαι βίον, καὶ ἐξὸν ἡγεμόνος ἡγεῖσθαι πόλεως ὑφ' ἑνὸς ἀνδρὸς ἄρχεσθαι μηθὲν ἴσον τοῖς ἄλλοις φρονοῦντος καὶ τὰ πρὸς ἡδονὴν ἀκούειν παρὰ πάντων ἐθισθέντος.
(26) ἀλλάξαι μέν γε τὸ φρόνημα καὶ ταπεινὸν ἐμαυ- 7
τὸν ποιῆσαι βουλόμενος, ἵνα μηδὲν ὑποπτεύῃς ἐξ ἐμοῦ κακόν, οὐκ ἂν δυναίμην· διαμένων δὲ τοιοῦτος, οἷον ἡ φύσις καὶ τὰ ἔθη πεποίηκέ με, βαρὺς φανήσομαί σοι καὶ περισπᾶν δόξω τὴν ἡγεμονίαν εἰς ἐμαυτόν. τὸ δ' ὅλον ἔχω σοι παραινεῖν, μὴ ὅτι Φαβρίκιον, ἀλλὰ μηδ' ἄλλον μηδένα δέχεσθαι τῇ βασιλείᾳ μήτε κρείτ-

3 ἐκπρεπῶν c. Naber Mnem. 30, 260 4 λαμβάνωσιν] λαμβάνουσιν Ambr. Kiesslingio teste 8 ὑφ' ὑμῖν Ambr. corr. Struve | ἔτι Ambr. ἔστι Maius 12 τἆλλα ὅλα ὅσα Ambr. Q ὅλα om. Ambr. A ὅλα aut omittendum aut πολλὰ scribendum esse c. Struve 19 ἑαυτὸν Ambr. ἐμαυτὸν Kiessling

*τονα μήτε ἴσον σεαυτῷ, μηδὲ ὅλως ἄνδρα ἐν ἐλευθέροις ἤθεσι τραφέντα καὶ φρόνημα μεῖζον ἢ κατ' ἰδιώτην*
8 *ἔχοντα. οὔτε γὰρ ἀσφαλὴς βασιλεῖ σύνοικος ἀνὴρ μεγαλόφρων οὔτε ἡδύς. ἀλλὰ περὶ μὲν τῶν ἰδίων συμφερόντων, ἅ σοι πρακτέον ἐστίν, αὐτὸς διαγνώσῃ, περὶ δὲ τῶν αἰχμαλώτων ἐπιεικές τι βουλευσάμενος ἄφες ἡμᾶς ἀπιέναι.*

(27) *Ὡς δὲ ἐπαύσατο λέγων, ἀγασθεὶς αὐτοῦ τὴν εὐγένειαν τῆς ψυχῆς ὁ βασιλεὺς τῆς δεξιᾶς λαμβάνεται καί φησιν· Οὐκέτι θαυμάζειν ἐπέρχεταί μοι, διὰ τί περιβόητος ἡ πόλις ὑμῶν ἐστι καὶ τοσοῦτον ἡγεμονίας περιβέβληται μέγεθος, τοιούτων ἀνδρῶν οὖσα τροφός· καὶ μάλιστα μὲν οὖν ἐβουλόμην ἂν ἐξ ἀρχῆς μηδεμίαν συμβῆναί μοι πρὸς ὑμᾶς διαφοράν, ἐπεὶ δὲ συνέβη, καὶ θεῶν τις ἐβούλετο πειραθέντας ἡμᾶς τῆς ἀλλήλων δυνάμεως καὶ ἀρετῆς τότε συναγαγεῖν, ἕτοιμός εἰμι διαλύεσθαι, καὶ ἵνα πρῶτος ἄρξω τῶν φιλανθρώπων, ἐφ' ἃ παρακαλεῖτέ με, χαρίζομαι τῇ πόλει τοὺς αἰχμαλώτους ἅπαντας ἄνευ λύτρων.* Ambr.

*Λιβύην χειρωσάμενος μέχρι καὶ τῶν προσωκεανίων ἐθνῶν.* Steph. Byz. s. v. *Ὠκέανος.*

1 *σεαυτοῦ* Ambr. *σεαυτῷ* Struve | *μηδὲ* Ambr. *μήθ'* c. Kiessling 14 *συμβῆναι*] *συστῆναι* c. Struve | *συνέβη*] *συνέστη* c. Struve 20 *προσωκεανίων*] cf. Götzeler Animadv. II 30

---

*Κωστάντεια — ἔστι καὶ Βρεττίας ἄλλη, ὡς Διονύσιος ἐννεακαιδεκάτῳ Ῥωμαικῆς ἀρχαιολογίας.* Steph. Byz.

# EXCERPTA

## EX

## LIBRO XX.

---

I. [*Πύρρου καὶ Ῥωμαίων ὑπάτων Ποπλίου Δεκίου καὶ Ποπλίου Σουλπικίου*]

*Συνθέμενοι δὲ διὰ κηρύκων τὸν χρόνον, ἐν ᾧ διαγωνιοῦνται, κατέβαινον ἐκ τῶν στρατοπέδων καὶ εἰς τάξιν καθίσταντο τοιάνδε· βασιλεὺς μὲν Πύρρος τὴν Μακεδονικὴν φάλαγγα πρώτην ἔταξεν ἐπὶ τοῦ δεξιοῦ κέρατος καὶ μετ' αὐτὴν τοὺς ἐκ τοῦ Τάραντος μισθοφόρους Ἰταλιώτας. ἔπειτα τοὺς ἐξ Ἀμπρακίας* 2
*καὶ μετ' αὐτοὺς τὴν Ταραντίνων λεύκασπιν φάλαγγα, ἑξῆς δὲ τὸ Βρεττίων καὶ Λευκανῶν συμμαχικόν. ἐπὶ μέσης δὲ τῆς φάλαγγος Θεσπρωτούς τε καὶ Χάονας, τούτοις δὲ συνεχεῖς τοὺς Αἰτωλῶν καὶ Ἀκαρνάνων καὶ Ἀθαμάνων μισθοφόρους, τελευταίους δὲ Σαυνίτας τὸ λαιὸν ἐκπληροῦντας κέρας. τῆς δὲ ἵππου τὴν μὲν* 3
*Σαυνῖτιν καὶ Θετταλικὴν καὶ Βρεττίαν καὶ τὴν ἐκ τοῦ Τάραντος μισθοφόρον ἐπὶ τοῦ δεξιοῦ κέρατος ἔστησεν, τὴν δὲ Ἀμπρακιῶτιν καὶ Λευκανὴν καὶ Ταραντίνην καὶ τὴν Ἑλληνικὴν μισθοφόρον, ἣν ἐξεπλήρουν Ἀκαρ-*

11 θὲς πρώτους Ath.

νᾶνές τε καὶ Αἰτωλοὶ καὶ Μακεδόνες καὶ Ἀθαμᾶνες
4 ἐπὶ τοῦ λαιοῦ. τοὺς δὲ ψιλοὺς καὶ τοὺς ἐλέφαντας διχῇ νείμας ἀμφοτέρων κατόπιν ἔστησε τῶν κεράτων, σύμμετρόν τι χωρίον ἀφεστῶτας ὀλίγον ἐπανεστηκὸς τοῦ πεδίου. αὐτὸς δὲ τὸ καλούμενον βασιλικὸν ἄγημα τῶν ἐπιλέκτων ἱππέων ὁμοῦ τι δισχιλίων περὶ αὑτὸν ἔχων ἐκτὸς ἦν τάξεως, ὥστε [εἶναι] τοῖς κάμνουσιν αἰεὶ τῶν σφετέρων ἐξ ἑτοίμου παρεῖναι.

Οἱ δὲ ὕπατοι κατὰ μὲν τὸ λαιὸν κέρας ἔστησαν τάγμα τὸ καλούμενον πρῶτον ἐναντίον τῇ Μακεδονικῇ καὶ Ἀμπρακιωτικῇ φάλαγγι καὶ τοῖς μισθοφόροις τῶν Ταραντίνων. ἑπόμενον δὲ τῷ πρώτῳ τάγματι τὸ τρίτον, καθ' ὃ μέρος ἡ λεύκασπις ἦν τῶν Ταραντίνων φάλαγξ καὶ τὸ Βρεττίων καὶ τὸ Λευκανῶν συμμαχικόν.
2 συναφὲς δὲ τῷ τρίτῳ τὸ τέταρτον ἔστησαν κατὰ τοὺς Μολοττούς τε καὶ Χάονας καὶ Θεσπρωτούς· τὸ δὲ δεύτερον ἐπὶ τοῦ δεξιοῦ κέρως ἐναντίον τοῖς μισθοφόροις τοῖς ἀπὸ τῆς Ἑλλάδος Αἰτωλοῖς καὶ Ἀκαρνᾶσι καὶ Ἀθαμᾶσι καὶ τῇ Σαυνιτῶν θυρεαφόρῳ φάλαγγι. Λατίνους δὲ καὶ Καμπανοὺς καὶ Σαβίνους καὶ Ὀμβρικοὺς καὶ Οὐολούσκους καὶ Μαρουγκίνους καὶ Πελίγνους καὶ Φρεντανοὺς καὶ τοὺς ἄλλους ὑπηκόους, εἰς τέτταρα διελόντες μέρη, τοῖς Ῥωμαικοῖς παρενέβαλον

4 ἐπανεστηκὸς] ἐξανεστηκὸς vel ἐπανεστηκότος c. C. Müller 6 ὁμοῦ τε Ath. corr. Müller 7 *τάξεως εἶναι — 8 πάρεισιν Ath. εἶναι — ἐπάρκεσιν Dübner εἶναι τοῖς κάμνουσιν ἀεὶ βοηθός, εἴ τινες τῶν σφετέρων ἐξ ἑτοίμου πάρεισιν Minas εἰς τὸ τοῖς κάμνουσιν — παρεῖναι Müller τάξεως ἵνα — ἐπαρκέσῃ Cobet Obs. p. 217 ego post τάξεως inserui ὥστε, εἶναι delevi, pro πάρεισιν in textum παρεῖναι recepi 11 ἀμπλακιωτικῇ Ath. corr. Wescher 15 κατὰ τὸ Μολόττους Ath. corr. Müller 17 *κέρας Ath. κέρατος Müller κέρως ego 19 θυρασαφόρῳ Ath. 21 οὐολέσκους Ath. 22 φερεντανοὺς Ath. φρεντανοὺς Cobet Obs. p. 216

τάγμασιν, ἵνα μηδὲν αὐτοῖς ἀσθενὲς εἴη μέρος. τὴν 3
δὲ ἵππον τήν ⟨τ'⟩ οἰκείαν καὶ τὴν συμμαχικὴν δι-
ελόντες ἐπ' ἀμφοτέρων ἔταξαν τῶν κεράτων. ἐκτὸς δὲ
τάξεως τούς τε ψιλοὺς κατέστησαν καὶ τὰς ἁμάξας
τριακοσίας τὸν ἀριθμόν, ἃς παρεσκευάσαντο πρὸς τὴν
τῶν ἐλεφάντων μάχην. αὗται κεραίας εἶχον ἐπιβεβη-
κυίας στώμιξιν ὀρθαῖς πλαγίας, εὐτρόχους, ὅπη βου-
ληθείη τις ἅμα νοήματι περιάγεσθαι δυναμένας, ἐπ'
ἄκρων δὲ τῶν κεραιῶν ἢ τριόδοντες ἦσαν ἢ κέστροι
μαχαιροειδεῖς ἢ δρέπανα ὁλοσίδηρα, ἢ καταρράκτας
τινὰς ἐπιρριπτοῦντας ἄνωθεν βαρεῖς κόρακας. πολλαῖς 4
δ' αὐτῶν χεῖρες προσήρτηντο πυρφόροι στυππία πολλῇ
πίττῃ λελιπασμένα περὶ αὐτὰς ἔχουσαι, προεκκείμεναι
τῶν ἁμαξῶν, αἷς ἔμελλον ἑστηκότες ἐπ' αὐτῶν τινες,
ὅτε πλησίον γένοιντο τῶν θηρίων, πλήσαντες πυρὸς
ἐπὶ τὰς προβοσκίδας αὐτῶν καὶ τὰ πρόσωπα τὰς πλη-
γὰς φέρειν. ἐφεστήκεσαν δὲ ταῖς ἁμάξαις τετρακύκλοις
ὑπαρχούσαις καὶ τῶν ψιλῶν συχνοὶ τοξόται καὶ χερ-
μάται καὶ τριβόλων σιδηρῶν σφενδονῆται καὶ παρ'
αὐτὰς κάτωθεν ἔτι πλείους ἕτεροι.
Τάξις μὲν αὕτη τῶν στρατευσάντων ἦν ἀμφοτέρων, 5
ἀριθμὸς δὲ τοῦ βασιλικοῦ μυριάδες ἑπτὰ πεζῶν, ἐν

2 *τ'* add. Kiessling 7 **στόμιξιν* Ath. *στομίσιν* c. Wescher *στόρθυγξιν ὀρθαῖς* Dübner *κάμαξιν* c. Cobet Obs. p. 216 *στώμιξιν ὀρθαῖς* ego; cf. Hesych. *στῶμιξ: δοκὶς ξυλίνη* 9 *ἀεπάκρων* Ath. corr. Wescher 10 *καταράκτας* Ath. *τινὲς δὲ εἶχον καταρράκτας* c. Müller 12 *στυππία* Ath. *στυππεῖα* Lobeck Phryn p 261 s. 14 *ἃς* Ath. *αἷς* Müller 16 *αὐτῶν ὥστε τὰ πρόσωπα τὰς πλ. φέρειν* Prou, verba *αἷς* et *τὰς πληγὰς φέρειν* in suspicionem Cobet Obs. p. 218 vocat 18 *χερμάται* Ath. *χερμάδων* Müller cf. Götzeler Animadv. II 28 19 *σφενδονῖται* Ath. 21 *τάξεις* Ath.

*οἷς Ἕλληνες οἱ τὸν Ἰόνιον κόλπον διαπεράσαντες ἐπὶ μυρίοις ἦσαν ἑξακισχίλιοι· τοῦ δὲ Ῥωμαικοῦ πλείους τῶν ἑπτὰ μυριάδων· ἐξ αὐτῆς μέντοι τῆς Ῥώμης ὁμοῦ ⟨τι⟩ δισμύριοι. ἱππεῖς δὲ παρεγένοντο Ῥωμαίοις μὲν ἀμφὶ τοὺς ὀκτακισχιλίους, Πύρρῳ δὲ μικρῷ πλείους καὶ θηρία ἑνὸς δέοντα εἴκοσι. Ath.*

II. *Ἐπεὶ δὲ τὰ σημεῖα τῆς μάχης ἀνεδείχθη, παιανίσαντες οἱ στρατιῶται καὶ τῷ Ἐνυαλίῳ ἀλαλάξαντες ἐχώρουν ὁμόσε καὶ συμπεσόντες ἐμάχοντο πᾶσαν ἀποδεικνύμενοι τὴν ἐνόπλιον ἐπιστήμην. οἱ μὲν ἱππεῖς οἱ παρὰ ἀμφότερα τεταγμένοι τὰ κέρατα προειδότες, ἐν οἷς ἐπλεονέκτουν αὐτοὶ τῶν πολεμίων, εἰς ταῦτα κατέφευγον, Ῥωμαῖοι μὲν εἰς τὴν ἐκ χειρὸς καὶ σταδιαίαν μάχην, τὸ δὲ τῶν Ἑλλήνων ἱππικὸν εἰς τὰς*
2 *περιελάσεις καὶ τοὺς ἐξελιγμούς· καὶ οἱ μὲν ὁπότε διώκοιντο ὑπὸ τῶν Ἑλλήνων, ἐπιστρέψαντες τοὺς ἵππους καὶ τοὺς χαλινοὺς κατασχόντες ἐπεξομάχουν, οἱ δὲ ὁπότε τοὺς Ῥωμαίους μάθοιεν εἰς ἀντίπαλα καθισταμένους, ἐπὶ δόρυ κλίναντες καὶ δι' ἀλλήλων ἐξελίξαντες περιεδίνουν τοὺς ἵππους αὖθις ἐπὶ τὸ μέτωπον καὶ*
3 *τὰ κέντρα προσβαλόντες ἐχώρουν ὁμόσε. ⟨ἡ⟩ μὲν οὖν δὴ τῶν ἱππέων μάχη τοιαύτη τις ἦν, ἡ δὲ τῶν πεζῶν τῇ μὲν ἐμφερὴς ἐκείνῃ, τῇ δὲ διάφορος. ἐμφερὴς μὲν κατὰ τὸ σύμπαν, διάφορος δὲ κατὰ τὰ μέρη. τὸ μὲν γὰρ δεξιὸν κέρας ἐπιρρεπέστερον ὑπῆρχεν ἑκατέροις,*

1 *τὸν ἴδιον κόλπον* Ath. *τὸν Ἰονικὸν κ.* c. Müller, Kiessling *τὸν Ἰόνιον κ.* ut ceteris locis in textum recepit 4 *τι* add. Müller 8 **τὸ σύνολον ἀλλάξαντες* Ath. *τὸ σ. ἀλαλάξαντες* Müller, sed pro *τὸ σύνολον* c. Cobet Obs p. 218 *τὸ Ἐνυάλιον*, ego *τῷ Ἐνυαλίῳ* scripsi 20 *περιεδείνουν* Ath. corr. Müller 21 *ἡ* add. Minas 22 *ἵππων* Ath. corr. Müller'

τὸ δ' ἀριστερὸν ὑποδεέστερον. οὐ μέντοι σὺν τῷ
ἀσχήμονι τὰ νῶτα τοῖς πολεμίοις ἐνέκλιναν οὐδέτεροι,
ἀλλὰ σὺν κόσμῳ καὶ παρὰ ταῖς σημείαις μένοντες
ἑκάτεροι καὶ τὴν προβολὴν φυλάττοντες κατὰ μικρὸν
ὑπεχώρουν ὀπίσω. οἱ δὲ ἀριστεύσαντες ἦσαν ἐκ μὲν 4
τῆς βασιλικῆς στρατιᾶς Μακεδόνες — οὗτοι γὰρ ἀνέστει-
λαν τὸ πρῶτον τῶν Ῥωμαίων στρατόπεδον καὶ τοὺς
σὺν αὐτοῖς ταχθέντας Λατίνους — ἐκ δὲ τῆς Ῥωμαικῆς
οἱ συνελθόντες εἰς τὸ δεύτερον τάγμα Μολοττοῖς καὶ
Θεσπρωτοῖς καὶ Χάοσιν ἐναντίοι. κελεύσαντος δὲ τοῦ
βασιλέως τοὺς ἐλέφαντας ἐπὶ τὸ κάμνον τῆς στρατιᾶς
ἄγειν, μαθόντες τὴν ἔφοδον τῶν θηρίων οἱ ταῖς κε-
ραιοφόροις ἐπιβεβηκότες ἁμάξαις ἤλαυνον ὁμόσε. οὗτοι 5
τὸ μὲν πρῶτον ἐπέσχον τῆς ὁρμῆς τὰ θηρία, παίοντες
ταῖς μηχαναῖς καὶ τὰς πυρφόρους χεῖρας ἐς τὰς ὄψεις
αὐτῶν ἐντρέποντες. ἔπειτα οὐκέτι προσαγόντων τὰ
θηρία τῶν ἐφεστηκότων τοῖς πύργοις, ἀλλὰ ταῖς λόγ-
χαις βαλλόντων ἄνωθεν καὶ τῶν ψιλῶν διακοπτόντων
τὰ περικείμενα γέρρα ταῖς ἁμάξαις καὶ νευροτομούν-
των τοὺς βόας [καὶ] καταπηδῶντες ἀπὸ τῶν ὀχημάτων
οἱ πρὸς ταῖς μηχαναῖς κατέφευγον εἰς τοὺς ἔγγιστα
πεζοὺς καὶ πολλὴν παρεῖχον αὐτοῖς ταραχήν. οἱ δὲ 6
ἐν μέσῃ τῇ βασιλικῇ φάλαγγι ταχθέντες Λευκανοὶ καὶ
Βρέττιοι χρόνον οὐ πολὺν ἀγωνισάμενοι τρέπονται
πρὸς φυγὴν ὑπὸ τοῦ τετάρτου Ῥωμαικοῦ τάγματος
ἀνασταλέντες. ὡς δὲ ἅπαξ ἐνέκλιναν οὗτοι, καὶ διερ-

3 σημείαις] σημαίαις c. Cobet Obs. p. 218 6 στρατείας Ath. corr. Müller | ἀνέτειλαν Ath. corr. Müller 11 στρατείας Ath. corr. Müller 12 κερασφόροις Ath. corr. Dübner 16 προσαγόντων Ath. προαγόντων Müller 19 νευριτομούντων Ath. 20 καὶ del. Müller

ῥάγῃ τὸ κατ' αὐτοὺς μέρος τῆς φάλαγγος, οὐδὲ οἱ τὴν πλησίον αὐτῶν λαβόντες στάσιν Ταραντῖνοι παρέμενον, ἀλλὰ ἐντρέψαντες κἀκεῖνοι τὰ νῶτα τοῖς πολεμίοις ἔφευγον. *Ath.*

III. Βασιλεὺς δὲ Πύρρος ὡς ἔμαθεν, ὅτι Λευκανοὶ καὶ Βρέττιοι καὶ Ταραντῖνοι φεύγουσι προτροπάδην, καὶ λελώβηται τὸ κατ' ἐκείνους μέρος ἡ φάλαγξ, ἐκ τῆς καθ' ἑαυτὸν ἴλης μέρος τι παραδοὺς ἑτέροις ἡγεμόσι, καὶ ἀπὸ τοῦ δεξιοῦ κέρατος ἑτέρους ἱππεῖς, ὅσους ὑπέλαβεν ἀρκεῖν, ἀποστέλλει βοηθοὺς τοῖς ὑπὸ τῶν Ῥωμαίων διωκομένοις. ἐν οἷς δὲ ταῦτα ἐγίνετο χρόνοις, παρὰ τοῦ δαιμονίου βοήθεια τοῖς Ῥωμαίοις
2 ἔκδηλος γίνεται. Δαυνίων γάρ τινες ἐκ πόλεως Ἀργυρίππων, ἣν νῦν Ἄρπους καλοῦσι, πεζοὶ μὲν τετρακισχίλιοι, ἱππεῖς δὲ ἀμφὶ τοὺς τετρακοσίους, ἐπίκουροι τοῖς ὑπάτοις ἀποσταλέντες, ὡς ἐγένοντο πλησίον τοῦ βασιλικοῦ στρατοπέδου τὴν κατὰ νώτου τῶν πολεμίων ἄγουσαν ὁδὸν ἀπὸ ταὐτομάτου πορευόμενοι καὶ τὸ πεδίον εἶδον μεστὸν ἀνθρώπων, ὀλίγον ἐπισχόντες αὐτόθι χρόνον καὶ λογισμοὺς παντοδαποὺς λαβόντες, καταβαίνειν μὲν ἀπὸ τῶν μετεώρων καὶ συλλαμβάνειν τῆς μάχης ἀπέγνωσαν, οὔτε ὅπῃ τι φίλιόν ἐστιν εἰδότες οὔτε ὅπῃ πολέμιον, οὔτ' ἐν ᾧ χωρίῳ στάντες ὠφέλειάν τινα παρέξουσι τοῖς σφετέροις δυνάμενοι συλλαβεῖν, κράτιστον δὲ ὑπέλαβον εἶναι περιστάντες τὸ στρατόπεδον τῶν πολεμίων ἐξελεῖν, ὡς αὐτοί τε πολλὰς καὶ καλὰς ἕξοντες ὠφελείας, εἰ κρατήσειαν τῶν

2 λαβόντες] λαχόντες c. Müller 8 ἑαυτῶν εἴλης Ath. corr. Minas 10 ὑπολαβεῖν Ath. ὑπέλαβεν Minas 22 οὐδὲ Ath. οὔτε Kiessling 25 συλλαβεῖν Ath. συμβαλεῖν c. Kiessling

ἀποσκευῶν, καὶ μεγάλην παρέξοντες τοῖς πολεμίοις
ταραχήν, εἰ θεάσαιντο καιόμενον ἄφνω τὸν χάρακα·
ἀπεῖχε δὲ τὸ χωρίον τῆς μάχης οὐ πλέον εἴκοσι στα-
δίων. ταῦτά τε δὴ βουλευσάμενοι καὶ παρὰ αἰχμαλώ- 3
των τινῶν ἀκούσαντες, οὓς ἐπὶ ξυλισμὸν ἐλθόντας
εἰλήφεσαν, ὅτι κομιδῇ τινες ὀλίγοι φυλάττουσι τὸν
χάρακα, προσέβαλον αὐτοῖς πανταχόθεν. ὑπὲρ ὧν ἐπι-
γνοὺς ὁ Πύρρος ἱππέως τινὸς ἀπαγγείλαντος, ὃς ἀρ-
ξαμένου πολιορκεῖσθαι τοῦ χάρακος διεξελάσας τὸν
ἵππον καὶ τὰ κέντρα προσβαλὼν παρῆν διὰ ταχέων
— τὴν μὲν γὰρ ἄλλην δύναμιν ἐν τῷ πεδίῳ κατέχειν
ἔγνω καὶ μήτε ἀνακαλεῖν μήτε κινεῖν τὴν φάλαγγα —
τοὺς ἐλέφαντας καὶ ἀπὸ τῶν ἱππέων τοὺς εὐτολμοτά-
τους ἐπιλεξάμενος ἀποστέλλει βοηθοὺς τῷ χάρακι. ἔτι 4
δὲ τούτων πορευομένων ἐκπολιορκηθεὶς † ἄφνω ὁ
χάραξ ἀνάπτεται. καὶ οἱ διαπραξάμενοι τὸ ἔργον, ὡς
ἔμαθον ἀπὸ τῶν μετεώρων ἐπιόντας σφίσι τοὺς ὑπὸ
τοῦ βασιλέως ἀπεσταλμένους, εἰς ὄρους τινὸς κορυφὴν
⟨ἔφυγον⟩, ἔνθα οὔτε τοῖς θηρίοις ἀνελθεῖν ῥᾴδιον ἦν
οὔτε τοῖς ἵπποις. οἱ δὲ βασιλικοὶ τοῦ καιροῦ τῆς 5
βοηθείας ὑστερήσαντες ἐπὶ τοὺς ἐκ τοῦ τρίτου καὶ
τετάρτου τάγματος Ῥωμαίους ἐτράποντο πολὺ προεληλυθότας ἀπὸ τῶν ἄλλων, ὅτε τοὺς κατὰ σφᾶς πολε-

6 εἰλήφασι Ath. εἰλήφεσαν Minas 8 ὡς Ath. ὃς Dübner 10 παρὼν Ath. παρῆν Dübner 11 γὰρ del. Dübner | totum locum Müller sic constituit: διεξελάσας τὸν ἵππον [καὶ τὰ κέντρα] προσβαλὼν παρῆν 13 τοὺς δ' ἐλέφαντας Müller, qui verborum ambitum non intellexit 15 ὑφὸ Ath. ἄφνω Minas ὑφάπτεται ὁ χάραξ c. dubitanter Kiessling ἄφνω vix rectum est quamquam hoc capite p. 319, 2 legitur 19 ἔφυγον add. Dübner 20 οὐδὲ βασιλῖκοὶ Ath.

ῥάγη τὸ κατ' αὐτοὺς μέρος τῆς φάλαγγος, οὐδὲ οἱ τὴν πλησίον αὐτῶν λαβόντες στάσιν Ταραντῖνοι παρέμενον, ἀλλὰ ἐντρέψαντες κἀκεῖνοι τὰ νῶτα τοῖς πολεμίοις ἔφευγον. *Ath.*

III. Βασιλεὺς δὲ Πύρρος ὡς ἔμαθεν, ὅτι Λευκανοὶ καὶ Βρέττιοι καὶ Ταραντῖνοι φεύγουσι προτροπάδην, καὶ λελώβηται τὸ κατ' ἐκείνους μέρος ἡ φάλαγξ, ἐκ τῆς καθ' ἑαυτὸν ἴλης μέρος τι παραδοὺς ἑτέροις ἡγεμόσι, καὶ ἀπὸ τοῦ δεξιοῦ κέρατος ἑτέρους ἱππεῖς, ὅσους ὑπέλαβεν ἀρκεῖν, ἀποστέλλει βοηθοὺς τοῖς ὑπὸ τῶν Ῥωμαίων διωκομένοις. ἐν οἷς δὲ ταῦτα ἐγίνετο χρόνοις, παρὰ τοῦ δαιμονίου βοήθεια τοῖς Ῥωμαίοις
2 ἔκδηλος γίνεται. Δαυνίων γάρ τινες ἐκ πόλεως Ἀργυρίππων, ἣν νῦν Ἄρπους καλοῦσι, πεζοὶ μὲν τετρακισχίλιοι, ἱππεῖς δὲ ἀμφὶ τοὺς τετρακοσίους, ἐπίκουροι τοῖς ὑπάτοις ἀποσταλέντες, ὡς ἐγένοντο πλησίον τοῦ βασιλικοῦ στρατοπέδου τὴν κατὰ νώτου τῶν πολεμίων ἄγουσαν ὁδὸν ἀπὸ ταὐτομάτου πορευόμενοι καὶ τὸ πεδίον εἶδον μεστὸν ἀνθρώπων, ὀλίγον ἐπισχόντες αὐτόθι χρόνον καὶ λογισμοὺς παντοδαποὺς λαβόντες, καταβαίνειν μὲν ἀπὸ τῶν μετεώρων καὶ συλλαμβάνειν τῆς μάχης ἀπέγνωσαν, οὔτε ὅπῃ τι φίλιόν ἐστιν εἰδότες οὔτε ὅπῃ πολέμιον, οὔτ' ἐν ᾧ χωρίῳ στάντες ὠφέλειάν τινα παρέξουσι τοῖς σφετέροις δυνάμενοι συλλαβεῖν, κράτιστον δὲ ὑπέλαβον εἶναι περιστάντες τὸ στρατόπεδον τῶν πολεμίων ἐξελεῖν, ὡς αὐτοί τε πολλὰς καὶ καλὰς ἕξοντες ὠφελείας, εἰ κρατήσειαν τῶν

2 λαβόντες] λαχόντες c. Müller 8 ἑαυτῶν εἴλης Ath. corr. Minas 10 ὑπολαβεῖν Ath. ὑπέλαβεν Minas 22 οὐδὲ Ath. οὔτε Kiessling 25 συλλαβεῖν Ath. συμβαλεῖν c. Kiessling

ἀποσκευῶν, καὶ μεγάλην παρέξοντες τοῖς πολεμίοις
ταραχήν, εἰ θεάσαιντο καιόμενον ἄφνω τὸν χάρακα·
ἀπεῖχε δὲ τὸ χωρίον τῆς μάχης οὐ πλέον εἴκοσι στα-
δίων. ταῦτά τε δὴ βουλευσάμενοι καὶ παρὰ αἰχμαλώ- 3
των τινῶν ἀκούσαντες, οὓς ἐπὶ ξυλισμὸν ἐλθόντας
εἰλήφεσαν, ὅτι κομιδῇ τινες ὀλίγοι φυλάττουσι τὸν
χάρακα, προσέβαλον αὐτοῖς πανταχόθεν. ὑπὲρ ὧν ἐπι-
γνοὺς ὁ Πύρρος ἱππέως τινὸς ἀπαγγείλαντος, ὃς ἀρ-
ξαμένου πολιορκεῖσθαι τοῦ χάρακος διεξελάσας τὸν
ἵππον καὶ τὰ κέντρα προσβαλὼν παρῆν διὰ ταχέων
— τὴν μὲν γὰρ ἄλλην δύναμιν ἐν τῷ πεδίῳ κατέχειν
ἔγνω καὶ μήτε ἀνακαλεῖν μήτε κινεῖν τὴν φάλαγγα —
τοὺς ἐλέφαντας καὶ ἀπὸ τῶν ἱππέων τοὺς εὐτολμοτά-
τους ἐπιλεξάμενος ἀποστέλλει βοηθοὺς τῷ χάρακι. ἔτι 4
δὲ τούτων πορευομένων ἐκπολιορκηθεὶς † ἄφνω ὁ
χάραξ ἀνάπτεται. καὶ οἱ διαπραξάμενοι τὸ ἔργον, ὡς
ἔμαθον ἀπὸ τῶν μετεώρων ἐπιόντας σφίσι τοὺς ὑπὸ
τοῦ βασιλέως ἀπεσταλμένους, εἰς ὄρους τινὸς κορυφὴν
⟨ἔφυγον⟩, ἔνθα οὔτε τοῖς θηρίοις ἀνελθεῖν ῥᾴδιον ἦν
οὔτε τοῖς ἵπποις. οἱ δὲ βασιλικοὶ τοῦ καιροῦ τῆς 5
βοηθείας ὑστερήσαντες ἐπὶ τοὺς ἐκ τοῦ τρίτου καὶ
τετάρτου τάγματος Ῥωμαίους ἐτράποντο πολὺ προεληλυθότας ἀπὸ τῶν ἄλλων, ὅτε τοὺς κατὰ σφᾶς πολε-

6 εἰλήφασι Ath. εἰλήφεσαν Minas 8 ὡς Ath. ὃς Dübner 10 παρὼν Ath. παρῆν Dübner 11 γὰρ del. Dübner | totum locum Müller sic constituit: διεξελάσας τὸν ἵππον [καὶ τὰ κέντρα] προσβαλὼν παρῆν 13 τοὺς δ' ἐλέφαντας Müller, qui verborum ambitum non intellexit 15 ὑφὸ Ath. ἄφνω Minas ὑφάπτεται ὁ χάραξ c. dubitanter Kiessling ἄφνω vix rectum est quamquam hoc capite p. 319, 2 legitur 19 ἔφυγον add. Dübner 20 οὐδὲ βασιλῖκοὶ Ath.

μίους ἐτρέψαντο. προιδόντες δὲ αὐτῶν οἱ Ῥωμαῖοι τὴν ἔφοδον εἰς ὑψηλόν τι καὶ λάσιον χωρίον ἀναδρα-
6 μόντες εἰς τάξιν καθίσταντο. οἱ μὲν οὖν ἐλέφαντες οὐ δυνάμενοι πρὸς τὸν ὄχθον ἀναβαίνειν οὐδὲν αὐτοὺς ἠδίκουν, οὐδὲ αἱ τῶν ἱππέων ἶλαι, οἱ δὲ τοξόται ⟨καὶ⟩ σφενδονῆται βάλλοντες πανταχόθεν κατετίτρωσκόν τε καὶ διέφθειρον ἐξ αὐτῶν συχνούς. αἰσθήσεως δὲ γενομένης τοῖς ἡγεμόσι τῶν ἐκεῖ πραττομένων Πύρρος μὲν ἐκ τῆς ἀσπιστικῆς φάλαγγος Ἀθαμᾶνάς τε καὶ Ἀκαρνᾶνας καὶ τῶν Σαυνιτῶν τινας ἀποστέλλει ὁ δὲ τῶν Ῥωμαίων ὕπατος ἴλας τινὰς ἱππέων, ἐπειδὴ τοιαύτης ἔδει τοῖς πεζοῖς συμμαχίας. καὶ κατὰ τὸν ⟨αὐτὸν⟩ χρόνον ἑτέρα πάλιν ἐκεῖ γίνεται μάχη πεζῶν τε καὶ ἱππέων, καὶ φόνος ἔτι πλείων.

7 Ἀρξαμένου δὲ τοῦ βασιλέως καὶ οἱ τῶν Ῥωμαίων ὕπατοι τοὺς ἑαυτῶν ἀνεκάλουν περὶ καταφορὰν ὄντος τοῦ ἡλίου καὶ διαβιβάσαντες τὸν ποταμὸν ἀπῆγον εἰς τὸν χάρακα συσκοτάζοντος ἤδη. ἡ δὲ τοῦ Πύρρου δύναμις ἀπολωλεκυῖα σκηνάς τε καὶ ὑποζύγια καὶ ἀνδράποδα καὶ τὴν ἀποσκευὴν ἅπασαν ἐπὶ μετεώρου τινὸς χώρου παρενέβαλεν, ἔνθα τὴν ἐπιοῦσαν νύκτα διήγαγεν ὑπαίθριος, ἀσκευής, ἀθεράπευτος, οὐδὲ τῆς ἀναγκαίας εὐποροῦσα τροφῆς, ὥστε καὶ διαφθαρῆναι συχνοὺς τραυματίας, οἷς ἐνῆν ἔτι σώζεσθαι βοηθείας τε καὶ κηδεμονίας μεταλαβοῦσιν. τοιούτου τέλους

1 περοἰ/·ιδόντες Ath. προιδόντες c. Müller, recepit Wescher 4 ὄχλον Ath. λόφον Minas ὄχθον Kiessling 6 καὶ om. Ath. 9 πιστικῆς Ath. ἀσπιστικῆς Minas πεζικῆς Dübner cf. Götzeler Animadv. II 29 13 αὐτὸν add. Wescher 14 πλείω Ath. 18 συσκιάζοντος Ath. συσκοτάζοντος verissime Cobet Obs. p. 218

ἔτυχεν ἡ δευτέρα μάχη Ῥωμαίοις πρὸς Πύρρον περὶ πόλιν Ἄσκλον. *Ath.*

IV. Ὅτι περὶ τὴν Ῥηγίνων πόλιν πάθος γίγνεται δεινόν, οἷον καὶ περὶ Μεσσήνην ἐγένετο τὴν ἐν Σικελίᾳ, μεγάλης φυλακῆς καὶ προνοίας ἄξιον ἁπάσαις ταῖς πόλεσιν, ἀνάγκη δὲ τὰς αἰτίας καὶ τὰς προφάσεις τῶν κατασχόντων αὐτὴν κακῶν προειπεῖν. Ὅτε 2
Λευκανοὶ καὶ Βρέττιοι δυνάμεσι πολλαῖς ἐπὶ Θουρίους στρατεύσαντες τήν τε χώραν αὐτῶν ἐξεπόρθησαν καὶ τὴν πόλιν περιχαρακώσαντες ἐπολιόρκουν — ἐφ' οὓς ἀπεστάλη Ῥωμαίων δύναμις, ἧς ἡγεῖτο Φαβρίκιος ὁ ὕπατος — φοβηθέντες οἱ Ῥηγῖνοι, μὴ καὶ ἐπὶ σφᾶς οἱ βάρβαροι Ῥωμαίων ἀπελθόντων στρατιὰν ἀποστείλωσι, καὶ τὴν Ταραντίνων πόλιν ἐν ὑποψίαις ἔχοντες ἐδεήθησαν τοῦ Φαβρικίου δύναμιν τῇ πόλει λιπεῖν πρὸς τὰς αἰφνιδίους τῶν βαρβάρων ἐπιδρομάς, καὶ εἴ τις ἐκ τῶν Ταραντίνων ἐπιβουλή σφισιν ἀπροσδόκητος γένοιτο. καὶ λαμβάνουσι Καμπανοὺς μὲν ὀκτακοσίους, Σιδικίνους δὲ τετρακοσίους, ὧν ἁπάντων ἡγεῖτο Δέκιος Καμπανὸς τὸ γένος. οὗτος ὁ ἀνήρ, ὅτε κατάγοιτο 3
παρὰ τοὺς ἐπιφανεστάτους τῶν ἐπιχωρίων ἑστιάσεις τε λαμπρὰς κατὰ τὴν φιλοφροσύνην τῶν ξένων ἑστιώμενος ⟨καὶ⟩ κατασκευὰς οἰκιῶν λαμπρὰς καὶ βαθυπλού-

4 Μεσήνην hic et infra ter Esc., semel tamen Μεσσήνην 13 ἀπελυθόντων Esc. ἀπεληλυθότων Feder ἀπολυθέντων vel ἀπελθόντων Müller 14 ἐν τῇ ὑποψίαις Esc., sed τῇ a librario iam deletum ἐν ὑποψίαις Feder ἐν ταῖς ὑποψίαις Müller cf. IV 55, 4 15 ἐν τῇ πόλει c. dubitanter Feder 16 ἤ τις Esc. εἴ τις Müller 19 σικινοὺς Esc. Σιδικίνους Feder Σιτικινοὺς Müller 20 ὅτε] ὁπότε c. Naber Mnem. 30, 260 21 παρὰ τοῖς ἐπιφανεστάτοις c. praeter rem Kiessling | τε del. Kiessling 23 καὶ add. Feder

τους παρὰ πολλοῖς ὁρῶν κατ' ἀρχὰς μὲν ἐμακάριζε τοὺς Ῥηγίνους τῆς εὐδαιμονίας, ἔπειθ' ὡς ἀναξίοις ἐφθόνει, τελευτῶν δ' ὡς πολεμίοις ἐπιβουλεύειν ἤρ-
4 ξατο. καὶ προσλαβὼν κοινωνὸν τῶν ἀπορρήτων βουλευμάτων τὸν γραμματέα, πανοῦργον ἄνδρα καὶ πάσης πονηρίας ἀρχιτέκτονα, πρὸς αὐτοῦ πάντας Ῥηγίνους ἀποκτεῖναι καὶ τὴν εὐδαιμονίαν αὐτῶν τὴν μὲν αὐτὸς κατασχεῖν, τὴν δὲ τοῖς στρατιώταις διελεῖν, λέγοντος, ὅτι Μεσσήνην ὀλίγῳ πρότερον εἷλον .... ὑφ' οὗ πεισθεὶς καὶ τὸν τρόπον τῆς ἐπιχειρήσεως σὺν αὐτῷ βουλευσάμενος, τοὺς ταγματάρχας καὶ τοὺς ἐπιφανεστάτους τῶν στρατιωτῶν εἰς τὸ συνέδριον ἐκάλεσεν· δεηθεὶς δὲ ἁπάντων ἀπορρήτους φυλάξαι τοὺς λόγους κίνδυνον ἔφη μέγαν αὐτῷ ἐπικρεμασθῆναι πολλῆς πάνυ φυλακῆς καὶ ταχείας δεόμενον, ὡς τοῦ καιροῦ μὴ διδόντος ἀναστροφήν. πεπυσμένους γὰρ τὴν Πύρρου διάβασιν τοὺς ἐπιφανεστάτους Ῥηγίνων κρύφα διαπέμπεσθαι πρὸς αὐτὸν ὑπισχνουμένους κατασφάξειν
5 τὴν φρουρὰν καὶ παραδώσειν ἐκείνῳ τὴν πόλιν. ἔτι ταῦτα λέγοντος αὐτοῦ παρῆν τις ἐγκάθετος, αὐχμηρὸς ὡς ἐξ ὁδοῦ, γράμματα ὑπ' αὐτοῦ Δεκίου κατεσκευασμένα κομίζων, ὡς παρὰ ξένου δή τινος ἰδίου, ἐν οἷς

2 ὡς ἀξίους Esc. corr. Feder 4 κοινωνοὺς Esc. corr. Feder 9 ὅτι καὶ Μεσσήνην c. Müller | ὀλίγῳ πρότειχον ὑφ' οὗ Esc. ὀλίγῳ πρότερον [ὁμοίῳ τινὶ τρόπῳ καταλαβόντες οἱ Μαμερτῖνοι] ἔσχον c. Feder, qui haec vel similia quaedam excidisse suspicatur; ὀλίγῳ πρότερον εἷλον πεισθεὶς c. Müller, qui, si ὑφ' οὗ recte se habet, pro πρὸς αὐτοῦ v. 6 legendum esse παραινοῦντος αὐτοῦ vel tale quid arbitratur; verba corrupta sunt 11 γραμματάρχας Esc. corr. Feder; cf. infra p. 328, 10 14 αὐτῷ] αὐτοῖς c. dubitanter Kiessling | ἐπικρεμασθένα Esc. ἐπικρεμασθῆναι Feder, cum participio ἐπικρεμασθέντα locus non sit; participium tamen Müller recepit 21 ὅς ἐξ ὁδοῦ Esc. corr. Feder

ἐδηλοῦτο μέλλων ὁ βασιλεὺς ἀποστέλλειν ἐπὶ τὸ Ῥή-
γιον πεντακοσίους στρατιώτας ὡς καταληψομένους τὴν
πόλιν, ἀνοίξειν ὑπεσχημένων αὐτοῖς Ῥηγίνων τὰς
πύλας. Τινὲς μὲν λέγουσι τὸν γραμματηφόρον ὑπὸ 6
Φαβρικίου τοῦ ὑπάτου κατὰ σπουδὴν ἀπεστάλθαι, τὴν
δ' ἐπιστολὴν ταῦτα περιέχειν, ἃ μικρῷ πρότερον ἔφην,
καὶ παραινεῖν Δεκίῳ φθάσαι τοὺς Ῥηγίνους· ἔχει δὲ
λόγον ἀμφότερα. ἔδειξε δὴ ταῦτα τοῖς ἐν τῷ συν-
εδρίῳ παροῦσι, καὶ ἐπεὶ τάχιστα νὺξ ἐγένετο, φρά-
σαντες οἱ ταγματάρχαι τοῖς ἄλλοις στρατιώταις, ἃ
διενοοῦντο πράττειν, ἐπὶ τὰς οἰκίας τῶν Ῥηγίνων
ἐχώρουν, καὶ τοὺς μὲν εὐωχουμένους ἔτι, τοὺς δὲ
κοιμωμένους καταλαβόντες ἐν τοῖς ἰδίοις κατασφάτ-
τουσιν ἐφεστίοις ἀντιβολοῦντας καὶ γόνασι προσκυλιο-
μένους καὶ ἀνθ' ὅτου ταῦτα πάσχουσι μαθεῖν ἀξιοῦν-
τας, οὔτε ἡλικίας οὔτε τύχης οὐδεμιᾶς φειδόμενοι.
φονεύσαντες δὲ τοὺς ἄνδρας ἔτι δεινότερον ἔργον ἐξ- 7
ειργάσαντο, τάς τε ⟨γὰρ⟩ γυναῖκας τῶν ἰδίων ξένων
καὶ τὰς παρθένους διελόμενοι συνῆσαν ἀκούσαις, ὧν
τοὺς πατέρας καὶ τοὺς ἄνδρας ἐν ὀφθαλμοῖς ἀπέκτει-
ναν. Δέκιος δὲ ἀντὶ φρουράρχου τύραννος ἐγεγόνει 8
τῆς Ῥηγίνων πόλεως, καὶ λογιζόμενος, ὅτι δώσει Ῥω-
μαίοις ὧν ἔδρασε δίκας, Καμπανοῖς τοῖς κατέχουσι
Μεσσήνην συμμαχίαν τίθεται μεγίστην ἰσχὺν τῶν ἐν
Σικελίᾳ πόλεων ἔχουσι, καὶ τὴν πόλιν διὰ πολλῆς εἶχε
φυλακῆς. *Esc.*

1 μέλλειν Esc., sed cum μέλλων Ambros. habeat, Feder rectissime e cod. Ambr. hoc recepit 4 τινὲς μὲν οὖν c. Feder 7 φθάσειν Esc. φθάσαι Feder 11 διενοῦντο Esc. corr. Feder 18 γὰρ add. dubitanter Feder 21 δὲ] δὴ c. Kiessling

V. Ἡ δὲ βουλὴ μαθοῦσα τὰ περὶ τοὺς Ῥηγίνους
πάθη παρὰ τῶν διαφυγόντων τὸν ὄλεθρον οὐδὲ τὸν
ἐλάχιστον ἀναμείνασα χρόνον ἀποστέλλει στρατιὰν
νεοσύλλεκτον ἄγοντα ἑτέραν τὸν κατὰ πόλιν στρατη-
2 γόν. φθάσασα δὲ τὴν Ῥωμαίων ἄφιξιν ἡ τοῦ δαιμο-
νίου πρόνοια τὸν ἡγεμόνα τῆς φρουρᾶς Δέκιον ἀντὶ
τῶν ἀνοσίων βουλευμάτων εἰς τὰ κυριώτατα τοῦ ζῆν
ἐτιμωρήσατο μέρη, νόσον εἰς τοὺς ὀφθαλμοὺς ἐμβα-
λοῦσα δεινὰς περιωδυνίας φέρουσαν· ἣν ἰάσασθαι
προθυμούμενος ἄνθρωπος ἐκ Μεσσήνης ἰατρὸν μετα-
πέμπεται, Δεξικράτην ὄνομα, πυνθανόμενος ἄριστον
εἶναι τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν ἰατρῶν, ἀγνοῶν δὲ
ὅτι Ῥηγῖνος ἦν τὸ γένος· ὃς ἀφικόμενος εἰς τὸ Ῥήγιον
ἐναλείφει τοὺς ὀφθαλμοὺς αὐτοῦ καυστικῷ φαρμάκῳ
καὶ διακελευσάμενος ἀνέχεσθαι τὰς περιωδυνίας, ἕως
ἂν ἀφίκηται, καταβὰς ἐπὶ θάλατταν εἰς τὸ παρ-
εσκευασμένον πορθμεῖον ἐνέβη καὶ πρὶν αἰσθέσθαι
3 τινὰ τὸ πραχθὲν εἰς Μεσσήνην ἀπέπλευσεν. Δέκιος

3 *ἀναμείνασα* in codice compendio, cui reddendo operae deficiant, admodum contractum legi adn. Feder | *στρατιὰν νεοσύλλεκτον ἄγοντα ἕτερον τῶν κατὰ πόλιν στρατηγῶν* c. Müller praeeunte Federo, *τὸν* ante *ἕτερον* (sic) Kiessling addidit; nihil mutandum esse Cobet Obs. p. 218 docet  9 *περιοδύνας φερούσας* Esc. corr. Feder  10 *ἄνθρωπον* corr. Feder

---

v. 18. *Δέκιός τις Καμπανὸς φρούραρχος ἐν τῇ Ῥηγίνων πόλει καταλειφθεὶς ὑπὸ Φαβρικίου Ῥωμαίων ὑπάτου, καὶ τῆς εὐδαιμονίας τῆς πόλεως ἐρασθείς, ἐπιστολὴν πλασάμενος ὡς παρὰ ξένου δή τινος ἰδίου, ἐν ᾗ ἐδηλοῦτο μέλλων ὁ βασιλεὺς Πύρρος ἀποστέλλειν ἐπὶ τὸ Ῥήγιον πεντακισχιλίους ἄνδρας καταληψομένους τὴν πόλιν, ἀνοίξειν ὑποσχομένων αὐτοῖς Ῥηγίνων τὰς πύλας, ταύτην εὑρὼν πρόφασιν τοὺς Ῥηγίνους πάντας* (cod. *πέντε*) *κατέσφαξε, καὶ τὰς αὐτῶν* (cod. *αὐτὰς*) *γυναῖκας καὶ παρθένους μετὰ τῶν στρατιωτῶν διελόμενος, τύραννος τῆς πόλεως ἦν· μετὰ δὲ νοσήσας τοὺς ὀφθαλμοὺς ἰατρὸν ἐκ Μεσήνης μεταπέμπεται, Δεξικράτην ὄνομα, πυνθανόμενος ἄριστον αὐτὸν εἶναι.* Ambr.

*δὲ μέχρι μέν τινος ἐκκαιομένης τῆς ὁράσεως ἀλγηδόνας τε δεινὰς ὑπομένων ἠνείχετο τὸν ἰατρὸν προσδεχόμενος, ὡς δὲ πολὺς ἐγίγνετο ⟨ὁ⟩ χρόνος καὶ τὰς περιωδυνίας ἀδύνατος ἦν ἔτι φέρειν, σπογγίσας τὸ φάρμακον καὶ τοὺς ὀφθαλμοὺς ἀνοίξας ἔγνω τὰς ὄψεις ἐκκεκαυμένος καὶ τὸν ἐξ ἐκείνου χρόνον διέμεινε τυφλός· ἡμέρας τε ὀλίγας ἔτι περιενέγκας ὑποχείριος τοῖς Ῥωμαίοις γίγνεται συλληφθεὶς ὑπὸ τῶν ἰδίων. ταύτην γὰρ οἰόμενοί τινες ἀπολογίαν [Φαβρικίου] τήν* 4 *τε πόλιν ἀνέῳξαν τῷ στρατηγῷ καὶ τὸν Δέκιον δήσαντες παρέδοσαν Φαβρικίῳ. ὁ δὲ τὴν μὲν πόλιν ἀποδίδωσι τοῖς περιοῦσι Ῥηγίνων, τοὺς δὲ φρουροὺς ἅπαντα καταλιπεῖν αὐτόθι κελεύσας ἀπήγαγεν οὐδὲν ἐπιφερομένους ἔξω τῶν ὅπλων· ἐξ ὧν τοὺς κορυφαιο-* 5 *τάτους ἄνδρας ἐπιλεξάμενος, οὓς ἀπέφαινον οἱ λοιποὶ τῶν ἀνοσίων βουλευμάτων εἶναι κοινωνούς, δεσμίους εἰς Ῥώμην ἤγαγεν· οὓς ἐν ἀγορᾷ μάστιξιν αἰκισάμενοι, ὡς ἦν πάτριον ἐπὶ τοῖς κακούργοις κείμενον, ἀπέκτειναν τῷ πελέκει τὰς κεφαλὰς ἀποκοπέντας, ἐκτὸς Δεκίου καὶ τοῦ γραμματέως· οὗτοι δὲ παρακρουσάμενοι τοὺς φυλάττοντας ἢ χρήμασιν ὠνησάμενοι τὸ μὴ μεθ' ὕβρεως ἀποθανεῖν ἑαυτοὺς διεχειρίσαντο. καὶ ταῦτα μὲν ἐπὶ τούτοις.* Esc.

VI. (19, 2) *Αὐτὸς δὲ ὁ Πύρρος τοὺς Ὁμηρικοὺς ἐπιφθεγξάμενος στίχους, οὓς Ἕκτωρ αὐτῷ πεποίηται πρὸς Αἴαντα λέγων, ὡς ὑπὸ Ῥωμαίων εἰρημένους πρὸς ἑαυτόν·*

3 *ὁ* add. Feder 6 *ἐκκεκαυμένας* Müller, quod Kiessling recepit; cf. Naber Mnem. 30, 260 9 *Φαβρικίου* Kiessling delevit praeeunte Federo, qui utrum stare posset an supplendum esset *παρὰ* vel *πρὸς* dubitavit 12 *τοὺς δὲ φρουρὰς* Esc. corr. Feder 24 *ὃς* Ambr. *οὓς ὁ* Maius

*Τῷ σε καὶ οὐκ ἐθέλω βαλέειν, τοιοῦτον ἐόντα,*
*Λάθρῃ ὀπιπτεύσας, ἀλλ' ἀμφαδόν, αἴ κε τύχοιμι*

*καὶ μετὰ τοῦτ' εἰπών, ὅτι κινδυνεύει πονηρὰν πεποιῆσθαι τὴν ὑπόθεσιν τοῦ πολέμου πρὸς ἀνθρώπους ὁσιωτάτους Ἑλλήνων καὶ δικαιοτάτους, μίαν ἔφη θεωρεῖν ἀπαλλαγὴν τοῦ πολέμου καλὴν καὶ συμφέρουσαν, εἰ φίλους ἀντὶ πολεμίων αὐτοὺς ποιήσαιτο, φιλανθρωπίας τινὸς μεγάλης καταρξάμενος.*

2 (3) *Προαχθῆναι δὲ κελεύσας τοὺς Ῥωμαίων αἰχμαλώτους καὶ δοὺς ἅπασιν ἐσθῆτας ἐλευθέροις πρεπούσας σώμασι καὶ ἐνοδίους δαπάνας, παρεκάλεσεν αὐτοὺς μεμνῆσθαι, οἷος εἰς αὐτοὺς ἐγένετο, καὶ τοῖς ἄλλοις λέγειν, ὅταν δ' εἰς τὰς ἑαυτῶν ἔλθωσι πατρίδας, πάσῃ προθυμίᾳ πράττειν, ὅπως φίλους ποιήσουσι τὰς πόλεις.*

3 *Ἄμαχον δή τινα ἰσχὺν τὸ βασιλικὸν ἔχει χρυσίον, καὶ οὐδεμία εὕρηται πρὸς τοῦτο τὸ βέλος ἀνθρώποις φυλακή. Ambr.*

VII. (19, 4) *Ὅτι Κλεινίας ὁ Κροτωνιάτης τύραν-* 2358
*νος ὢν ἀφείλετο τὴν ἐλευθερίαν ταῖς πόλεσι, φυγάδας*
*ἀθροίσας ἐκ παντὸς τόπου καὶ δούλους ἐλευθερώσας·*
*οἷς τὴν τυραννίδα κρατυνάμενος τοὺς ἐπιφανεστάτους* 2359
*Κροτωνιατῶν οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ ἐξέβαλεν ἐκ*
*τῆς πόλεως· Ἀναξίλας δὲ Ῥηγίνων τὴν ἀκρόπολιν κατ-*
*ελάβετο καὶ πάντα τὸν τοῦ βίου χρόνον κατασχὼν*
*Λεόφρονι τῷ παιδὶ τὴν ἀρχὴν κατέλιπε. καὶ ἄλλοι*
*ἀπὸ τούτων δυναστείας ἐν ταῖς πόλεσι κατασκευάσαν-*

5 *ὁσιωτέρους* et *δικαιοτέρους* c. Struve 11 *ἐν ὁδίνους* Ambr. corr. Maius 13 *πᾶσι* Ambr. corr. Maius 19 *ταῖς πόλεσι* Turon. *τὰς πόλεις* Reiske, sed cf. Kühner gram. graec. II 281 a 10 d; Thuc. VII 5 25 *κατέλειπε* Turon. corr. Reiske

τες πάντα τὰ πράγματα διέφθειραν. (5) Ἡ δὲ τελευ- 2
ταία τε καὶ πασῶν μεγίστη κάκωσις ἁπάσαις ταῖς πό-
λεσιν ἡ Διονυσίου τυραννὶς ἐγένετο τοῦ κρατήσαντος
Σικελίας. διέβη γὰρ εἰς Ἰταλίαν ἐπὶ Ῥηγίνους Λοκρῶν
ἐπικαλεσαμένων, οἷς ἦσαν οἱ Ῥηγῖνοι διάφοροι· καὶ
συνελθόντων ἐπ' αὐτὸν Ἰταλιωτῶν δυνάμεσι μεγάλαις
συνάψας μάχην ἀπέκτεινε συχνοὺς καὶ πόλεις αὐτῶν
δύο κατὰ κράτος ἐξεῖλεν. εἶτ' αὖθις ἑτέραν ποιησά- 3
μενος διάβασιν Ἱππωνιεῖς ἀνέστησεν ἐκ τῆς ἑαυτῶν,
οὓς ἀπήγαγεν εἰς Σικελίαν, καὶ Κροτωνιάτας ἐξεῖλε
καὶ Ῥηγίνους καὶ διετέλεσεν ἔτη δώδεκα τούτων τυ-
ραννῶν τῶν πόλεων. ἔπειθ' οἱ μὲν τὸν τύραννον
2360 δεδιότες τοῖς βαρβάροις αὐτοὺς ἐνεχείριζον, οἱ δ' ὑπ'
ἐκείνων πολεμούμενοι τῷ τυράννῳ τὰς πόλεις παρ-
εδίδοσαν· ὑφ' ὅτου δὲ πάσχοιεν, ἀεὶ κακῶς δυσχεραί-
νοντες εὐρίπου δίκην τῇδε καὶ τῇδε πρὸς τὸ συντυχὸν
ἐτράποντο. *Vales.*

VIII. (19, 6) Ὅτι Πύρρος διέβη τὸ δεύτερον εἰς Ἰταλίαν οὐ χωρούντων αὐτῷ τῶν ἐν Σικελίᾳ πραγμάτων κατὰ νοῦν διὰ τὸ μὴ βασιλικὴν φανῆναι τὴν ἡγεμονίαν αὐτοῦ ταῖς ἐπιφανεστάταις πόλεσιν, ἀλλὰ δεσποτικήν. εἰσαχθεὶς γὰρ εἰς Συρακούσας ὑπό τε Σωσιστράτου τοῦ κρατοῦντος τῆς πόλεως τότε καὶ Θοίνωνος τοῦ φρουράρχου, παραλαβὼν παρ' ἐκείνων τὰ χρήματα καὶ ναῦς χαλκεμβόλους ὁμοῦ τι διακοσίας καὶ πᾶσαν ὑφ' ἑαυτῷ ποιησάμενος Σικελίαν πλὴν Λιλυβαίου πόλεως, ἣν ἔτι μόνην Καρχηδόνιοι κατεῖχον, εἰς αὐθάδειαν τυραννικὴν ἐτρέπετο. *Vales. et Suidas s. v.* Πύρρος.

24 τὰ om. Suidas 28 ἐτρέπετο Turon. et Suidas ἐτράπετο Reiske

(7) *Τάς τε γὰρ οὐσίας τῶν Ἀγαθοκλέους οἰκείων
ἢ φίλων ἀφαιρούμενος τοὺς παρ' ἐκείνου λαβόντας
τοῖς ἑαυτοῦ φίλοις ἐχαρίσατο καὶ τὰς μεγίστας ἐν ταῖς
πόλεσιν ἀρχὰς τοῖς ἰδίοις ὑπασπισταῖς καὶ λοχαγοῖς
προσένειμεν, οὐ κατὰ τοὺς ἐπιχωρίους ἑκάστης πόλεως* 2361
*νόμους οὐδ' εἰς τὸν εἰωθότα χρόνον, ἀλλ' ὡς αὐτῷ*
2 *φίλον ἦν. δίκας τε καὶ ἀμφισβητήσεις καὶ τὰς ἄλλας
πολιτικὰς οἰκονομίας ἁπάσας τὰς μὲν αὐτὸς διῄτα, τὰς
δὲ τοῖς περὶ τὴν αὐλὴν ἀναστρέφειν καὶ διακρίνειν
ἀπεδίδου ἀνθρώποις οὐθὲν ἕτερον δρῶσιν [ἢ] ὅ τι μὴ
κερδαίνειν καὶ καθηδυπαθεῖν τὰς εὐπορίας· καὶ διὰ
ταῦτα πάντα βαρὺς ταῖς ὑποδεξαμέναις πόλεσι ⟨καὶ⟩*
3 *μισητὸς ἦν.* (8) *αἰσθόμενος δ' ὑπούλως ἤδη πολλοὺς
πρὸς ἑαυτὸν ἔχοντας εἴς τε τὰς πόλεις φρουρὰς εἰσῆγε
πρόφασιν ποιούμενος τὸν ἀπὸ Καρχηδονίων πόλεμον
καὶ τοὺς ἐπιφανεστάτους ἄνδρας ἐξ ἑκάστης πόλεως
συλλαμβάνων ἀπέκτεινεν, ἐπιβουλὰς καὶ προδοσίας
εὑρηκέναι ψευσάμενος· ἐν οἷς ἦν καὶ Θοίνων ὁ φρού-
ραρχος, ὃς ὑπὸ πάντων ὡμολόγητο πλείστην σπουδὴν
καὶ προθυμίαν εἴς τε τὴν διάβασιν αὐτῷ καὶ τὴν
παράληψιν τῆς νήσου παρεσχῆσθαι· καὶ γὰρ ὑπήντη-
σεν αὐτῷ ναυτικὸν στόλον ἄγων, καὶ τὴν ἐν ταῖς*
4 *Συρακούσαις νῆσον, ἣν αὐτὸς ἐκράτει, παρέσχεν. ἐπι-* 2362
*χειρήσας δὲ καὶ Σωσίστρατον συλλαβεῖν διήμαρτε τῆς
ἐλπίδος προαισθομένου τὴν ἐπιβουλὴν τοῦ ἀνδρὸς καὶ
φυγόντος ἐκ τῆς πόλεως. ἀρξαμένων δὲ ταράττεσθαι*

10 *δρῶσιν ἢ ὅτι* Turon. *ἢ* Reiske delevit 11 *καθηδυπαθεῖν*] cf. Krebs Zur Rect. d. Casus München 1890 III 14 12 *καὶ* add. Reiske 18 *ἦν* add. Peirescianus (Turon.) cf. Mendelssohn Rhein. Mus. 38, 128 | *φύλαρχος* Turon. *φρούραρχος* Valesius

*τῶν πραγμάτων καὶ ἡ τῶν Καρχηδονίων πόλις καιρὸν ἐπιτήδειον εἰληφέναι νομίζουσα πρὸς ἀνάκτησιν τῶν ἀπολωλότων χωρίων στρατιὰν ἀπέστειλεν ἐπὶ τὴν νῆσον. Vales.*

IX. (19, 9) *Ὅτι ἀμηχανοῦντα τὸν Πύρρον καὶ πόρους παντοδαποὺς ἐπιζητοῦντα ὁρῶντες [αὐτὸν] οἱ κάκιστοι καὶ ἀνοσιώτατοι τῶν φίλων, Εὐήγορος Θεοδώρου καὶ Βάλακρος Νικάνδρου καὶ Δείναρχος Νικίου, τῶν ἀθέων καὶ ἐξαγίστων δογμάτων ζηλωταί, πόρον ὑποτίθενται χρημάτων ἀνοσίων, τοὺς ἱεροὺς*
*ἀνοῖξαι τῆς Περσεφόνης θησαυρούς. ἦν γὰρ ἱερὸν ἐν* 2
*τῇ πόλει ταύτῃ ἅγιον καὶ πολὺν χρυσὸν ἐκ παντὸς τοῦ χρόνου πεφυλαγμένον ἄθικτον ἔχον, ἐν ᾧ χρυσός τις ἄβυσσος, ἀόρατος τοῖς πολλοῖς κατὰ γῆς κείμενος.*
2363 *ὑπὸ τούτων ἐξαπατηθεὶς τῶν κολάκων καὶ* ⟨*διὰ*⟩ *τὴν ἀνάγκην κρείττονα παντός,* ⟨*τοῖς*⟩ *εἰσηγησαμένοις τὴν γνώμην ἀνδράσι διακόνοις τῆς ἱεροσυλίας ἐχρήσατο, καὶ τὸν ἐξελαθέντα χρυσὸν ἐκ τοῦ ἱεροῦ ναυσὶν ἐνθέμενος μετὰ τῶν ἄλλων χρημάτων ἀπέστειλεν εἰς Τάραντα πολλῆς μεστὸς εὐθυμίας γενόμενος. Vales. et Suidas s. v. Πύρρος.*

5 aut *τὸν Πύρρον* aut *αὐτὸν* delendum esse Reiske censet 10 *ἀνοσίων* Turon *ἀνόσιον* c. Reiske 12 pro *ταύτῃ* c. Reiske *πάνυ* 15 **καὶ τὴν ἀνάγκην κρείττονα παντὸς ἡγησάμενος τὴν γνώμην. ἀνδράσι* Turon. *καὶ διὰ τὴν ἀνάγκην κρείττονα παντὸς ἡγησαμένων τὴν γνώμην ἀνδράσι* Suidas *ἡγησάμενος* pro *ἡγησαμένων* c. Portus *κρείττονα πάντως εἶναι νομίσας τοῖς ἡγησαμένοις τὴν γνώμην* e q. s. Valesius *καὶ τὴν ἀνάγκην κρείττονα παντὸς ἡγησάμενος πράγματος τοῖς εἰσηγησαμένοις τὴν γνώμην* c. Kiessling *καὶ διὰ τὴν ἀνάγκην κρείττονα παντὸς τοῖς ἡγησαμένοις τὴν γνώμην* ego 18 **ἐξελθόντα* Turon. om. Suidas *ἐξαχθέντα* sive *ἐξελχθέντα* (sic!) sive *ἐξενεχθέντα* c. Reiske *συληθέντα* c. Naber Mnem. 30, 261 *ἐξελαθέντα* ego

(10) Ἡ δὲ δικαία πρόνοια τὴν αὐτῆς δύναμιν ἀπεδείξατο. ὡς γὰρ ἀνήχθησαν αἱ νῆες ἀπὸ τοῦ λιμένος, τὴν μὲν ἀπόγειον αὖραν λαβοῦσαι προέκοψαν· ἄνεμος δ' ἐναντίος γενόμενος καὶ δι' ὅλης νυκτὸς κατασχὼν ἃς μὲν κατέκλυσεν, ἃς δ' εἰς τὸν τῆς Σικελίας πορθμὸν ἐξέβαλεν, ἐν αἷς δὲ παρεκομίζετο τὰ ἀναθήματα καὶ ὁ προσενεχθεὶς ἐκ τῶν ἀναθημάτων χρυσὸς ἐπὶ τοὺς Λοκροὺς ἐξώκειλεν αἰγιαλούς· καὶ τοὺς μὲν πλέοντας ἐν αὐταῖς ἐν τῇ παλιρροίᾳ τῶν κυμάτων κατακλυζομένους διέφθειρε, τὰ δ' ἱερὰ χρήματα διασπασθεισῶν τῶν νεῶν ἐπὶ τὰς ἔγγιστα τῶν
2 Λοκρῶν θῖνας ἐξέβρασεν. ὁ δὲ βασιλεὺς καταπλαγεὶς 2364
ἅπαντα τὸν κόσμον καὶ τοὺς θησαυροὺς ἀπέδωκε τῇ θεῷ ὡς παραιτησόμενος αὐτῆς διὰ τοῦτο τὸν χόλον·

Νήπιος, οὐδὲ τὸ ᾔδει, ὃ οὐ πείσεσθαι ἔμελλεν.
Οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων,

3 ὡς Ὁμήρῳ εἴρηται. ἀλλ' ἐπειδὴ τῶν ἱερῶν ἐτόλμησεν ἅψασθαι χρημάτων καὶ πόρον ὑποθέσθαι πολέμων, ἀνόνητον ἐποίησε τὴν ἔννοιαν αὐτοῦ τὸ δαιμόνιον, ἵνα παράδειγμα καὶ παίδευμα πᾶσιν ἀνθρώποις γένοιτο τοῖς μεθ' ἑαυτόν. *Vales.*

X. (19, 11) Διὰ τοῦτο καὶ ὑπὸ Ῥωμαίων ἡττήθη ὁ Πύρρος κατὰ κράτος· οὐ γὰρ στρατιά τις φαύλη καὶ ἀνάσκητος ἦν αὐτῷ, ἀλλ' ἡ κρατίστη τῶν τότε οὐσῶν ἐν Ἕλλησι καὶ πλείστους ἀγωνισαμένη πολέμους· οὐδὲ

1 αὐτῆς Turon. corr. Kiessling 5 κατέκλυσεν] κατέδυσεν inconsulte c. Cobet Obs. p. 219 7 προσενεχθεὶς Turon. προενεχθεὶς Reiske qui totum locum non intellexit 8 ἐπὶ τοὺς Λοκρῶν c. Grasberger Philol. 28, 349 14 δι' αὐτοῦ Suidas s. v. παραιτησόμενος 15 οὐ om. Turon.

πλῆθος ἀνδρῶν τῶν τότε παραταξαμένων ὀλίγον, ἀλλ' ὅσον καὶ τριπλάσιον εἶναι, οὐδὲ στρατηγὸς τῶν ἐπιτυχόντων τις, ἀλλ' ὃν ἅπαντες ὁμολογοῦσι μέγιστον γενέσθαι τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν ἀκμασάντων στρατηγῶν, οὐδὲ τόπου φύσις ἄνισος οὔτ' ἐπικουρίας 2
2365 τοῖς ἑτέροις ἄφιξις αἰφνίδιος οὔτ' ἄλλη τις συμφορὰ καὶ πρόφασις ἀπροσδόκητος ἐπιπεσοῦσα συνέτριψε τὰ Πύρρου πράγματα, ἀλλ' ὁ τῆς ἀσεβηθείσης θεᾶς χολός, ὃν οὐδ' αὐτὸς ἠγνόει Πύρρος, ὡς Πρόξενος ὁ συγγραφεὺς ἱστορεῖ καὶ αὐτὸς ὁ Πύρρος ἐν τοῖς ἰδίοις ὑπομνήμασι γράφει. *Vales.*

XI. (19, 12) Ἔμελλον ὅπερ εἰκὸς ⟨οἱ⟩ ὁπλῖται κράνεσι καὶ θώραξι καὶ θυρεοῖς βαρεῖς πρὸς ὀχθηρὰ χωρία καὶ μακρὰς ἀτραποὺς πορευόμενοι καὶ οὐδὲ ταύτας λεωφόρους, ἀλλ' αἰγότριβας δι' ὕλης τε καὶ κρημνῶν τάξιν τε οὐδεμίαν φυλάξειν, καὶ πρὶν ἐπιφανῆναί σφισι τοὺς πολεμίους ἐξασθενήσειν τὰ σώματα δίψει καὶ κόπῳ.

Τοὺς τοῖς ἱππικοῖς δόρασιν ἐκ διαλαβῆς ἀμφοτέραις ταῖς χερσὶ κρατουμένοις μαχομένους συστάδην καὶ τὰ πολλὰ κατορθοῦντας ἐν ταῖς μάχαις Π ρ ί γ κ ι π α ς Ῥωμαῖοι καλοῦσιν. *Ambr.* 2

XII. (19, 13) Ἐν τῇ νυκτί, ἐν ᾗ τὴν στρατιὰν ἀπάξειν ὁ Πύρρος ἔμελλεν ἐπὶ τὸ ὄρος τῷ Ῥωμαίων ἐπιθησόμενος χάρακι λάθρα, ἔδοξε κατὰ τοὺς ὕπνους

1 ἀνδρῶν τῶν ἀντιπαραταξαμένων ἔλαττον c. Hertlein Hermes X 422 5 ἐπικουρία τοῖς ἑτέροις ἢ ἄφιξις Turon. ἢ. τοῖς ἐχθροῖς ἢ ἄφ. Valesius ἐπικουρίας τοῖς ἑτέροις ἄφ. c. Reiske 12 οἱ add. Struve 20 συστάδν Ambr. corr. Maius 21 κατορθοῦντας τὰς Ambr. κατορθοῦντας . . . . . οὓς Maius

ἐκπεσεῖν αὐτοῦ τοὺς πλείους ὀδόντας καὶ πλῆθος αἵ-
2 ματος ἐκ τοῦ στόματος φέρεσθαι. ταραχθεὶς δὲ διὰ
τὴν ὄψιν καὶ μεγάλην ἔσεσθαι συμφορὰν μαντευόμενος
— ἤδη γὰρ αὐτῷ καὶ πρότερον τοιαύτην ὄψιν ἐνυπνίου
θεασαμένῳ δεινή τις συνέβη δυσποτμία — ἐβούλετο
μὲν ἐπισχεῖν τὴν ἡμέραν ἐκείνην, οὐκ ἴσχυσε δὲ νι-
κῆσαι τὴν πεπρωμένην ἐναντιουμένων τῶν φίλων πρὸς
τὴν ἀναβολὴν καὶ μὴ μεθεῖναι τὸν καιρὸν ἐκ τῶν
χειρῶν ἀξιούντων. *Vales. Ambr.*

3 (14) Ἀναβάντων δὲ τῶν σὺν τῷ Πύρρῳ μετὰ τῶν ἐλεφάντων αἴσθησιν οἱ Ῥωμαῖοι λαβόντες σκυμνίον ἐλέφαντος τιτρώσκουσιν, ὃ πολλὴν ἀκοσμίαν τοῖς Ἕλλησιν ἐνεποίησε καὶ φυγήν· οἱ δὲ Ῥωμαῖοι δύο μὲν ἐλέφαντας ἀποκτείνουσιν, ὀκτὼ δὲ κατακλείσαντες εἰς χωρίον ἀνέξοδον παραδόντων τῶν ἐπ' αὐτοῖς Ἰνδῶν ζῶντας παραλαμβάνουσι, τῶν δὲ στρατιωτῶν πολὺν φόνον ἐργάζονται. *Ambr.*

XIII. (20, 1) Ὁ ὕπατος Φαβρίκιος τιμητὴς γενόμενος ἄνδρα δυσὶ μὲν ὑπατείαις, μιᾷ δὲ δικτατωρείᾳ κεκοσμημένον, Πόπλιον Κορνήλιον Ῥουφῖνον, ἐξέβαλεν ἐκ τοῦ συνεδρίου τῆς βουλῆς, ὅτι πρῶτος ἐν ἀργυρῶν ἐκπωμάτων κατασκευῇ πολυτελὴς ἔδοξε γενέσθαι, δέκα λίτρας ἐκπωμάτων κτησάμενος· αὗται δ' εἰσὶν ὀλίγῳ πλείους ὀκτὼ μνῶν Ἀττικῶν. *Ambr.*

2 (2) Ἀθηναῖοι μὲν δόξης ἔτυχον, ὅτι τοὺς ῥαθύμους καὶ ἀργοὺς καὶ μηδὲν ἐπιτηδεύοντας τῶν χρησίμων ὡς ἀδικοῦντας τὸ κοινὸν ἐζημίουν, Λακεδαιμόνιοι δέ, ὅτι τοῖς πρεσβυτάτοις ἐπέτρεπον τοὺς ἀκοσμοῦντας

1 τοὺς del. Reiske 4 ἐνυπνίον Ambr. Q 26 κ' ἀργοὺς Ambr.

*τῶν πολιτῶν ἐν ὀτφδήτινι τῶν δημοσίων τόπῳ ταῖς βακτηρίαις παίειν· τῶν δὲ κατ' οἰκίαν γενομένων οὔτε πρόνοιαν οὔτε φυλακὴν ἐποιοῦντο, τὴν αὔλειον θύραν ἑκάστου ὅρον εἶναι τῆς ἐλευθερίας τοῦ βίου νομίζοντες. (3) Ῥωμαῖοι δὲ πᾶσαν ἀναπετάσαντες οἰκίαν καὶ* 3
*μέχρι τοῦ δωματίου τὴν ἀρχὴν τῶν τιμητῶν προαγαγόντες ἁπάντων ἐποίησαν ἐπίσκοπον καὶ φύλακα τῶν ἐν αὐταῖς γινομένων, οὔτε δεσπότην οἰόμενοι δεῖν ὠμὸν εἶναι περὶ τὰς τιμωρίας οἰκετῶν οὔτε πατέρα πικρὸν ἢ μαλθακὸν πέρα τοῦ μετρίου περὶ τέκνων ἀγωγὰς οὔτε ἄνδρα περὶ κοινωνίαν γαμετῆς γυναικὸς ἄδικον οὔτε παῖδας γηραιῶν ἀπειθεῖς πατέρων οὔτε ἀδελφοὺς γνησίους τὸ πλεῖον ἀντὶ τοῦ ἴσου διώκοντας, οὐ συμπόσια καὶ μέθας παννυχίους, οὐκ ἀσελγείας καὶ φθορὰς ἡλικιωτῶν νέων, οὐχ ἱερῶν ἢ ταφῶν προγονικὰς τιμὰς ἐκλιπούσας, οὐκ ἄλλο τῶν παρὰ τὸ καθῆκον ἢ συμφέρον τῇ πόλει πραττομένων οὐδέν.*

*ἐληίζοντο τὰς κτήσεις τῶν πολιτῶν κατὰ τὴν τοῦ βασιλίζειν αἰτίαν. Ambr.*

XIIII. (20, 4) *Νεμέριος Φάβιος Πίκτωρ καὶ Κόιντος Φάβιος Μάξιμος καὶ Κόιντος Ὀγούλνιος πρὸς τὸν Φιλάδελφον Πτολεμαῖον πρεσβεύσαντες* [*περὶ πρε-*

2 *γινομένων* c. dubitanter Kiessling 4 *ἑκάστου* Ambr. *ἑκάστῳ* Nauck (ubi?) 6 *τοῦ τιμητοῦ* c. Struve 9 *περὶ τῆς τιμωρίας* Ambr. *περὶ τὰς τιμωρίας* Maius 13 *ἀδελφοὺς γνησίους* Ambr. *ἀ. τῆς οὐσίας* c. Struve cf. Tegge Quaest. de D. H. usu praep. p. 5 14 *ἀμελείας* Ambr. *ἀσελγείας* Struve 15 **ἡλικιῶν* Ambr. *ἡλικιωτῶν* ego | *ταφρῶν* Ambr. corr. Maius 21 *Φάκιος* Ambr. corr. Maius | *Ἀλγούνιος* Ambr. *Ὀγούλνιος* Kiessling 22 verba *περὶ πρεσβείας*, quae hoc loco absurda esse iam Struve cognovit, Kiessling delevit; ex nota enim in margine apposita in verborum ordinem irrepsisse ei videntur

σβείας] καὶ δωρεαῖς ἰδίαις τιμηθέντες ὑπ' αὐτοῦ· ἦρχε δὲ τῆς Αἰγύπτου δεύτερος μετὰ τὸν Μακεδόνα Ἀλέ-
2 ξανδρον· ἐπειδὴ κατέπλευσαν εἰς τὴν πόλιν, τά τε ἄλλα ἀπήγγειλαν, ὅσα διεπράξαντο κατὰ τὴν ἀποδημίαν, καὶ τὰς δωρεάς, ἃς παρὰ τοῦ βασιλέως ἔλαβον, εἰς τὸ δημόσιον ἀνήνεγκαν· οὓς ἡ βουλὴ πάντων ἀγασθεῖσα τῶν ἔργων οὐκ εἴασε δημοσιῶσαι τὰς βασιλικὰς χάριτας, ἀλλ' εἰς τοὺς ἑαυτῶν οἴκους ἀπενέγκασθαι τιμὰς ἀρετῆς καὶ κόσμους ἐκγόνοις. *Ambr.*

XV. (20, 5) *Οἱ Βρέττιοι ἑκόντες ὑποταγέντες Ῥωμαίοις τὴν ἡμίσειαν τῆς ὀρεινῆς παρέδωκαν αὐτοῖς, ἣ καλεῖται μὲν Σίλα, μεστὴ δ' ἐστὶν ὕλης εἰς οἰκοδομάς τε καὶ ναυπηγίας καὶ πᾶσαν ἄλλην κατασκευὴν εὐθέτου· πολλὴ μὲν γὰρ ἐλάτη πέφυκεν οὐρανομήκης ἐν αὐτῇ, πολλὴ δὲ αἴγειρος, πολλὴ δὲ πίειρα πεύκη ὀξύη τε καὶ πίτυς καὶ φηγὸς ἀμφιλαφὴς καὶ μελίαι ταῖς διαρρεούσαις λιβάσι πιαινόμεναι, καὶ πᾶσα ἄλλη βαθεῖα συνυφαινομένη τοῖς κλάδοις ὕλη σκιερὸν ἀποτελοῦσα δι' ὅλης ἡμέρας τὸ ὄρος.*

2 (6) *Ἐξ ἧς ἡ μὲν ἔγγιστα θαλάττης καὶ ποταμῶν φυομένη τμηθεῖσα τὴν ἀπὸ ῥίζης τομὴν ὁλόκληρος ἐπὶ τοὺς λιμένας τοὺς ἔγγιστα κατάγεται, πάσῃ διαρκὴς Ἰταλίᾳ πρός τε τὰ ναυτικὰ καὶ πρὸς τὰς τῶν οἰκιῶν κατασκευάς· ἡ δὲ ἄνω θαλάττης καὶ ποταμῶν πρόσω κορμασθεῖσα κατὰ μέρη κώπας τε παρέχει καὶ κοντοὺς καὶ ὅπλα παντοῖα καὶ σκεύη τὰ κατοικίδια, φοράδην*

1 *δωρεαῖς ἰδίᾳ* c. Struve 17 *πιαινόμενοι* Ambr. Kiesslingio teste, sed neque Maius quidquam neque Ambrosch notavit 18 *συμφαινομένη* Ambr. *συμφυομένη* Struve *συνυφαινομένη* Kiessling 22 *διαρκεῖς* Ambr. Kiesslingio teste 26 *ὅπλων* Ambr. *ὅπλα* vel *ὅπλων γένη* c. Struve

ὑπ' ἀνθρώπων κομιζομένη· ἡ δὲ πλείστη καὶ πιοτάτη πιττουργεῖται καὶ παρέχει πασῶν ὧν ἴσμεν ἡμεῖς εὐωδεστάτην τε καὶ γλυκυτάτην τὴν καλουμένην Βρεττίαν πίτταν· ἀφ' ἧς μεγάλας ὁ τῶν Ῥωμαίων δῆμος καθ' ἕκαστον ἐνιαυτὸν ἐκ τῶν μισθώσεων λαμβάνει προσόδους. *Ambr.*

XVI. (20, 7) Ἐγένετο δευτέρα ἐπανάστασις ἐν τῇ πόλει τῶν Ῥηγίνων ὑπὸ τῆς καταλειφθείσης αὐτόθι Ῥωμαικῆς καὶ συμμαχικῆς φρουρᾶς, καὶ δι' αὐτὴν σφαγαί τε πολλῶν ἀνθρώπων καὶ φυγαί. τούτους τιμωρησόμενος τοὺς ἀποστάντας ἅτερος τῶν ὑπάτων Γάιος Γενύκιος ἐξήγαγε τὴν στρατιάν· γενόμενος δὲ τῆς πόλεως ἐγκρατὴς Ῥηγίνων μὲν τοῖς φυγάσι ἀπέδωκε τὰ ἑαυτῶν ἔχειν, τοὺς δὲ ἐπιθεμένους τῇ πόλει συλλαβὼν δεσμίους εἰς Ῥώμην ἀπήγαγεν· ἐφ' οἷς οὕτως ὠργίσθη καὶ ἠγανάκτησεν ἥ τε βουλὴ καὶ ὁ δῆμος, ὥστε μηδεμίαν γνώμην ἐπιεικῆ γενέσθαι περὶ αὐτῶν, ἀλλὰ πάσαις ταῖς φυλαῖς ἁπάντων τῶν ἐν ταῖς αἰτίαις τὸν ἐπὶ τοῖς κακούργοις τεταγμένον ὑπὸ τῶν νόμων καταψηφισθῆναι θάνατον. (8) Κυρωθέντος δὲ τοῦ 2
περὶ τῆς τιμωρίας δόγματος πάτταλοί τε κατεπάγησαν ἐν ⟨τῇ⟩ ἀγορᾷ, καὶ παραγόμενοι κατὰ τριακοσίους ἄνδρας, περιηγμένοι τοὺς ἀγκῶνας ὀπίσω προσεδοῦντο τοῖς παττάλοις γυμνοί· ἔπειτα μάστιξιν αἰκισθέντες ἁπάντων ὁρώντων ἀπεκόπτοντο τῷ πελέκει τοὺς ὑπὸ

3 γλυκυτάτην] γλισχροτάτην c. stulte Smit Obs. p. 64 8 καταληφθείσης Ambr. corr. Maius 10 σφαγαί τε καὶ πολλῶν Ambr. corr. Maius 11 τοὺς ἀποστάντα Ambr. corr. Maius 18 διὰ πάντων Ambr. δὴ ἁπάντων c. Struve falso cf. Aar. Progr. p. 20 s.; quid sibi vult hoc loco vox δή? ego ἁπάντων in textum recepi 22 τῇ add. Struve | παραγαγόμενοι Ambr. teste Ambroschio